**Sorani Ephesii De arte obstetricia morbisque mulierum quae supersunt / Ex apographo Friderici Reinholdi Dietz ... nuper fato perfuncti primum edita.**

**Contributors**

Soranus, of Ephesus.
Dietz, Friedrich Reinhold, 1804-1836.

**Publication/Creation**

Regimonti Prussorum [Königsberg] : In commissis apud Graefium et Unzerum, 1838.

**Persistent URL**

https://wellcomecollection.org/works/bh38edg2

**License and attribution**

This work has been identified as being free of known restrictions under copyright law, including all related and neighbouring rights and is being made available under the Creative Commons, Public Domain Mark.

You can copy, modify, distribute and perform the work, even for commercial purposes, without asking permission.

Wellcome Collection
183 Euston Road
London NW1 2BE UK
T +44 (0)20 7611 8722
E library@wellcomecollection.org
https://wellcomecollection.org

Walter Pagel

49016/B

Soranus Ephesius

# Sorani Ephesii

de

## Arte obstetricia morbisque mulierum

quae supersunt.

---

Ex apographo

**Friderici Reinholdi Dietz,**
Med. et Chir. Dr., Medicinae in Academia Prussorum Albertina
Professor. Ordinar. etc.

nuper fato perfuncti
primum edita.

Regimontii Prussorum
in Commissis apud Graefium et Unzerum.
MDCCCXXXVIII.

Typis Hartungianis.

313864

WELLCOME HISTORICAL MEDICAL LIBRARY

# Praefatio.

Quod nunquam credidi eventurum esse, ut alienis praefari libris adigerer, id negotii mihi imposuit mors viri egregii, Friderici Reinholdi Dietzii, quicum mihi et muneris communitas intercessit et consensio quaedam studiorum et vetus usus. Etenim is jam ab ineunte aetate consilium ceperat, artis medicae, cui se totum tradiderat, incunabula adeundi imprimisque veteres ejus auctores graecos pervestigandi. Quos quum sciret a medicis graeci sermonis ignaris non legi, a philologis non intelligi posse, operae pretium sibi facturus videbatur, si utriusque disciplinae fructus in unum conferret. Et ut erat incredibili animi alacritate et laboris patientia praeditus, ita academicum stadium auspicato ingressus brevi tempore non solum in rebus medicis et physicis tantos progressus habuit, ut praeceptoribus suis maximam sui spem faceret,

sed etiam linguarum notitiam, nec graecae modo et latinae, sed earum quoque, quibus Europae gentes cultiores hodie utuntur, atque adeo arabicae et sanscriticae sibi comparavit tantam, quanta et ad illustranda veterum medicorum opera et ad commercia loquendi et audiendi opus esset. Sed juvenilium studiorum cursus qui fuerit, ipse enarravit in Curriculo vitae, quum librum Hippocraticum de morbo sacro qui inscribitur ederet luculento illlustratum commentario Lips. MDCCCXXVI. Eae fuerunt studiorum ejus primitiae, hinc cepit auspicia. Mox vero ad conquirenda Hippocratis ceterorumque artis antistitum exemplaria vetusta peregrinari coepit Regis augustissimi munificentia adjutus, eoque in itinere bibliothecas Germaniae, Galliae, Italiae, Britanniae, Hispaniae celebriores adiit. Unde quantam messem retulerit, quot libros ineditos, quam ampla editorum supplementa, expositum est in praefatione, quam praescripsit libellis Galeni de dissectione et de consuetudine Lips. MDCCCXXXII. Eratque tum nobis omnibus spes mox Asclepiadarum monimenta in lucem prolatum iri partim ignota ad hoc aevi, partim vulgatis emendatiora. Neque eam frustratus est, in quantum fata sivere, vir industrius. Namque brevi tempore edidit:

Apollonii Citiensis, Stephani, Palladii, Theophili, Meletii, Damascii, Joannis, aliorum Scholia in Hippocratem et Galenum. II Vol. Regimont. MDCCCXXXIV.

Analecta medica. Fascicul. I. Lips. MDCCCXXXII.

Severi de clysteribus liber. Regimont. MDCCCXXXVI. (Dissertat. Academ.)

Sed graviora molientem primum distraxit cura, quam suscepit, aegrotorum et muneris academici, cui praeficiebatur, administratio scholaeque publicae, quibus non solum medicinae studiosos erudiret, sed elegantiorum quoque literarum cultores interpretandis Gallorum, Hispanorum, Italorum, Britannorum poetis classicis exerceret. Hac laborum publicorum et domesticorum varietate distractus pervenit ad annum aetatis tricesimum primum, seculi hujus tricesimum sextum, quo eum mors oppressit subita juvenem, vegetum, plenum bonae spei atque consiliorum, qualia fert ista generabilis aetas, dum vernat sanguis ac rugis integer annus. Coeperat tum hunc Sorani sive quis alius est, librum prelo tradere, ac jam una et altera pagina descripta erat; adnotationes nullae nisi de scripturae di-

versitate. Quum vero bibliopola neque coepta destituere vellet neque inveniret, quo sane opus erat, hominem artium diversissimarum, obstetriciae et grammaticae, perinde gnarum, satis habuit quoquo modo telam pertexere operisque corrigendis praefecit affinem meum et cognominem, materiae quae dicitur prorsus expertem, sermonis graeci notitia juveniliter imbutum. Is ex chartis Dietzii, quantum inveniri potuit, contulit, menda nonnulla, quae recentes a prelo plagulas perlustranti inciderent, emendavit, non inscite quidem ut mihi videtur; de cetero *ἤθελον Χείρωνά κε Φιλλυρίδαν ζώειν τὸν ἀποιχόμενον*, hoc est Dietzium nostrum aut alium ejus similem medicum graece doctum, qui non solum Sorani libellum vitiis quae contraxit plurimis et gravissimis liberet, saltem ut legi possit, sed etiam collectas ab illo copias pretiosissimas diuque doctorum votis expetitas in publicam notitiam proferat. Scripsi Regimontii Prussorum Idibus Maiis A. MDCCCXXXVIII.

Chr. Augustus Lobeck.

# ΣΩΡΑΝΟΥ ΕΦΕΣΙΟΥ

## ΠΕΡΙ

## ΓΥΝΑΙΚΕΙΩΝ ΠΑΘΩΝ

*τὰ σωζόμενα.*

# ΣΩΡΑΝΟΥ
## ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΩΝ ΠΑΘΩΝ.

---

### Εἰς πόσους καὶ τίνας λόγους τμητέον τὴν τῶν γυναικείων παράδοσιν.

Ἐπεὶ πρὸς τὸ τῶν ἀποδοθησομένων εὐαπόκριτον ἡ τῆς πραγματείας [1]συμβάλλεται [2]προσδιαίρεσις, εὔχρηστον εἰς μέρη καὶ λόγους αὐτὴν διαιροῦντα προκαταγράψαι. [3]τινὲς μὲν οὖν εἰς δύο μέρη τέμνουσιν αὐτὴν, ἔς τε τὸ θεωρητικὸν καὶ [4]τὸ πρακτικόν· τὸ δὲ πρακτικὸν τὸ μὲν ὑγιεινὸν λέγουσι, τὸ δὲ θεραπευτικὸν, καὶ οἱ μὲν εἰς τὸ περὶ [5]τοῦ κατὰ φύσιν καὶ τοῦ παρὰ φύσιν, οἱ δὲ εἰς τὸ φυσιολογικὸν καὶ παθολογικὸν καὶ θεραπευτικόν. ἡμεῖς δὲ τὴν πραγματείαν εἰς δύο λόγους τέμνομεν, εἴς τε τὸν περὶ τῆς μαίας, καὶ περὶ τῶν ὑποπιπτόντων τῇ μαίᾳ· τούτων δὲ κατὰ [6]τὸ ὑποβεβηκὸς, τὸν μὲν περὶ τῆς μαίας εἴς τε τὸν περὶ τῆς γενησομένης, ἐν ᾧ ζητοῦμεν τίς ἐστιν ἡ ἐπιτηδείως ἔχουσα πρὸς τὸ γενέσθαι μαῖα, καὶ εἰς τὸν

---

**Signa Codicum.**

P. Codex Parisiensis 2153, chartaceus, forma quart. saec. XV. Inde a fol. 218 Sorani liber incipit.

B. Codex Romanus Barberinus 359, chartaceus, forma octav. saec. XVI, mendosus.

[1] προσβάλλεται B. [2] Fort. προδιαίρεσις. [3] τὴν δὲ μὲν B. [4] τὸ om. B. [5] τοῦ om. B. [6] τὸ om. B.

περὶ τῆς ἤδη γεγενημένης, ἐν [1]ᾧ ζητοῦμεν τίς ἀρίστη μαῖα· τὸ δὲ περὶ τῶν ὑποπιπτόντων τῇ μαίᾳ πάλιν εἴς τε τὸν περὶ τῶν κατὰ φύσιν [2]καὶ εἰς τὸν περὶ τῶν παρὰ φύσιν, ἐξ ὧν τὸν μὲν περὶ τῶν κατὰ φύσιν εἴς τε τὸν φυσικὸν, ἐν ᾧ σκεπτόμεθα περὶ σπέρματος καὶ ζωογονίας, καὶ εἰς τὸν ὑγιεινὸν ἅμα καὶ [3]μαιωτικὸν, ἐν ᾧ συνειληφυίας καὶ [4]ἀποτεκούσας ἐπιμέλειαν διδάσκομεν, συναποδιδόντες καὶ τὸν περὶ παιδοτροφίας λόγον· τὸν δὲ περὶ τῶν παρὰ φύσιν, εἰς τὸν περὶ τῶν ὑπαγομένων τῇ διαίτῃ παθῶν, ἐν ᾧ καὶ περὶ ἐποχῆς ἐμμήνων καὶ [5]στραγγῆς καθάρσεως, καὶ πνιγὸς ὑστερικῆς, καὶ [6]τῶν ὁμοίων παθῶν ἐπιζητοῦμεν, καὶ εἰς τὸν περὶ τῶν ἐν χειρουργίαις καὶ φαρμακίαις, δι' οὗ σκεπτόμεθα περὶ δυστοκίας καὶ προπτώσεως ὑστέρας, καὶ τῶν ἐμφερόντων. τὸν μὲν οὖν φυσικὸν ἄχρηστον ὄντα πρὸς τὸ τέλος [7]†φέρε κόσμον δὲ πρὸς χρηστομάθειαν κεχωρήκαμεν, ἐντεῦθεν μόνον πρὸς τὸ παρὸν ἐχόμενοι τῶν ἀναγκαίων. πρὸ δὲ τῶν ἄλλων ἐροῦμεν, πρῶτον τὸν περὶ τῆς μαίας, εἶτα τὸν ὑγιεινὸν, εἶτα τὸν περὶ τῶν παρὰ φύσιν· στιβαρώτερος γὰρ [8]οὗτος, καὶ μετὰ ποικιλίας δυσχερέστερος· διὸ καὶ τελευταῖος ὀφείλει [9]παραδίδοσθαι.

## β'. Τίς ἐστιν ἐπιτήδειος πρὸς τὸ γενέσθαι μαῖα.

Εὔχρηστος μὲν ὁ λόγος πρὸς τὸ [10]μὴ διὰ κενῆς πονεῖν, καὶ τὰς ἀνεπιτηδείους διδάξαι [11]προσεχομένως.

---

[1] ᾗ Codd. [2] καὶ - φύσιν om. B. [3] ματωτικὸν Codd. Mendum apertum. [4] ὑποτεκούσας B. [5] στραγκῆς Codd. [6] τῶν om. B. [7] Locus lacunosus idemque mendosus. κεχαρήκαμεν B. Haud male verba ita restitui possint: τὸν μὲν οὖν φυσικὸν ἄχρηστον ὄντα πρὸς τὸ τέλος, εὔκοσμον (vel εὔχρηστον) δὲ πρὸς χρηστομάθειαν παρακεχωρήκαμεν etc. [8] οὗτος] ὧν B. [9] παραδίδοσθαι om. B. [10] μὲν Codd. scripsi μή. [11] προσεχομένως] προελέγομεν B.

ἐπιτήδειος δέ ἐστιν ἡ γραμμάτων [1]ἐντὸς, ἀγχίνους, [2]μνήμων, φιλόπονος, κόσμιος, καὶ κατὰ τὸν [3]κοινὸν ἀπαρεμπόδιστος ταῖς αἰσθήσεσιν, ἀρτιμελὴς, εὔτονος, ὡς δ' ἔνιοι λέγουσι, καὶ μακροὺς καὶ λεπτοὺς ἔχουσα τοὺς τῶν χειρῶν δακτύλους καὶ ὑπεσταλκότας ταῖς ῥαξὶ τοὺς ὄνυχας· γραμμάτων μὲν ἐντὸς εἶναι, ἵνα καὶ διὰ θεωρίας τὴν τέχνην [4]ἰσχύσοι παραλαβεῖν· ἀγχίνους δὲ, πρὸς τὸ ῥαδίως τοῖς λεγομένοις καὶ γινομένοις παρακολουθεῖν· μνήμων δὲ, ἵνα καὶ τῶν παραδιδομένων ἀποκρατῇ μαθημάτων· μάθησις γὰρ ἐκ μνήμης γίνεται καὶ καταλήψεως· φιλόπονος δὲ, πρὸς τὸ ἐπιμένειν τοῖς συμβεβηκόσι· δεῖ γὰρ ἀνδρώδους ταλαιπωρίας τὴν βουλομένην τοσοῦτον μάθημα παραλαβεῖν· κόσμιος δὲ, διὰ τὸ μέλλειν [5]οἰκίας πιστεύεσθαι καὶ μυστήρια βίου, καὶ ὅτι ταῖς φαύλαις τὸ ἦθος εἰς τὸ ἐπιβουλεύειν ἐφόδιόν [6]ἐστι τὸ δοκεῖν [7]ἰατρικὰς ἔχειν κατηχήσεις· ἀπαρεμπόδιστος δὲ ταῖς αἰσθήσεσιν, ἐπεὶ τὰ μὲν ὁρᾶν δεῖ, τῶν δὲ ἐξ ἀνακρίσεως ἀκούειν, τὰ δὲ διὰ τῆς ἁφῆς καταλαμβάνειν· ἀρτιμελὴς δὲ, πρὸς τὸ τῆς ἐν τοῖς ἔργοις ὑπηρεσίας ἀπαρεμπόδιστος εἶναι· εὔτονος δὲ, διὰ γὰρ τῆς ἐν τῷ περιοδεύειν κακοπαθείας δὶς τὴν πρᾶξιν [8]παραλαμβάνει· μακροὺς δὲ καὶ λεπτοὺς ἔχουσα τοὺς δακτύλους, καὶ ὑπεσταλκότας τοὺς ὄνυχας, εἰς τὸ τὰς ἐν [9]βάθει φλεγμονὰς ἀσκεπτότερον ἅπτεσθαι. τοῦτο μέντοι γε καὶ δι' αὐτῆς ἐπιτυγχάνεται τῆς ἐν τοῖς ἔργοις σπουδαιοτέρας τριβῆς καὶ συγγυμνασίας.

---

[1] Fort. ἔμπειρος. [2] ἀνήμων B. [3] καινὸν B. [4] ἰσχύος B. [5] οἰκίας πιστεύεσθαι] πιστήμαθαι B. οἰκείας P. [6] ἐστι] γὰρ B. [7] ἰατρικῆς B. [8] περιλαμ· B. sic! παραμβάνειν P. robusta vero sit obstetrix, ut in arte exercenda defatigata parturientibus duabus opem ferre valeat. [9] τῷ add. B.

## γ΄. Τίς ἀρίστη μαῖα.

Τὰ συμπληροῦντα τὴν ἀρίστην μαῖαν, εἰπεῖν ἀναγκαῖον, ἵνα αἱ μὲν ἄρισται γινώσκωσιν ἑαυτὰς, αἱ δὲ ἀρτιμαθεῖς ὡς εἰς ἀρχετύπους ταύτας ἀποβλέπωσιν· ὁ βίος δὲ παρὰ τὰς χρείας ἤδει, τίνας δεῖ μετακαλεῖσθαι. κατὰ τὸ κοινὸν μὲν οὖν τελείαν φαμὲν τὴν μόνην τοῦ τέλους τῆς ἰατρικῆς ἐπιτυγχάνουσαν· ἀρίστην δὲ, τὴν προσειληφυῖάν τε καὶ πρὸ τῆς προστασίας ἐν τοῖς θεωρήμασι πολύπειρον. μερικώτερον δὲ λέγομεν ἀρίστην μαῖαν, τὴν γεγυμνασμένην ἐν πᾶσι τοῖς μέρεσι τῆς θεραπείας· τὰ μὲν γὰρ διαιτῆσαι δεῖ, τὰ δὲ χειρουργῆσαι, τὰ δὲ φαρμάκοις διορθώσασθαι· καὶ [1]†ταῦτ' ἵνα παραγγέλματα δοῦναι δυναμένην καὶ τὸ κοινὸν καὶ τὸ προσεχὲς ἰδεῖν καὶ τὸ συμφέρον ἐκ τούτου λαμβάνουσαν, καὶ μήτ' ἀπὸ [2]τῶν αἰτίων μήτ' ἀπὸ τῆς πλειστάκις τηρήσεως τῶν καθόλου [3]συν....τμητικῆς τούτων· εἶτα κατὰ μέρος οὐ [4]παρατυπουμένην ἐν ταῖς τῶν συμπτωμάτων μεταβολαῖς, [5]παρηγοροῦσαν δὲ κατὰ τὴν πρὸς τὸ πάθος ἀκολουθίαν, ἀτάραχον, [6]ἀκατάπληκτον ἐν τοῖς κινδύνοις, δεξιῶς τὸν περὶ τῶν βοηθημάτων λόγον ἀποδιδόναι δυναμένην, παραμυθίαν ταῖς καμνούσαις πορίζουσαν, συμπάσχουσαν· καὶ οὐ πάντως προτετοκυῖαν, ὡς ἔνιοι λέγουσιν, ἵνα [7]συνηθείᾳ τῶν ἀλγημάτων ταῖς τικτούσαις συμπαθῇ· μᾶλλον γὰρ τετοκυίας· εὔτονον δὲ, διὰ τὰς ὑπουργίας· καὶ οὐ πάντως νέαν, ὡς φασί [8]τινες· καὶ γὰρ νέα τις [9]ἄτονος, καὶ οὐ νέα τοὐναντίον εὔτονος· σώφρονα

---

[1]Fort. τοιαῦτα ἄττα. [2]τῶν αἰτίων μήτ' ἀπὸ om. B. [3]Lacuna in utroque Codice. Locus vitiatus, cui mederi non ausim. Fort. συντηρητικὴν, quae nec causis nec continua observatione falsa artis principia deserat. [4]παρατυπουμένων B. [5]παρενοροῦσαν B. [6]ἀκατάληπτον B. [7]συνηθίσῃ B. συνειθήσῃ P. Scripsi συνηθείᾳ. Num συνεθίσει? ἀλπημάτων Codd. [8]τινές] τυμβύ B. sic! [9]ἄτομος B.

δὲ καὶ νήφουσαν ἀεὶ, διὰ τὸ ἄδηλον τῶν πρὸς τὰς κινδυνευούσας [1] μετακλήσεων· ἥσυχον δὲ ἔχουσαν θυμὸν, ὡς πολλῶν τῶν ἐν τῷ βίῳ μυστηρίων μετέχειν μέλλουσαν· ἀφιλάργυρον, ὡς μὴ διὰ μισθὸν κακῶς δοῦναι φθόριον· ἀδεισιδαίμονα, χάριν τοῦ μὴ δι' ὄνειρον ἢ διὰ κληδόνας ἢ σύνηθές τι μυστήριον καὶ βιωτικὴν θρησκείαν ὑπεριδεῖν τὸ συμφέρον. [2] ἐπιτηδευέτω δὲ καὶ τὴν τῶν χειρῶν τρυφέρειαν, φυλαττομένην καὶ τὰς σκληρύνειν δυναμένας ἐριουργίας, διὰ [3] χρισμάτων δὲ προκατακτωμένην ἁπαλῶν, εἰ μὴ πάρεστι φυσικῶς καὶ τοῦτο. τοιαύτην μὲν εἶναι δεῖ τὴν ἀρίστην μαῖαν. ἐπειδὴ δὲ μεταβαίνειν ἐπὶ τὸν γυναικεῖον ὑγιεινὸν λόγον μέλλομεν, δεήσει πρῶτον τὴν φύσιν τῶν γυναικείων διηγήσασθαι τόπων, ἐξ ὧν τὰ μὲν αὐτόθεν καταλαμβάνεται, τὰ δὲ ἐξ ἀνατομῆς, [4] ἥτις καὶ ἄχρηστός ἐστιν. ὅμως ἐπειδὴ καταλαμβάνεται, [5] χρηστομαθείας ἕνεκα διδάξομεν καὶ τὸ ἐκ ταύτης ἐπιγνωσθέν· ῥᾳδίως τε γὰρ πιστευθησόμεθα λέγοντες ἄχρηστον τὴν ἀνατομὴν, εἰ πρότερον εἰδότες αὐτὴν εὑρεθείημεν, καὶ οὐ παρέξομεν ὑπόνοιαν τοῦ δι' ἄνοιαν παραιτεῖσθαί τι τῶν ὑπειλημμένων εὐχρήστων.

## δ΄. Τίς φύσις μήτρας καὶ γυναικείου αἰδοίου.

[6] Ἡ μήτρα καὶ ὑστέρα λέγεται καὶ δελφύς· μήτρα

---

[1] μετακινήσεως B. [2] ἐπιτηδεύτως B. [3] χρησμάτων B. [4] Soranum nostrum fuisse Methodicum, nisi constaret, ex hoc loco liqueret. Anatomiam ad morbos curandos parum facere, audacius declamabant. At quis Sorano nostro meliorem pudendorum muliebrium descriptionem anatomicam ex antiquis medicis nobis reliquit? [5] ἐκ χρηστομαθείαν ἕνεκα P. τὰ ῥᾳδίως P. Fort. τὰ — ἐπιγνωσθέντα.

[6] Quae sequuntur, duo capita ad calcem Ruphi Ephesii a Goupylo, Parisiis 1554 jam erant edita. In omnibus codicibus, quae Ruphi libros anatomicos continent, haec capita inveniuntur.

μὲν [1]οὖν ὅτι μήτηρ ἐστὶ [2]πάντων τῶν ἐξ αὐτῆς [3]γινομένων ἐμβρύων ἢ ὅτι τὰς ἐχούσας αὐτὴν [4]ποιεῖ μητέρας· κατὰ δέ τινας, ὅτι μέτρον [5]ἔχει χρόνου πρὸς κάθαρσιν καὶ ἀπότεξιν· ὑστέρα δὲ, διὰ τὸ [6]ὕστερον ἀποδιδόναι τὰς ἑαυτῆς ἐνεργείας ἢ διὰ τὸ ἐσχάτην κεῖσθαι [7]πάντων τῶν σπλάγχνων, εἰ [8]καὶ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ κατὰ πλάτος· δελφὺς δὲ, διὰ τὸ ἀδελφῶν αὐτὴν εἶναι γεννητικήν. κεῖται δὲ ἐν τῇ τῶν [9]σπλάγχνων εὐρυχωρίᾳ [10]ἐντὸς τοῦ περιτοναίου μεταξὺ κύστεως καὶ ἀπευθυσμένου ἐντέρου, τούτῳ μὲν [11]ἐκικειμένη, τῇ κύστει δὲ ὑποκειμένη, ποτὲ μὲν ὅλη, ποτὲ δὲ ἀπὸ μέρους, διὰ τὸ κατὰ [12]μέγεθος ἐξαλάσσεσθαι· ταῖς μὲν γὰρ νηπίαις

---

Locupletioribus igitur codicum opibus in textu horum capitum recensendo uti nobis licuit. Codices, quos praeter duos illos jam notatos adhibuimus, hi sunt:

1) O. Codex Vaticanus, Ottobonianus 235, chartaceus, forma maxima, saec. XVI. Olim ex Codd. Joannis Angeli ducis ab Altaemps.

2) T. Codex Taurinensis 333, chartaceus, forma 16ta, saec. XVI, ab Ottoboniano non ita diversus. Omnes enim codices omnium bibliothecarum, in quibus Ruphi et Oribasii anatomici libri leguntur, ex eodem archetypo sunt exscripti, recentissimi et innumerabiles, ut plures conferre operae pretium non sit.

3) P. b. Codex Parisiensis 2237, membranaceus, forma maxima, saec. XIV. bonae notae.

4) G. Goupyli editio.

[1]οὖν om. P. B. [2]πάντων om. O. T. G. P. b. [3]γεννωμένων O. T. γενομ. G. [4]μητ. ποιεῖ O. T. G. [5]ἐστὶ G. [6]ὑστέραν B. ὕστερον — ἐσχάτην om. O. T. G. τὰ ἑαυτῆς ἐνεργήματα P. b. [7]πάντων om. O. T. G. P. b. [8]καὶ om. G. [9]ἰσχίων O. T. G. P. b. [10]ἐντὸς τ. περιτ. om. O. T. G. P. b. Ex harum ultimarum lectionum varietate cui non patet, codicum Ruphi lectiones esse meliores et rectiores? Attamen a Sorani codicibus non discedo, etsi viris anatomis multa in iis non probentur, modo ne menda manifestissima ferant. [11]ἐπίκειται. μένη, τῇ B. P. sic! [12]μέρος B. P.

μικροτέρα τῆς κύστεώς [1]ἐστιν· διὸ καὶ [2]ταύτην ὅλην ὑπελήλυθεν· ταῖς δὲ ἐν ἀκμῇ παρθένοις ἴση τῇ κύστει κατὰ τὰ ὑπερκείμενα, ταῖς δὲ προηλικεστέραις καὶ [3]διακεκορευμέναις καὶ μᾶλλον [4]κεκυηκυίαις μείζων, ὥστε ταῖς πλείσταις [5]ἐν λήξει τοῦ κόλου προσαναπαύεσθαι· [6][μᾶλλον δὲ ἐν τῷ κυοφορεῖν, ὡς καὶ τῇ ὁράσει καταλαμβάνειν ἐστὶν, εἰς πολὺ διογκωμένου τοῦ περιτοναίου καὶ τοῦ ἐπιγαστρίου καὶ ἐκ τοῦ τηλικοῦτον εἶναι τὸ ἀποτικτόμενον μετὰ τῶν σὺν αὐτῷ χιτώνων] καὶ ὑγρῶν· μετὰ δὲ τὴν ἀπότεξιν συστέλλεται [7]μὲν, ἄλλως δὲ μεῖζον ἔχει τὸ μέγεθος τοῦ πρὸ τῆς ἀποτέξεως· [8]τότ' οὖν μείζων ἐστὶ τῆς κύστεως, οὐ [9]κατ' ἴσον δὲ ὑπελήλυθεν αὐτήν· κατὰ μὲν γὰρ τὰ [10]ἔμπροσθεν μέρη προπαλέστερός ἐστιν ὁ τῆς κύστεως τράχηλος, ὡς ἂν τὴν οὐρήθραν πέρας ἔχων καὶ [11]ὅλῳ τῷ γυναικείῳ προσανατεινόμενος [12]καὶ παρατριβόμενος κόλπῳ, προανακεχώρηκε δὲ ἀπὸ τῆς ὑστέρας· κατὰ δὲ [13]τὰ ὄπισθεν ἀνωτέρω τοῦ [14]τῆς κύστεως πυθμένος ὁ τῆς μήτρας ἐστὶ πυθμὴν κείμενος ὑπὸ τὸν ὄμφαλον, ὥστε τῆς κύστεως τὴν μὲν εὐρυχωρίαν ἐπικεῖσθαι τῷ τραχήλῳ τῆς ὑστέρας, τὸν δὲ πυθμένα καὶ κύστει. συνέχεται δὲ λεπτοῖς ὑμέσιν ἡ μήτρα πρὸς μὲν τὰ [15]ὑπερκείμενα τῇ κύστει, πρὸς δὲ τὰ [16]ὑποκείμενα τῷ ἀπευθυσμένῳ, πρὸς δὲ τὰ πλάγια καὶ τὰ ἐξόπισθεν τοῖς [17]ἐκπεφυκόσιν ἀπὸ τῶν ἰσχίων καὶ τοῦ ἱεροῦ ὀστέου. τούτων γοῦν συνελκομέ-

---

[1] ἐστιν om. G. [2] ὅλ. ταύτ. O. T. G. P. b. [3] ἤδη add. O. T. G. [4] προκεκ. O. T. G. [5] ἐν λήξει] ἄλιξι B. P. Fort. ἕλιξι. κόλου] κύκλου B. [6] Uncis inclusa verba om. B. P. male. [7] μὲν ἄλλως] μεγάλως B. P. [8] τότ' οὖν] τόπου καὶ G. τοῦτο γοῦν B. P. [9] τὸ κατ' ἴσον ὑπ. B. P. [10] ἐμπρόσθια O. T. G. προπαλαίστερος O. P. b. [11] ὅλον G. [12] καὶ παρατριβ. om. O. T. P. b. G. προσκεχώρηκε B. [13] τὸ O. T. G. [14] τῆς om. G. [15] ὑποκείμ. G. [16] ἐπικείμ. G. [17] ἐμπεφ. O. T. G.

νων μὲν διὰ [1]φλεγμονὴν, ἀνασπᾶται καὶ παρεγκλίνεται, παριεμένων δὲ καὶ [2]χαλατονούντων, προπίπτει, ζῶον μὲν οὐκ οὖσα, καθὼς ἐνίοις ἔδοξε, τοῖς ἄλλοις δὲ παραπλησίως αἴσθησιν [3]ἁπτικὴν ἔχουσα καὶ διὰ τοῦτο συστελλομένη [4]μὲν ὑπὸ τῶν ψυχόντων, χαλωμένη δὲ ὑπὸ τῶν ἀραιούντων. [5]ἐντεῦθεν καὶ δι' ἄλλας μὲν αἰτίας καὶ διὰ ταύτην ἐκ μὲν γερόντων νέαι φασὶ συλλαμβάνουσιν, ὅτι τέσσαρας δακτύλους ἀφέστηκεν αὐτῶν τὸ στόμιον ἀπὸ τῶν πτερυγωμάτων, ἐκ δὲ νέων πρεσβύτιδες [6]οὐκέτι, ὅτι πολὺ τὸ στόμιον αὐταῖς ἀφέστηκεν ἀπὸ τῶν πτερυγωμάτων ὑπαναβεβηκός. σχῆμα δὲ μήτρας οὐχ ὡς ἐπὶ τῶν ἀλόγων ζώων ἑλικοειδὲς, ἰατρικῇ δὲ σικύᾳ παραπλήσιον· ἀπὸ γὰρ περιφεροῦς καὶ πλατέος ἀρξαμένη [7]ἀπὸ τοῦ κατὰ τὸν πυθμένα πέρατος πρὸς λόγον [8]ἐπὶ τέλει συνάγεται [9]πρὸς τὸ στόμιον. κέκληται δ' αὐτῆς τὸ μὲν πρῶτον καὶ προάγον μέρος στόμιον, τὸ δὲ μετὰ τοῦτο τράχηλος, τὸ δὲ ἑπόμενον αὐχὴν, ἡ συνδρομὴ δὲ τούτων καυλὸς, τὰ δὲ ἑκατέρωθεν μετὰ τὴν στενότητα τοῦ τραχήλου πλατυνόμενα [10]πρώτως ὑστέρας ὦμοι, τὰ δὲ μετὰ ταῦτα [11]πλευρὰ, [12]τὸ δὲ ὕστατον πυθμὴν, τὸ δὲ ὑποκείμενον βάσις, τὸ δ' ὅλον χώρημα κύτος καὶ γάστρα καὶ κόλπος. τὸ δὲ στόμιον κατὰ μέσον κεῖται [13]τὸ γυναικεῖον αἰδοῖον· περισφίγγεται γὰρ ὁ τράχηλος ὑπὸ τῶν πτερυγωμάτων. [14]τοῦτο δὲ ἀφέστηκε ταῖς μὲν μᾶλλον, ταῖς δὲ [15]ἔλαττον παρὰ τὰς ἡλικίας, ὡς ἐπὶ τὸ πολὺ δὲ ταῖς ἤδη τε-

[1]φλεγμονῆς G. [2]χαλωμένων O. T. G. P. b. [3]τοπικὴν O. T. G. P. b. [4]μὲν om. B. O. T. G. [5]ἐντεῦθεν — ὑπαναβεβηκὸς om. O. T. G. P. b. [6]ἐφ' ὅτι B. [7]ἀπὸ om. O. T. G. P. b. [8]ἐπὶ στενὸν O. T. G. P. b. [9]πρὸς om. O. T. G. P. b. [10]πρῶτα μέρη τῶν ὑστέρων O. T. G. [11]πλευραὶ B. [12]τὸ — πυθμὴν om. O. T. G. P. b. [13]τοῦ γυναικείου αἰδοίου O. T. G. P. b. [14]τούτων δὲ ἀφ. τὸ στόμιον ταῖς O. T. G. P. b. [15]ἧττον O. T. G.

λείαις πέντε ἢ ἓξ [1] δακτύλους· προχειρότερον δὲ γίνεται κατὰ τὰς ἀποτέξεις, ἐπεκτεινομένου τοῦ τραχήλου. διάφορον δὲ ἔχει καὶ τὸ μέγεθος πλὴν ἐπί γε τῶν πλείστων [2] ἐν τῷ κατὰ φύσιν τηλικοῦτόν ἐστιν, ἡλίκον τὸ ἐκτὸς πέρας τῆς ἀκουστικῆς εὐρυχωρίας. διΐσταται δὲ κατά [3] τινας καιρούς, καθάπερ ἐν τῇ ὀρέξει τῆς συνουσίας πρὸς παραδοχὴν τοῦ σπέρματος κἀν ταῖς καθάρσεσι πρὸς [4] ἔκκρισιν τοῦ αἵματος κἀν ταῖς συλλήψεσι πρὸς λόγον τῆς τοῦ ἐμβρύου συναυξήσεως· ἐν δὲ τῇ ἀποτέξει καὶ πλεῖστον προσανευρύνεται μέχρι τοῦ καὶ χεῖρας [5] τελείων παραδέχεσθαι. κατὰ μέντοι τὴν φύσιν τρυφερόν ἐστι καὶ σαρκῶδες ἐπὶ τῶν [6] ἀδιακορεύτων, σομφότητι πνεύμονος ἢ τρυφερίᾳ γλώττης ἐοικὸς, ἐπὶ δὲ [7] ἀποκεκυηκυιῶν [8] τυλωδέστερον γίνεται, [9] ὡς κεφαλὴ πολύποδος, ἢ ἄκρῳ βρόγχου, καθώς φησιν Ἡρόφιλος, ὅμοιον [10] τυλούμενον τῇ παρόδῳ τῶν ἀποκρινομένων καὶ ἀποτικτομένων. ἡ δὲ ὅλη μήτρα κατὰ τὸ πλεῖστον [11] δυναμοῦν ἐστι νευρῶδες. [12] συγκέκριται γὰρ οὐκ ἐκ νεύρων μόνον, ἀλλὰ καὶ ἐκ φλεβῶν καὶ [13] ἀρτηριῶν καὶ σαρκὸς, ἐξ ὧν τὰ νεῦρα μὲν ἀπὸ νωτιαίας μήνιγγος [14] καταλαμβάνει τὴν ἀρχὴν, αἱ δὲ ἀρτηρίαι καὶ φλέβες ἀπὸ τῆς [15] ὑπερκειμένης τῇ ῥάχει κοίλης φλεβὸς καὶ παχείας ἀρτηρίας· [16] [δύο μὲν γὰρ ἀποσχίζονται φλέβες ἀπὸ τῆς κοίλης φλεβὸς, δύο δὲ ἀρτηρίαι ἀπὸ τῆς παχείας ἀρτηρίας], ὧν [17] μία φλὲψ καὶ ἀρτηρία φέρονται πρὸς ἑκάτερον νεφρόν· εἶτα πρὶν εἰς [18] αὐτὸν ἐμφυῆναι,

---

[1] δακτύλων B. P. [2] ἐν om. B. G. [3] τοὺς G. [4] ἀπόκρισιν O. T. G. [5] τελείως B. χεῖρα G. [6] ἀδιαχωρήτων B. [7] τῶν add. O. T. G. [8] θολοειδέστερον G. [9] ὡς om. O. T. G. κεφαλῇ ibidem. [10] τελούμ. B. P. [11] δυνάμεων G. νευρώδης B. P. O. T. νευρῶδες P. b. [12] σύγκειται O. T. G. P. b. [13] σαρκῶν καὶ ἀρτ. O. T. G. [14] λαμβ. τὴν καταρ. O. T. G. P. b. [15] παρακειμ. O. T. G. [16] δύο — ἀρτηρίας om. B. P. [17] ἀνὰ add. O. T. G. [18] αὐτοὺς O. T. G.

[1]δισχιδεῖς γινόμεναι ταῖς μὲν δυοῖν [2]ἐμφύσεσιν εἰς ἑκάτερον νεφρὸν ἐμφύονται, ταῖς δὲ δυσὶ τὴν ὑστέραν [3]καταπλέκουσιν, ὥστε γίνεσθαι τεσσάρων ἀγγείων εἰς αὐτὴν ἔμφυσιν, δύο μὲν ἀρτηριῶν, δύο δὲ φλεβῶν. ἐκ τούτων δὲ καὶ εἰς ἑκάτερον τῶν διδύμων ἀνὰ [4]μίαν φλὲψ, ἀνὰ μίαν δὲ ἐμπέφυκεν ἀρτηρία. [5]παραπεφύκασι δὲ ἔξωθεν οἱ δίδυμοι σύνεγγυς τοῦ αὐχένος παρ' ἑκάτερον πλευρὸν ἀνὰ εἷς· καὶ εἰσὶ μὲν [6]ψαθαροὶ καὶ ἀδενώδεις, ἰδίῳ [7]σκεπόμενοι ὑμένι· κατὰ σχῆμα δὲ οὐ κατὰ τοὺς τῶν ἀῤῥένων [8]ἐπιμήκεις ὑπάρχουσι [9]καὶ ὑπόσιμοι, στρογγύλοι δὲ καὶ ἐπ' ὀλίγον πλατυνόμενοι κατὰ βάσιν. ὁ σπερματικὸς δὲ πόρος ἀπὸ [10]τῆς ὑστέρας ἐξ ἑκατέρου φέρεται διδύμου, καὶ [11]τοῖς πλευροῖς παραταθεὶς μέχρι [12]τῆς κύστεως, εἰς τὸν ταύτης ἐμφύεται τράχηλον. ἔνθεν δὲ δοκεῖ [13]τοῦ θήλεος σπέρματος πρὸς ζωογονίαν [14]μὴ συλλαμβάνεσθαι, [15]διὰ τὸ εἰς τὸ ἐκτὸς ἐκχεῖσθαι, περὶ οὗ [16]διελάβομεν ἐν τῷ περὶ [17]σπέρματος· ἔνιοι δὲ, καθὼς βούλεται καὶ ὁ [18]Χῖος, καὶ [19]ἀνακρεμαστῆράς φασιν αὐτοῖς ἐμπεφυκέναι. καὶ ἡμεῖς δὲ τοῦτο ἐπὶ τῆς αὐτοψίας ἱστορήκαμεν ἐπί τινος [20]ἐντεροκηλικῆς γυναικὸς, ἐφ' ἧς ἐν τῇ χειρουργίᾳ προέπιπτεν ὁ δίδυμος, [21]χαλασθέντων τῶν κατεχόντων αὐτὸν καὶ περιειληφότων ἀγγείων, σὺν οἷς καὶ ὁ κρεμαστὴρ [22]ὑπέπεσεν. ἡ δὲ ὅλη μήτρα συνέστηκεν ἐκ δυοῖν χιτώνοιν,

---

[1]δισχιδὲς B. P. [2]ἐμφυσήσεσιν P. [3]ἀναπλέκ. O. T. G. [4]μία O. T. G. [5]προσπαραπεφ. O. T. G. [6]ψαφαροὶ O. T. G. P. b. [7]συνεπόμενοι B. [8]ὑπομήκεις O. T. G. P. b. [9]ὑπόσιμ. δὲ καὶ στρογ. ἐπ. O. T. G. [10]τῆς om. G. ἐξ] δι' G. [11]ταῖς παρασκευαῖς παρατεθεὶς G. [12]τῶν τῆς O. T. [13]τὸ τοῦ O. T. G. [14]μὴ om. G. [15]διὰ τὸ] τῷ O. T. G. εἰς τοὐντὸς G. [16]περιελάβ. O. T. G. P. b. [17]σπέρμ. λόγῳ O. T. G. [18]Nomen Chii hujus medici non innotuit. Fabr. bibl. gr. XII. p. 683. [19]ἕνα κρεμ. G. [20]ἐντεροκήλης B. P. [21]χαλασμάτων κατεχόντ. αὐτ. τῶν εἰληφ. ἀγγ. B. P. [22]ὑπερέπ. O. T. G.

[1]ἐναντίως ἑαυτοῖς ἐσχηματισμένοιν, ἐμφερῶν ταῖς τῶν χάρτων [2]ἰσίν· ὁ μὲν οὖν ἔξωθεν νευρωδέστερός ἐστι καὶ λειότερος, [3]λευκότερος δὲ καὶ σκληρότερος, ὁ δὲ ἔσωθεν σαρκωδέστερος καὶ δασύτερος καὶ ἁπαλώτερος καὶ ἐνερευθέστερος, διόλου μὲν καταπεπλεγμένος ἀγγείοις, πλείοσι καὶ ἀξιολόγοις κατὰ τὸν πυθμένα, καὶ τοῦ σπέρματος ἐκεῖ κολλωμένου καὶ τῆς καθάρσεως ἐκεῖθεν φερομένης. οἱ μέντοι δύο χιτῶνες [4]οὗτοι συνέχονται πρὸς ἀλλήλους ὑμέσι λαγαροῖς καὶ νεύροις, ὥστε πολλάκις ἀπεκτεινομένων αὐτῶν προπίπτειν τὴν ὑστέραν, τοῦ μὲν νευρώδους χιτῶνος κατὰ χώραν μένοντος, τοῦ δὲ ἔσωθεν κατ' ἐκτροπὴν προπίπτοντος. ἔτι κοινῶς ἐπὶ μὲν τῶν ἀτόκων ἡ μήτρα κατὰ τὸν πυθμένα στολίδας ἔχει κατὰ τὸ πλεῖστον δύο [5]κυκλοειδῶς ἐνδεδιπλωμένας· ἐπὶ δὲ τῶν τετοκυιῶν ἐκτείνεται ὅλη καὶ περιφερὴς γίνεται. Διοκλῆς δὲ καὶ κοτυληδόνας καὶ πλεκτάνας καὶ [6]κεραίας λεγομένας εἶναί φησιν ἐν τῇ εὐρυχωρίᾳ τῆς μήτρας, [7]αἵτινες μαστοειδεῖς ἐκφύσεις ὑπάρχουσι, πλατεῖαι μὲν κατὰ βάσιν, μείουροι δὲ κατὰ τὸ ἄκρον, ἑκατέρωθεν κείμεναι τῶν πλευρῶν, προνοητικῶς ὑπὸ τῆς φύσεως γεγενημέναι χάριν τοῦ τὸ ἔμβρυον προμελετᾷν τὰς θηλὰς τῶν μαστῶν ἐπισπᾶσθαι. καταψεύδονται δὲ τῆς ἀνατομῆς· οὐχ εὑρίσκονται γὰρ αἱ κοτυληδόνες καὶ ἀφύσικός ἐστιν ὁ περὶ αὐτῶν εἰσαγόμενος λόγος, ὡς ἐν τοῖς περὶ ζωογονίας ὑπομνήμασιν ἀποδέδεικται. τὴν μέντοι γε μήτραν οὐχ ὑποληπτέον κυριότητα πρὸς τὸ ζῆν ἔχειν· οὐ γὰρ προπίπτει μόνον, ἐπ' ἐνίων δὲ καὶ ἀποκόπτεται δίχα τοῦ θάνατον αὐτὴν ἐπενεγκεῖν, ὡς ἱστόρηκε

---

[1]ἐναντίως om. G. [2]ἴναις B. P. [3]καὶ σκλ. καὶ λευκ. O. T. G. [4]αὐτῆς G. αὐτοῖς O. T. [5]πιλοειδ. O. T. G. δύο ...λοειδῶς P. [6]κερ ...γομένας εἶναι B. P. καρδίας κεραίας G. [7]αἵτινες usque ad finem capitis om. B.

*Θεμίσων· ἐν Γαλατίᾳ δὲ τὰς* [1] *ὗς εὐτροφωτέρας γίγνεσθαί φασι μετὰ τὴν ἐκτομὴν τῆς μήτρας.* [2] *πάσχουσα μέντοι πρὸς συμπάθειαν στόμαχον ἄγει καὶ μήνιγγας. ἔστι δέ τις αὐτῇ καὶ πρὸς τοὺς μαστοὺς φυσικὴ συμπάθεια. μεγεθυνομένης γοῦν αὐτῆς ἐν ταῖς ἀκμαῖς, καὶ οἱ μαστοὶ συνδιογκοῦνται· καὶ αὐτὴ μὲν τὸ σπέρμα τελεσιουργεῖ, μαστοὶ δ' εἰς τροφὴν τῶν κυησομένων γάλα παρασκευάζουσι· καὶ φερομένων μὲν τῶν καταμηνίων, σβέννυται τὸ γάλα, φερομένου δὲ τοῦ γάλακτος, οὐκέτι φαίνεται κάθαρσις· καθάπερ καὶ ἐπὶ τῶν παρηλικεστέρων, συστελλομένης τῆς ὑστέρας, καὶ οἱ μαστοὶ τρόπῳ τινὶ μαραίνονται καὶ, πάσχοντος τοῦ ἐμβρύου, στενοῦται τὸ μέγεθος αὐτῶν. ἐπὶ γοῦν τῶν κυοφορουσῶν θεασάμενοι ῥηγνυμένους τοὺς μαστοὺς καὶ συναγομένους γενησομένην προλέγομεν ἔκτρωσιν. καὶ τοιαύτη μὲν ἡ φύσις τῆς μήτρας.*

## *έ. Περὶ γυναικείου αἰδοίου.*

*Τὸ δὲ γυναικεῖον αἰδοῖον καὶ κόλπος ὠνόμασται* [3] *γυναικεῖος. ὑμὴν δέ ἐστι νευρώδης καὶ ὑπό τι περιφερὴς ὥσπερ ἔντερον, εὐρυχωρέστερον μὲν κατὰ τὸ ἔνδον, στενώτερον δὲ κατὰ τὸ ἐκτὸς, ἐν ᾧ καὶ τοὺς πλησιασμοὺς συμβέβηκε γίνεσθαι. τὸ μὲν οὖν ἔνδον αὐτοῦ μέρος περιπέφυκε τῷ τραχήλῳ τῆς* [4] *ὑστέρας, τὸ δὲ ἔξω τοῖς πτερυγώμασι, τὸ δὲ κάτω τῇ ἕδρᾳ, τὰ δὲ πλάγια τοῖς σαρκώδεσι τῶν ἰσχίων, τὸ δὲ ἄνω τῷ τραχήλῳ τῆς κύστεως·* [5] *οὕτω γὰρ, ὡς ἔφην, ὑπερπεσὼν τὸ στόμιον τῆς ὑστέρας, καὶ* [6] *παρατεθεὶς ἄνωθεν τῷ αἰδοίῳ κατάκρον εἰς τὸν οὐρητικὸν πόρον ἐμφύεται. ,φαίνεται τοίνυν, ὡς ὁ γυναικεῖος κόλπος ὑπόκειται μὲν τῷ τρα-*

[1] *οὕς* O. T. G. [2] *παρασχοῦσα* O. [3] *ἐκεῖνος* G. [4] *μήτρας ὡς ἐπὶ τῶν ἀῤῥένων* O. T. G. [5] *οὗτος* G. [6] *παραταθεὶς* O. T. G.

χήλῳ τῆς κύστεως, ἐπίκειται δὲ τῷ δακτυλίῳ καὶ τῷ σφιγκτῆρι καὶ τῷ ἄκρῳ τοῦ ἀπευθυσμένου. κατὰ δὲ μῆκός ἐστιν, ὡς ἔμπροσθεν ὑπεδείξαμεν, ἄνισος, οὐ μόνον παρὰ τὰς ἡλικίας ἢ παρὰ τὰς συνουσίας, ἐν αἷς [1] ἐπεκτεινόμενος ὁ τράχηλος τῆς ὑστέρας, ὥσπερ καὶ τὸ τῶν ἀῤῥένων αἰδοῖον, ἐπιλαμβάνει τι τοῦ κόλπου, ἀλλὰ καὶ [2] τῷ φύσει τινὰς μὲν προπετέστερον ἔχειν τὸν τράχηλον, τινὰς δὲ ἄγαν [3] κολοβόν· ταῖς πλείσταις δὲ τῶν τελείων ἕξ ἐστι δακτύλων. συμπέπτωκε μέντοι καὶ [4] στερώτερός ἐστιν ἐπὶ παρθένων, στολίσι κεχρημένος [5] συνεχομέναις ὑπ' ἀγγείων ἀπὸ τῆς ὑστέρας τὴν ἀπόφυσιν εἰληφότων, ἅπερ καὶ [6] κατὰ τὰς διακορεύσεις, [7] ἁπλουμένων [8] τῶν στολίδων, ῥήγνυται καὶ ἀποκρίνει τὸ συνήθως ἐπιφερόμενον αἷμα. τὸ γὰρ οἴεσθαι διαπεφυκέναι λεπτὸν ὑμένα διαφράσσοντα τὸν κόλπον, τοῦτον δὲ ῥήγνυσθαι κατὰ τὰς διακορεύσεις καὶ ὀδύνην ἐπιφέρειν, [9] ἢ θᾶττον, καθάρσεως γενομένης, μείναντα δὲ καὶ σωματοποιηθέντα τὸ [10] ἄτρητον λεγόμενον πάθος ἀποτελεῖν, ψεῦδός ἐστι. πρῶτον μὲν γὰρ ἐπὶ τῆς ἀνατομῆς οὐχ εὑρίσκεται, δεύτερον δὲ, [11] ἐπὶ τῶν παρθένων ἔχρην [12] ἀνακόπτειν τι τῇ μηλώσει· νυνὶ δὲ μέχρι βάθους ἄπεισιν ἡ μήλη· τρίτον δὲ, εἰ κατὰ τὰς διακορεύσεις ῥηγνύμενος ὁ ὑμὴν ὀδύνης γίνεται παραίτιος, ἔχρην ἐξ ἀνάγκης ἐπὶ τῶν παρθένων ἔμπροσθεν τῆς διακορεύσεως, ἐπιφανείσης καθάρσεως, περιωδυνία [13] παρακολουθῆσαι, κατὰ δὲ τὴν [14] διακόρευσιν μηκέτι· καὶ ἄλλως εἰ σωματοποιηθεὶς ὁ ὑμὴν τὸ

---

[1] ἐπεκτεινομένη ἡ ὑστέρα ὥσπερ G. [2] τῇ O. T. G. B. [3] κονδὸν B. P. curtum. κολοβὸν ἢ κονδὸν P. b. glossema. [4] στενότερος O. T. G. P. b. [5] συνεχομέναις om. G. [6] διὰ O. T. [7] καὶ ὀδύνην ἐπιφέρει O. T. P.b. G. [8] τῶν om. O. T. G. ῥήγ. δὲ καὶ ἀποκρίνεται ibidem. [9] εἰ θᾶττ. καὶ θαρσέως ἔμειναν τόνδε καὶ σωμ. G. [10] ἄτροτον P. ἄτροπον B. [11] ἀπὸ B. P. [12] ἀντικοτεῖν O. T. [13] παρακολουθεῖν O. T. P. b. [14] διάκρισιν O.

ἄτρητον ποιεῖ πάθος, ἔδει κατὰ τὸν αὐτὸν τρόπον εὑρίσκεσθαι διηνεκῶς αὐτὸν, ὃν τρόπον καὶ ἐπὶ τῶν ἄλλων μερῶν ἕκαστον ἐπὶ τοῦ ἰδίου πάντοτε τόπου [1]θεωρούμενον, νυνὶ δὲ ἐπὶ τῶν ἀτρήτων ὁ διαφράττων ὑμὴν [2]τὸν πόρον ποτὲ μὲν κατὰ [3]τὰ πρόχειρα μέρη τῶν πτερυγωμάτων εὑρίσκεται, ποτὲ δὲ κατὰ μέσον [4]τὸ αἰδοῖον, ἄλλοτε δὲ κατὰ μέσον τὸ στόμιον τῆς ὑστέρας. τοιοῦτος μὲν οὖν καὶ ὁ γυναικεῖός ἐστι κόλπος. τὰ δὲ ἔξωθεν αὐτοῦ καὶ [5]φαινόμενα, πτερυγώματα καλεῖται, τρόπῳ τινὶ [6]χείλη τοῦ κόλπου καθεστῶτα· παχέα δέ ἐστι καὶ σαρκώδη, καὶ πρὸς μὲν τὰ κάτω [7]πρὸς ἑκάτερον μηρὸν [8]ἀποτεθέντα, καθάπερ ἀλλήλων ἀποσχισθέντα, πρὸς δὲ [9]τὸ ὕπερθεν μέρος εἰς τὴν καλουμένην ἀπολήγει νύμφην. αὕτη δὲ [10]τοῖν δυοῖν πτερυγωμάτοιν ἐστὶν ἀρχή. τῇ φύσει δὲ σαρκίδιόν ἐστιν ὡσανεὶ [11]μυῶδες. νύμφη δὲ εἴρηται, διὰ τὸ [12]ταῖς νύμφαις ὁμοίως ὑποστέλλειν τὸ σαρκίον, ὑπὸ δὲ τὴν νύμφην πάλιν ἕτερον ὑποστέλλειν σαρκίδιον ἐπανεστηκὸς, ὅπερ ἐστὶ τοῦ τραχήλου τῆς κύστεως· καλεῖται δὲ οὐρήθρα, ἡ δὲ ἐντὸς [13]στολιδώδης τραχύτης, χεῖλος· διαφέρει δὲ τῆς ἐπ' ἀνδρῶν ἡ ἐπὶ θηλειῶν κύστις· ἐκείνη μὲν γὰρ μείζων ἐστὶ καὶ [14]σκολιὸν ἔχει τὸν τράχηλον, αὕτη δὲ [15]μικροτέρα καὶ εὐθυτράχηλος. ὑποδεδειγμένης δὲ τῆς φύσεως τῶν γυναικείων μερῶν, ἐπὶ τὰ τῆς μήτρας ἔργα, καθάρσεις, συλλήψεις, κυοφορίας, καὶ μετὰ τελείωσιν [16]ἀποτέξεις τῇ φυσικῇ χρώμενοι τάξει, πρῶτον ἐροῦμεν περὶ ἐμμήνων.

---

[1]θεωροῦμεν B. [2]αὐτὸν add. O. T. G. [3]τὰ om. G. [4]τοῦ αἰδοίου O. T. G. [5]φερόμενα G. [6]χείλη om. B. P. [7]ἑκάτερον εἰς μηρ. G. [8]ἀποτελευτᾶ O. T. G. [9]τὰ ὕπ. O. T. G. λεγομένην O. T. G. [10]τῶν — πτερυγωμάτων O. P. b. [11]κυῶδες G. [12]νυμφετομίαις — lacuna — ἐπὶ τῷ τραχήλῳ G. T. νυμφευομέναις O. [13]στόδης P. B. [14]σκληρὸν P. B. [15]μικρότερον P. B. [16]Fort. om. μεταβαίνοντες.

## ϛʹ. Περὶ ἐμμήνων καθάρσεως.

Τὸ ἔμμηνον ὠνόμασται καὶ καταμήνιον ἀπὸ τοῦ κατὰ μῆνα γίνεσθαι, καὶ ἐπιμήνιον, ὅτι καὶ τροφὴ γίνεται τῶν ἐμβρύων, ὡς καὶ τῶν πλοϊζομένων τὰ εἰς τροφὴν παρεσκευασμένα ἐπιμήνια [1]καλοῦμεν. λέγεται δὲ καὶ κάθαρσις, ἐπεὶ, καθὼς ἔνιοι λέγουσιν, ὡς περισσεῦον αἷμα τοῦ σώματος ἀποκρίνουσαν κάθαρσιν παρέχει τῷ σώματι. τὸ μέντοι καταμήνιον ἐπὶ μὲν τῶν πλείστων γυναικῶν εἰλικρινές ἐστιν αἷμα· ἐπ' ἐνίων δὲ ὑγρασία ὕφαιμος ἢ ἰχώρ τις, ὡς ἐπὶ τῶν ἀλόγων ζώων· οὐδὲν δὲ τούτων παρὰ φύσιν, ὡς ἄνευ δυσχερείας ἀποκρίνεται. διὸ κατ' ἔννοιάν ἐστι καταμήνιον αἷμα ἢ ἀναλόγως ὑγρὸν, φυσικῶς κατὰ χρόνους εὐτάκτους ἀποκρινόμενον, μάλιστα διὰ μήτρας. τὰ μὲν οὖν ἄλλα φανερὰ, τὸ δὲ διὰ μήτρας στόματι μάλιστα πρόσκειται, διὰ τὸ καὶ ἀπὸ τοῦ γυναικείου κόλπου [2]ποτὲ γίνεσθαι κάθαρσιν. τὸ δὲ ἔμμηνον ἐπιφαίνεται πρότερον περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος κατὰ τὸ πλεῖστον, [3]ὅτε καὶ τὸ ἡβᾷν καὶ τὸ διογκοῦσθαι τοὺς μαστούς. τὸ δὲ πλῆθος τῆς ἀποκρίσεως ἀρξάμενον ἀπ' ὀλίγου, [4]πρόεισιν ἐπὶ πλείονα χρόνον καὶ μένει ἐπὶ τοῦ αὐτοῦ, πάλιν ἐλαττοῦται, καὶ οὕτως ἀποπαύεται τελείως οὔτε τάχιον ἐτῶν τεσσαράκοντα κατὰ τὸ πλεῖστον, οὔτε βράδιον ἐτῶν πεντήκοντα. καὶ νῦν δὲ [5]πρόσκειται τὸ κατὰ τὸ πλεῖστον γινόμενον· ἐνίαις γὰρ καὶ μέχρι τῶν ἑξήκοντα παραμένει ἡ κάθαρσις. ἡ μέντοι συναύξησις [6]καὶ ἡ μείωσις οὐχ οὕτω γίνεται κατ' ἀκρίβειαν, ὡς ὑπενόησε Διοκλῆς λέγων· μένον αὐτὸ μέχρι ἐτῶν ἑξήκοντα γίνεσθαι... [7]τέλειον· εἶτα μεῖναν ἐνί τινα χρόνον [8]†πρόει...

---

[1]καλούμενα B. [2]γίνεσθαί ποτε B. [3]ὥστε B. [4]πρόσεισιν B. [5]Fort. πρόκειται. [6]καὶ ἡ μείωσις om. B. [7]Lacuna verbi unius P. [8]Lacuna P. Dioclis verba propter plures lacunas, quamvis sint

τοῦτο πάλιν παύεσθαι πρὸς λόγον ἔλαττον.... [1]τοῦτο γὰρ οὐ διηνεκῶς· ἄλλαις δὲ ἄλλως κατὰ τὸ [2]ἀόριστον πλεονάζειν τε καὶ μειοῦσθαι· τὸ πλεῖστον δὲ καταμήνιον δυοῖν ἐστι [3]κοτύλαιν· καὶ τοῦτο δὲ πάλιν ὡς ἐπὶ τὸ πολὺ [4]παραστοχασάμενοι λέγομεν. καθαίρονται δέ τινες μὲν ἐπὶ [5]μίαν ἡμέραν, τινὲς δὲ ἐπὶ δύο, τινὲς δὲ μέχρι καὶ τῆς [6]ἑβδόμης καὶ περαιτέρω, πλεῖσται δὲ μέχρι τριῶν ἢ τεσσάρων. καὶ τοῦτο γίνεται κατὰ μῆνα, καὶ οὐ πρὸς ἀκρίβειαν ἐπὶ πασῶν, ἀλλὰ κατὰ πλάτος· ἔστι γὰρ ὅτε καὶ προπαραλαμβάνει τινὰς ἡμέρας ἢ ἐφυστερεῖ. τοῦτο δὲ ἑκάστῃ κατὰ τὴν ἰδίαν ἀπαντᾷ προθεσμίαν, καὶ οὐ κατὰ τὰς αὐτὰς, ὥσπερ Διοκλῆς, [7]πάσῃ· καὶ πάλιν Ἐμπεδοκλῆς, ἐλαττουμένου τοῦ φωτὸς τῆς σελήνης· [8]αἱ μὲν γὰρ πρὸ εἰκάδος, αἱ δὲ ἐν εἰκάδι καθαίρονται· καὶ πάλιν, αἱ μὲν αὐξανομένου τοῦ φωτὸς τῆς σελήνης, αἱ δὲ μειουμένου καθαίρονται, ἄλλαι δὲ ἐν τοσαύταις τισὶν ἡμέραις, ὡς ἔθος [9]εἶχεν αὐταῖς. σημειωτέον [10]τὴν αὐτάρκη κάθαρσιν· τὸ γὰρ ἴσον καὶ [11]ὀλιγωτέραις, καὶ πλείοσιν κενώσεις αἵματος κατά γε τὰς ἡλικίας καὶ τὰς ἄλλας περιστάσεις. καὶ [12]τὸ ποτὲ μὲν παχυντικὰς προσενέγκασθαι τροφὰς, ποτὲ δὲ δριμείας καὶ λεπτυντικὰς, φαίνεται. τὸ δὲ πλῆθος τῆς καθάρσεως αὐτῶν ἄνισόν ἐστι φύσει καὶ παρὰ τὴν ἡλικίαν καὶ παρὰ τὴν ὥραν καὶ παρὰ τὴν σύγκρισιν καὶ παρὰ τὸ ἐπιτήδευμα καὶ τὴν ἀγωγὴν καὶ [13]παρ' ἄλλας τινὰς ἐμφερεῖς ἐξαλλαγάς· φύσει μὲν ἐπει-

---

breves, obscura. De quantitate menstruorum secundum aetatem agunt nominaque mensurae esse omissa videntur.

[1]Lacuna P. [2]ἄριστον B. [3]κοτύλων P. [4]παραστοχασάμενον P. B. λέγομεν om. B. [5]μιᾶς ἡμέρας B. [6]ἑβδομάδος B. [7]πάσαι B. πάσας P. [8]αἷμα πρὸ B. [9]ἔχειν B. [10]Fort. δὲ addendum. [11]ὀλιγώτεραι καὶ πλείονες B. [12]Fort. τῷ.... πλεῖον ἢ ἔλαττον φαίνεται. [13]παρ'] τὰς B.

δήπερ αὐτὸ τοῦτο φυσικῶς τισι μὲν πλεῖον ἐκκρίνεται τὸ αἷμα, τισὶ δὲ ἔλαττον· παρὰ δὲ τὴν ἡλικίαν· ὀλιγώτερον γὰρ ταῖς μελλούσαις μηκέτι καθαίρεσθαι καὶ ταῖς πρώταις ἀρχομέναις. ταύταις γοῦν πολλάκις μόνον τὸ τῆς παρακειμένης μήτρας χωρίον [1]περινοτίζεται· ὀλίγαις γὰρ παντελῶς, καὶ ταύταις ὑπεράκμοις πρὸ τῆς [2]διακορεύσεως ἀθροῦν ἐπιφαίνεται, μόνον δὲ, ὡς ἔφην, ἐπιμολύνει τοὺς τόπους· παρὰ δὲ τὴν ὥραν· ἔαρος μὲν γὰρ πλεῖον, θέρους δὲ ἔλαττον, ὡς ἂν πολλῆς [3]διαφορήσεως δι' ὅλου γινομένης τοῦ σώματος· φθινοπώρου δὲ πλεῖον μὲν παρὰ τὸ θέρος, ἔλαττον δὲ παρὰ τὸ ἔαρ, χειμῶνος δὲ πάλιν ἔλαττον τοῦ φθινοπώρου· παρὰ δὲ τὰς συγκρίσεις· καταπιμέλοις μὲν γὰρ καὶ παχείαις ὀλιγώτερον, ὡς ἂν τῆς ὕλης διὰ τὴν [4]εὐτροφίαν τοῦ συγκρίματος ἀναλισκομένης, ταῖς ἰσχνοτέραις δὲ καὶ ἀσάρκοις πλεῖον· ὃ γὰρ οὐκ ἐδαπάνησεν εἰς εὐτροφίαν ἡ φύσις, τοῦτο ἐπλεόνασεν εἰς ἔκκρισιν· παρὰ δὲ τὸ ἐπιτήδευμα καὶ τὴν ἀγωγήν· ταῖς μὲν ἀργῷ βίῳ χρωμέναις πλεῖον, ταῖς δὲ γυμναστικῷ καθ' ὃν δήποτε τρόπον, ἔλαττον· καὶ διὰ τοῦτο [5]φωνασκοῖς καὶ ταῖς ἀποδημίαν τινὰ στελλομέναις καὶ μάλιστα ταῖς ἐκ μεσογείων τόπων εἰς πελαγίους τόπους, ὑποστέλλεται τὸ πλῆθος· ποτὲ δὲ καὶ τὸ μηδόλως καθαίρεσθαι κατὰ φύσιν, οὐ μόνον παρὰ τὴν ἡλικίαν παιδικὴν οὖσαν ἢ πρεσβυτικὴν, ἀλλὰ καὶ παρὰ τὸ φωνασκίαις ἀγωνιστικαῖς χρῆσθαι, περιελκομένης καὶ [6]ἀπαναλισκομένης τῆς ὕλης καὶ τοῖς ὅλοις σώμασιν ἀνδρειώδεις ὑπάρχειν, ἢ διὰ τὸ ἀπὸ μακρᾶς εἶναι νόσου, δαπανωμένης τῆς ὕλης εἰς τὸ ἐλλεῖπον, ἢ διὰ σύλληψιν ἀναλισκομένου τοῦ αἵματος εἰς τὴν τοῦ ἐμβρύου διατροφήν· ἐνίαις

[1] περινομίζεται B. [2] ἰδίας κορέσεως B. [3] διαφορῆς ἴως B. P. [4] ἀτροφίαν B. [5] vide Moschion. c. 19. [6] ἀπαγομισκομένης B. ἀπανισκομένης et ἀπαγασκομένης P.

δὲ καὶ μετὰ σύλληψιν ἐπιφαίνεται κάθαρσις ἤτοι ἀπὸ τοῦ γυναικείου κόλπου ἢ ἀπὸ τοῦ τραχήλου τῆς ὑστέρας καὶ τῶν πλευρῶν· ἡ γὰρ πρόσφυσις τοῦ [1]σπέρματος οὐ καθ' ὅλης γίνεται τῆς μήτρας, κατὰ μόνου δὲ τοῦ πυθμένος αὐτῆς, ποτὲ δὲ καὶ ἀπὸ τοῦ καθὸ μὴ προσπέφυκε τὸ σπέρμα, γίνεται διαπήδησις αἵματος, καὶ διὰ τοῦτό τινες ἐπισυλλαμβάνουσι κοινῶς ὅτι κατὰ φράσιν ἐστί. τὸ μὴ γίνεσθαί ποτε τὴν κάθαρσιν σημειωτέον ἐκ τοῦ μηδὲν ὀχληρὸν παρακολουθεῖν.

## ζ. Τίνα σημεῖα μελλούσης γίνεσθαι καθάρσεως.

Μέλλουσαν δὲ γίνεσθαι κάθαρσιν σημειωτέον ἐκ τοῦ κατὰ τὴν προθεσμίαν τοῦ συνήθους καιροῦ δυσκινησίαν παρακολουθεῖν καὶ βάρος ὀσφύος, ἔσθ' ὅτε δὲ καὶ πόνον καὶ νωθρότητα, χάσμην τε συνεχῆ καὶ κώλων ἔκτασιν, ποτὲ δὲ καὶ μήλων ἔρευθος ἤτοι μένον ἢ [2]διαφορούμενον καὶ ἐκ διαστήματος πάλιν [3]ἐπανθοῦν· ἐπ' ἐνίων δὲ καὶ ἐκ τοῦ ναυτιώδη τὸν στόμαχον εἶναι καὶ ἀνόρεκτον· τὴν δὲ πρότερον γενησομένην κάθαρσιν καὶ ἐκ τούτων μὲν, μάλιστα δὲ ἐκ τῆς ὡς ἐν πλάτει περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος φύσεως τῶν μαστῶν καὶ ἐκ τοῦ περὶ τὸ ἦτρον βάρους, [4]κνησμοῦ τε καὶ ἡβήσεως· τὴν δὲ σύμμετρον ἑκάστης κάθαρσιν ἐκ τῆς συναριθμήσεως τῶν ἡμερῶν ἔκρινάν τινες· μὴ περαιτέρω γὰρ τῆς τρίτης ἡμέρας ἢ τετάρτης τὴν κατὰ φύσιν ἀπόκρισιν προέρχεσθαι. μεμπτέον δὲ τούτους· καὶ γὰρ μέχρι πλειόνων ἡμερῶν ἔνιαι καθαίρονται, κατὰ φύσιν τοῦ ἴσου πλήθους εἰς πλείονας ἡμέρας ἐπιμερισθέντος· καὶ πρὸς μίαν ἡμέραν δύναται πλεῖον ἀποκριθῆναι τοῦ κατὰ φύσιν. συμ-

---

[1] αἵματος B. [2] διαφόρον, μένον P. [3] ἐπανορθοῦν B. [4] καὶ κν. καὶ B.

μέτρως οὖν κεκαθάρθαι λεκτέον [1] τὰς μετὰ τὴν ἀπόκρισιν εὐσταθεῖς, εὔπνους, ἀταράχους, [2] τήν τε δύναμιν ἀκαθαιρέτους, τὰς δὲ μὴ τοιαύτας, [3] ἀσυμμέτρως. συμβαίνει δὲ τὰς τῆς συνουσίας προσβιαζομένας τοῦτο πάσχειν. τῆς δὲ ἐπιμελείας χάριν πρὸ μὲν τοῦ ἐκκρίνεσθαι τὸ ἔμμηνον, πειρᾶσθαι δεῖ συνεργεῖν ἀπὸ τῆς [4] τρισκαιδεκέτους ἡλικίας, ὅπως δι' ἑαυτοῦ καὶ πρὸ διακορεύσεως ἐνεχθῇ· πρὸς γὰρ τὴν συνουσίαν τῆς ὕλης ἐπὶ τὰ μέρη φερομένης, ὡς ἐπὶ ἀῤῥένων, οὕτω καὶ ἐπὶ θηλειῶν φόβος, μή πως, τῇ ἀποκρίσει καθυπηρετουμένου τοῦ ζώου, διάτασις γένηται καὶ φλεγμονή· διὸ πρᾶος μὲν ὁ περίπατος ἔστω καὶ ὁμαλὸς, ἐπιμήκης δὲ ἡ ὥρα, καὶ ἀνειμένα τὰ γυμνάσια, καὶ μετὰ πολλοῦ λίπους ἀναβεβλημένη ἡ τρίψις, καὶ καθ' ἡμέραν τὸ λουτρὸν, καὶ πᾶσα ψυχῆς διάχυσις. [5] συνεξανίεται γὰρ αὐτῇ τὸ σῶμα, καὶ ἀπαραποδίστους φέρει τὰς ἀποκρίσεις, χωρὶς εἰ μὴ κακῶς τις ἡγμένη λίαν ἐστὶν εὔθρυπτος· τότε γὰρ [6] ἐπιτονοῦν δεῖ τὸ σῶμα καὶ συνεκλύεσθαι τοῖς ὅλοις καὶ τὴν ὑστέραν· καὶ διὰ τοῦτο περὶ τὴν οἰκείαν ἐνέργειαν ἀτονεῖ, πρότερον ἠργμένης τῆς καθάρσεως, μεθ' ὧν ἐξεθέμεθα δυσαρεστημάτων. [7] †πρέμια τὰ πολλὰ χρήσιμος· καθάπερ γὰρ οἱ ἀπὸ κραιπάλης γέμοντες συντόνοις κινήσεσιν ἐλέγχονται μέχρι τοῦ νόσῳ περιπεσεῖν, καὶ οἱ πλήρεις [8] τὴν κεφαλὴν, βιαιότερον [9] ἀναφωνήσαντες, εἰς ἄλγημα περιτρέπονται, τὸν αὐτὸν τρόπον καὶ ἡ ὑστέρα πεπληρωμένη τῆς ἐπὶ τὴν κάθαρσιν φερομένης ὕλης ὑπὸ τῶν κινήσεων εἰς κοπώδη συναίσθησιν καταπυκνοῦται· διὸ καὶ ταῖς εὐχύλοις καὶ συμμέτροις τροφαῖς χρῆσθαι προσῆκεν, ἔτι δὲ τοῖς δι' ἐλαίου

---

[1] τὰς om. B. [2] τὴν — ἀκαθαιρ. om. B. [3] ἀσυμμήρους B. [4] τρισκαιδεκάτης B. κάτους P. [5] relaxatur. [6] ἐπιτονεῖν B. [7] Fort. ἠρεμία. [8] τῶν κεφαλῶν B. [9] ἐκφων. B.

θερμοῦ πεσσοῖς· ἐπὶ δὲ τῶν [1]ἤδη πολλάκις κεκαθαρμένων, ὡς ἔθος ἑκάστῃ, ποιεῖν ἐπιτρεπτέον· αἱ μὲν γὰρ συνήθως ἠρεμοῦσι, αἱ δὲ ἐπὶ μετρίας προφάσιν κινήσεις· ἀσφαλέστερον δὲ τὸ ἠρεμεῖν, καὶ ἀλουτεῖν, καὶ μάλιστα τῇ πρώτῃ τῶν ἡμερῶν. ἐπὶ δὲ τῶν ἤδη μηκέτι καθαίρεσθαι μελλουσῶν διὰ τὸν [2]παραβεβηκότα χρόνον, φροντιστέον, ὅπως μὴ ἀθρόα τῶν ἐμμήνων ἡ [3]ἀποκοπὴ γένηται· πᾶν γὰρ τὸ αἰφνίδιον ἐν μεταβολῇ κἂν ἐπὶ τὸ βέλτιον μεταφέρηται, διὰ ξενοπάθειαν λυπεῖ τὸν ὄγκον· οὐκ ἐπιγινώσκεται γὰρ τὸ μὴ προμελετηθὲν, ἀλλ' ὡς ἀήθει δυσαρεστήματι σύνεστιν, ὅσα παραλαμβάνομεν ἐπὶ τῆς πρώτης γενησομένης καθάρσεως. ταῦτα μὲν [4]συντακτέον ἐπὶ τῆς ἤδη καταπαυομένης διὰ τὸν χρόνον, [5]ἀλλὰ καὶ τὴν μὴ ὑπάρχουσαν ἔκκρισιν ἱκανὰ προσκαλεῖν ταῦτα, καὶ τὴν ἔτι ἀκμὴν παροῦσαν ἱκανωτέραν μέχρι τινὸς φυλάξαι. [6]προσπαραλαμβανέσθωσαν δὲ καὶ πεσσοὶ οἱ μαλάσσειν δυνάμενοι, καὶ οἱ τῆς δυνάμεως ἐγχυματισμοὶ [7]σὺν πᾶσι τοῖς τὰ σκληρυνόμενα σώματα τρυφερὰ ποιεῖν δυναμένοις. εἰ δὲ πλείων ἡ κάθαρσις τῆς δυνάμεως εἴη, ἤ τισιν ἔμπαλιν ἐπέχοιτο παρὰ φύσιν, τότε χρεία θεραπευτικῆς ἐπιμελείας, ἣν ἐν τῷ περὶ τῶν παρὰ φύσιν [8]λόγῳ συντάξομεν.

## η΄. Εἰ ἐπὶ συμφέροντι γέγονεν ἡ τῶν ἐμμήνων κάθαρσις.

Ἐπεὶ τοῖς μὲν συμφερόντως γιγνομένοις δεῖ συνεργεῖν, τοῖς δὲ ἀσυμφόρως ἀποσυνεργεῖν, ἀναγκαίως τὸν περὶ τοῦ προκειμένου ποιούμεθα λόγον· σημαίνειν δὲ ἐκ τῆς προτάσεως δύο, τὸ μὲν, εἰ πρὸς ὑγείαν, τὸ

---

[1] ἤδη om. B. [2] προβεβληκότα B. [3] ἀποτροπὴ B. [4] συνακτέον B. [5] ἀλλὰ om. P. [6] προσλαμ. B. [7] σὺν addidi. om. B. P. [8] λόγον B. λόγων P.

δὲ, εἰ πρὸς παιδογονίαν [1]συμφέρον τι γέγονεν ἡ κάθαρσις. καὶ περὶ ἀμφοτέρων αὐτῶν ἐστιν ἡ σκέψις. ἔνιοι μὲν οὖν τῶν ἔμπροσθεν, ὡς καὶ Ἡρόφιλος [2]ἐν τῷ πρὸς τὰς κοινὰς δόξας ἐμνημόνευσεν, ἐπὶ συμφέροντι [3]λέγουσι γεγονέναι τὴν κάθαρσιν καὶ πρὸς ὑγείαν καὶ πρὸς παιδοποιΐαν· Θεμίσων δὲ καὶ οἱ πλεῖστοι τῶν [4]ἡμετέρων πρὸς μόνην παιδογονίαν· τινὲς δὲ τῶν εὐσημοτέρων οὔτε πρὸς ὑγείαν οὔτε πρὸς [5]παιδοποιΐαν. Ἡρόφιλος δὲ καὶ Μνασέας κατὰ διαφόρους [6]ἐπιβολὰς, τισὶ μὲν τῶν γυναικῶν πρὸς ὑγείαν ὠφέλιμον λέγουσιν εἶναι τὴν κάθαρσιν, τισὶ δὲ βλαβεράν. οἱ πρῶτοι μὲν οὖν φασιν, ὅτι προνοητικὴ τῶν ἀνθρώπων οὖσα ἡ φύσις, ὁρῶσα τοίνυν τοὺς ἄῤῥενας γυμνασίοις τὸ περιττὸν ἀποκενοῦντας, τὰς δὲ θηλείας διὰ τὸ οἰκουργὸν καὶ καθέδριον διάγειν βίον πλῆθος ὑποσυλλεγούσας, προνοοῦσα τοῦ μηδὲ [7]ταύτας κινδύνῳ περιπεσεῖν, διὰ τῆς καθάρσεως ἐπενόησε τὸ περιττὸν ἀποχετεύειν· ἔνθεν, στραγγοτέρας γινομένης καθάρσεως, παρακολουθεῖ βάρος κεφαλῆς, καὶ ἀμβλυωπία, καὶ πόνος ἄρθρων, καὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς βάσεων, ὀσφύος τε καὶ ἤτρου συναίσθησις, ἀπορία, ῥιπτασμὸς, ἀνατροπὴ στομάχου, ποτὲ δὲ φρίκη, καὶ [8]πυρετὸς, ὧν ἕκαστον λύεται, τῆς καθάρσεως πάλιν ἐπιφανείσης. πρὸς τούτους δὲ λεκτέον, ὅτι τὸ προνοητικὴν εἶναι τὴν φύσιν διαπεφώνηται, καὶ βαρυτέραν ἔχει τοῦ νῦν ζητουμένου τὴν ἐπίκρισιν, εἴτε δύναται προνοοῦσα τῶν ἀνθρώπων μετρῆσαι τὰς ὀρέξεις, ὅπως μὴ πλείονα λάβωσι τὴν τροφὴν, ἢ κωλῦσαι γενέσθαι τι περισσόν· ἧς γὰρ ἴδιον κηδεμονικῶς ἀπο-

---

[1]Fort. ἐπὶ συμφέροντι. [2]Herophili opus aliunde nondum notum. [3]λέγων B. λέγομεν P. scripsi λέγουσι. [4]Ex hoc quoque loco patet, nostrum Soranum esse Methodicum. [5]παιδογονίαν B. [6]ἐπιβουλὰς Codd. male. [7]πάντας B. περιπ. κινδ. B. [8]παγετὸς B.

κρῖναι τὸ πλεονάσαν, τῆς αὐτῆς καὶ τὸ κωλῦσαι τὸν πλεονασμὸν [1]γενέσθαι τῆς ὕλης. εἰ δὲ καὶ προνοητικῶς ἐγέννησε τὴν κάθαρσιν, οὐ πρὸς ὑγείας τήρησιν, ἀλλὰ πρὸς παιδοποιΐαν ἐπενόησεν αὐτήν· ἔνθεν οὔτε ταῖς μήπω συλλαμβάνειν δυναμέναις οἷον ὡς νηπίαις [2]παρέσχε τὴν κάθαρσιν, οὔτε ταῖς μηκέτι καθάπερ ταῖς παρήλιξιν, ἀλλὰ τῇ περιγραφῇ τῆς χρείας συναπέσβεσε τὸ ἔργον. [3]ἐπεχομένης δὲ τῆς καθάρσεως, ὀχλεῖ τὸ σῶμα διὰ τὴν στέγνωσιν, ὑφ' ἧς κεκώλυται φέρεσθαι τὸ ἔμμηνον· διὸ καὶ ἡ φορὰ τῆς καθάρσεως ἀλυσιτελὴς ἔδοξεν, οὐκ ἀνασκευάζουσα τὴν στέγνωσιν ἤ τι τῶν συμπτωμάτων αὐτῆς· λυομένης δὲ τῆς στεγνώσεως, ἐπιφαινομένη καθάπερ καὶ ἡ τῶν σκυβάλων καὶ ἡ τῶν ἱδρώτων ἀπόκρισις. ἐπὶ πολὺ δὲ [4]διαφέρει νόσος ὑγείας. οὐκέτι τοίνυν τὸ ὠφέλιμον εἰς τὸ ἀνασκευάσαι πάθος, τοῦτο καὶ εἰς τὸ τηρῆσαι τὴν ὑγείαν εὔχρηστον. ἡ γοῦν φλεβοτομία, λύουσα τὴν στέγνωσιν, οὐ τηρεῖ τὴν ὑγείαν. ἀλλ' οὐδὲ πρὸς παιδοποιΐαν ὠφελεῖ· οἱ τὴν κάθαρσιν [5]ὑπολαμβάνοντες... φασίν, ὅτι τῆς ὑστέρας ἑλκουμένης, ἡ κάθαρσις γίνεται· πᾶσα δὲ ἕλκωσις παρὰ φύσιν· οὐδὲν δὲ τῶν παρὰ φύσιν ἀποδοτικὸν τοῦ κατὰ φύσιν, [6]ἐν μέρει αἵματος, ὥστε οὐδὲ πρὸς σύλληψίν ἐστιν εὔχρηστος. ἀμέλει τινὲς μὲν ἐξ ὅλου κεκαθαρμέναι συλλαμβάνουσιν, [7]αἱ δὲ πρὸ τῆς καθάρσεως συλλαμβάνουσαι μετὰ τὴν σύλληψιν ἐκαθάρθησαν. καὶ τούτους [8]δὲ ἐπιμεμπτέον· οὐ γάρ, ἑλκουμένης τῆς μήτρας, ἡ κάθαρσις γίνεται, κατὰ διαπήδησιν δὲ καὶ περιίδρωσιν, ὃν τρόπον καὶ τὰ οὖλα παρατριβόμενα χωρὶς ἑλκώσεως [9]προΐησιν αἷμα, καὶ ὡς ἐπὶ τῶν ἄνευ τραύματος καταγμάτων

---

[1]γενέσθαι om. B. [2]τὴν καθ. παρ. B. [3]ἐπιχομένης B. P. [4]διαφέρει] διὰ B. [5]Fort. om. πρὸς ταύτην ὠφέλιμον εἶναι. [6]ἐν μέρος B. P. [7]οὐδὲ B. [8]μὲν B. [9]ποίησιν B.

αἱμοβαφεῖς ἐν ταῖς [1]ἐπιδέσεσι τοὺς τελαμῶνας εὑρίσκομεν. τὸ δέ τινας ἐξ ὅλου μὴ καθαιρομένας συλλαμβάνειν, ψεῦδός ἐστι· καὶ γὰρ εἰ μὴ δι' αἵματος, διά τινος γοῦν ἄλλης ὑγρασίας καθαίρονται, καθάπερ καὶ τῶν ἀλόγων ζώων τινά· μετὰ δὲ τὴν σύλληψιν [2]ἐπικαθαίρονταί τινες ἀπ' ἄλλων μερῶν, ὡς ἔμπροσθεν ἐδείξαμεν, καὶ οὐκ ἐξ ἐκείνων, οἷς τὸ σπέρμα προσπέφυκεν. Ἡρόφιλος δέ ποτε μὲν καί τισι τῶν γυναικῶν βλαβεράν φησιν εἶναι τὴν κάθαρσιν· καὶ γὰρ ἀνεμποδίστως τινὰς ὑγιαίνειν, μὴ καθαιρομένας, καὶ πολλάκις τοὐναντίον καθαιρομένας ὠχροτέρας γίνεσθαι καὶ ἰσχνοτέρας καὶ παθῶν λαμβάνειν ἀφορμάς· ποτὲ δὲ καὶ ἐπί τινων ὠφέλιμον, ὥστε πρότερον ἀχροούσας καὶ ἀτροφούσας ὕστερον καὶ μετὰ τὴν κάθαρσιν εὐχροῆσαί τε καὶ εὐτροφῆσαι. Μνασέας δὲ τὰς μὲν σφοδρὸν ἔχειν τὸ κατὰ φύσιν, τὰς δὲ ἀμυδρὸν, καὶ τῶν ἀμυδρῶν τὰς μὲν στεγνότερον, [3]τὰς δὲ ῥοωδέστερον. ταῖς μὲν οὖν στεγνότερον ἐχούσαις τὸ κατὰ φύσιν, ὑγιεινήν φησιν εἶναι τὴν κάθαρσιν, ταῖς δὲ ῥοωδέστερον οὐχ ὑγιεινὴν, ὃν τρόπον καὶ τὴν φλεβοτομίαν τοῖς μὲν στεγνοπαθοῦσιν ἁρμόζειν διαχαλῶσαν, τοῖς δὲ ῥευματιζομένοις βλαβερὰν εἶναι διὰ τὸ [4]συναύξειν τὴν εὐδιαφορησίαν. λεληθότως δὲ οὗτος εἰσάγει τὰ κατὰ [5]Διονύσιον, στεγνόν τι καὶ ῥοῶδες ὀνομάζων κατὰ φύσιν, ὅπερ οὐχ ὑγιές ἐστιν, ὡς ἐν τῷ δευτέρῳ περὶ [6]κοινοτήτων ἐπελογίσθη. τό γε μὴν στεγνότερον κατὰ φύσιν καὶ τὴν σμικροτάτην

---

[1] ἐπιλήσεσι B. ἐπιλύσεσι P. Scripsi ἐπιδέσεσιν. τελαμόνας B. P. [2] ἀποκαθ. B. [3] τὰς δὲ om. B. [4] συνάξειν B. εὐδιαφορίαν B. [5] Mnaseas et Dionysius Methodici. Cf. Galen. Isagog. c. 4. [6] Sorani Ephesii de communitatibus libri memorantur a Caelio Aureliano. Ex hoc loco pariter efficitur, Soranum Menandri et Phoebes filium et Soranum Ephesium juniorem unum eundemque esse. Cf. Fabric. Bib. gr. XII. 684.

παθητικῆς στεγνώσεως ἀμυδρότερόν ἐστιν. [1]ὡς οὖν οὐ μόνον τοῖς ῥευματιζομένοις ἐπιβλαβὴς ἡ φλεβοτομία καθέστηκεν, ἀλλὰ καὶ τοῖς ἀμυδρῶς στεγνοπαθοῦσι, τῷ πλείονα τῆς ὠφελείας τὴν βλάβην ἐπιτελεῖν, καλουμένης τῆς δυνάμεως πρὸς τὴν [2]ἀσυναληψίαν, οὕτως καὶ ἡ κάθαρσις ἐπιβλαβὴς γένοιτ' ἂν οὐ μόνον ταῖς ῥοωδέστερον τὸ κατὰ φύσιν ἐχούσαις, ἀλλὰ καὶ ταῖς στεγνότερον. κοινῇ δὲ πρὸς τοῦτον καὶ πρὸς Ἡρόφιλον λεκτέον, ὅτι βλάπτει μὲν ἡ κάθαρσις πρὸς τὸ ὑγιαίνειν ἅπασα· ἤδη δὲ τῶν μὲν εὐπαθεστέρων καθάπτεται μᾶλλον· διαλανθάνει δὲ τὸ βλαβερὸν αὐτῆς, ἐφ' ὧν δυσπαθῆ τὰ σώματα [3]κέκτηται. τὰς οὖν πλείονας τῶν μὴ καθαιρομένων εὐτονωτέρας θεωροῦμεν, ὥσπερ τὰς ἀνδρώδεις τε καὶ στείρας. καὶ τὰς [4]παρήλικας δὲ τὸ μηκέτι καθαίρεσθαι πρὸς τὸ ὑγιαίνειν οὐδὲν ἀδικεῖ, πάντῃ δὲ τοὐναντίον τὰς πολλὰς [5]† θηλυτοὺς καθίστησιν ἡ τοῦ αἵματος ἀπάντλησις. [6]ἔδει δὲ καὶ τὰς μήπω καθαιρομένας τῶν παρθένων ἧττον ὑγιαίνειν· εἰ δὲ τῆς ὑγείας μετέχουσιν ἀνελλιπῶς, μηδέποτε μὲν πρὸς τὸ ὑγιαίνειν ἡ κάθαρσις ... [7]οὐ συμβάλλεται, πρὸς μόνον δὲ τὸ παιδοποιεῖν· [8]χωρὶς γὰρ τῆς καθάρσεως σύλληψις οὐ γίνεται.

## θ΄. Εἰ ὑγιεινή ἐστιν ἡ διηνεκὴς παρθενία.

Τὴν διηνεκῆ παρθενίαν οἱ μὲν ὑγιεινὴν ἔλεξαν, οἱ δὲ οὐχ ὑγιεινήν. οἱ πρῶτοι δέ φασιν, ὅτι κάμνει τὰ σώματα διὰ τὰς ἐπιθυμίας. ἀμέλει τῶν ἐρώντων ὠχρὸν καὶ ἄτονον καὶ ἰσχνὸν τὸ σῶμα βλέπομεν. ἡ παρθενία δὲ διὰ τὴν ἀπειρίαν τῶν ἀφροδισίων παρῆκε τὰς ἐπιθυμίας·

---

[1]ὡς] καὶ B. [2]ἀσυναλληψίαν P. Fort. ἀσυναναληψίαν. virium prostrationem, nutritionis paupertatem. [3]κέχρηται B. P. male. [4]παρ' ἡλικίαν Codd. [5]Fort. θηλυκάς. [6]ἔδει — κάθαρσις om. B. [7]Fort. addendum, πρὸς ὑγείαν μὲν οὖν... οὐ συμβ. [8]χάρις B.

[1] ἔπειτα πᾶσα σπέρματος ἔκκρισις ἐπιβλαβὴς, ὡς ἐπὶ τῶν ἀῤῥένων, οὕτω καὶ ἐπὶ τῶν θηλειῶν. ἡ παρθενία τοίνυν ὑγιεινὴ [2] κωλύουσα τῇ τῶν σπερμάτων ἀποκρίσει χρῆσθαι. μαρτυρεῖ δὲ τῶν εἰρημένων καὶ τὰ ἄλογα ζῶα· τῶν μὲν γὰρ ἵππων αἱ μὴ ὀχευθεῖσαι δρομικώτεραι μᾶλλόν εἰσι, τῶν δὲ συῶν αἱ τὰς μήτρας ἐκτμηθεῖσαι μείζους καὶ εὐτροφώτεραι καὶ ἰσχυρότεραι, καὶ τοῖς ἄῤῥεσιν ἐμφερῶς ἐσφιγμέναι. πρόδηλον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀνθρώπων· ἐπὶ γὰρ τῶν ἀῤῥένων οἱ μένοντες ἄφθοροι, ῥωμαλεώτεροί τε τῶν ἄλλων εἰσὶ καὶ μείζονες, καὶ ὑγιεινότερον διαβιοῦσιν. ἀκόλουθόν ἐστι καὶ ταῖς θηλείαις ὑγιεινὴν ἐν τῷ καθόλου συνομοταγεῖν τὴν παρθενίαν· αἵ τε συλλήψεις καὶ ἀποτέξεις δαπανῶσι τὰ σώματα τῶν θηλειῶν, καὶ ἀθρόως [3] ἀπομαραίνουσιν, ἡ παρθενία δὲ τῶν ἐντεῦθεν ἀδικημάτων τὰς θηλείας ὑφαιροῦσα, [4] δεόντως ἂν ὑγιεινὴ λέγοιτο. οἱ δὲ τῆς ἐναντίας ὑπολήψεώς φασιν, ὅτι τὸ ἐπιθυμεῖν τῶν ἀφροδισίων οὐ μόνον γυναικῶν ἐστιν, ἀλλὰ καὶ παρθένων. ἔνιαι γοῦν [5] παρθένοι βαρυτέρους γυναικῶν ἔρωτας ὑπέμειναν· μία γὰρ τῆς ὀρέξεως ἄνεσις, ἡ τῆς μίξεως χρῆσις· ἡ ἀπαλλαγὴ οὐκ ἀναιρεῖ τοίνυν τὴν ἐπιθυμίαν [6] τῷ παρθενοτροφεῖσθαι. τὴν δὲ τοῦ σπέρματος ἀπόκρισιν ἔνιοι μέν φασι μήτε ἐπὶ τῶν ἀῤῥένων μήτε ἐπὶ τῶν θηλειῶν κατὰ γένος εἶναι βλαβερὰν, κατὰ δὲ τὴν ἀμετρίαν βλάπτεσθαι τὰ σώματα πρὸς τὴν συνεχῆ τοῦ σπέρματος ἀπόκρισιν, ὠφελεῖσθαι δὲ πρὸς τὴν ἐκ [7] διαστήματος, ὥστε καὶ δυσκινησίαν ἀπολύεσθαι καὶ δυσφωνίας. πολλοὶ γοῦν μετὰ συνουσίαν εὐκινητότεροι κατέστησαν καὶ γενναιότερον ἠνέχθησαν. ἔνιοι δέ φασι βλαβερὰν μὲν εἶναι τὴν τοῦ σπέρματος

---

[1] ἔπειτα om. B. [2] κωλύη οὖσα Codd. [3] ἐπιμαρ. B. [4] καὶ add. B. [5] τῶν παρθένων B. [6] τὸ B. P. Dedi τῷ. [7] διαστόματος B. P. dedi διαστήματος.

[1]πρόεσιν, ὡς ἀτονίας οὖσαν ἀποτελεστικὴν, ἤδη δέ ποτε καὶ κατὰ τοῦτο λυποῦσαν· [2]ἐπ' ὀλίγον δὲ καὶ προσκαίρωσις. ἀλλὰ τί πλεῖον ὠφελεῖν τοῦτ' ἐστιν εἰς τὴν ἀπαραπόδιστον τῶν ἐμμήνων ἀπόκρισιν; ὥσπερ γὰρ τὸν ἱδρῶτα προσκαλεῖσθαι μὲν ἡ τῶν ὅλων σωμάτων κίνησις εἴωθεν, ἐπέχειν δὲ καὶ παρακρατεῖν ἡ ἀκινησία, καὶ ὡς τὸ σίελον ἡ προφορὰ τῆς φωνητικῆς ἐνεργείας πρὸς ἔκκρισιν ἄγει μᾶλλον, ταῖς δὲ διόδοις τοῦ πνεύμονος πέφυκε συνεπακολουθεῖν, οὕτω καὶ ἡ περὶ τὰ γυναικεῖα μόρια συγκίνησις ἐν τοῖς ἀφροδισίοις συναναχαλᾷ τὸν ὄγκον [3]ὅλον. διὰ τοῦτο [4]δὲ τὴν ὑστέραν ἀνίησιν, ὥστε καὶ τὴν κάθαρσιν ἀπαραπόδιστον φυλαχθῆναι. πολλαὶ γοῦν διὰ μακρὰν χηρείαν στράγγως καὶ μετὰ πόνου καθαιρόμεναι, γαμηθεῖσαι πάλιν ἐκαθάρθησαν [5]ἀπαρεμποδίστως· αἱ δὲ ἐκτμηθεῖσαι τὰς μήτρας [6]ὕες ἐῤῥωμενέστεραι γίνονται διὰ τὸ μηδ' ὅλως ἔχειν τὸ τὴν ἔμμηνον ἔκκρισιν ὑπομένον σπλάγχνον. ὡς οὖν οὐδὲ ποδαγρὸς ἄν τις γένοιτο πόδας οὐκ ἔχων, οὐδὲ στραβὸς τοὺς ὀφθαλμοὺς ἐκκεκομμένος, τῷ μὴ ἔχειν τὸ [7]μέλος, οὐ νοσήσει κατὰ τὸν αὐτὸν τρόπον· οὐδὲ ταῖς μὴ ἐχούσαις τὴν μήτραν δύναται παρακολουθῆσαι τὰ κατὰ τὴν ὑστέραν γινόμενα δυσχερῆ. ταῖς δὲ παρθένοις πάρεστιν ἡ μήτρα· κίνδυνος οὖν, διόλου τῆς συμπλοκῆς ἀπεχομένων αὐτῶν, παραπολεσθῆναι τὴν τῆς ὑστέρας ἐνέργειαν. πρὸς δὲ τὸ τὰς μὴ συνουσιαζούσας ἀπαλλάσσεσθαι τῆς ἐκ τοῦ τίκτειν κακώσεώς φασιν, ὅτι πρὸς ἕτερα [8]πολλῷ χείρονα διὰ τὸ μὴ συνουσιάζειν βλάπτονται, παραποδιζομένης τῆς ἐμμήνου καθάρσεως. ἀμέλει καὶ [9]καταπίμελοι γίνονται καὶ τοῖς συγκρίμασι περιπληθεῖς, ὑποσωρευομένου κατ'

[1] πρόεισιν B. P. [2] Parum juvat, si in tempore concumbant. [3] ὅλον om. B. [4] δὴ B. [5] ἀπαραποδ. B. [6] ὕες om. B. [7] τέλος B. [8] πολὺ B. βλάπτοντα B. [9] καταπίμελα B. P.

ὀλίγον τοῦ διὰ τῆς καθάρσεως ὀφείλοντος ἐξαναλοῦσθαι. βλαβερὰ τοίνυν ἡ δι' ὅλου παρθενία. καὶ τοιαῦτα μὲν λέγουσιν [1]ἑκατέρωθεν. ἡμεῖς δὲ τὴν διηνεκῆ παρθενίαν ὑγιεινὴν εἶναί φαμεν, ὅτι βλαβερὰ κατὰ γένος ἡ συνουσία, καθάπερ ἐν τῷ [2]ὑγιεινῷ διὰ πλειόνων ἀποδέδεικται. βλέπομεν δὲ καὶ τῶν ἀλόγων ζώων ἐν τοῖς θηλυκοῖς ὄντα ἐῤῥωμενέστερα τὰ κωλυόμενα τῇ συνουσίᾳ χρῆσθαι, καὶ τῶν γυναικῶν δυσαναλωτοτέρας πρὸς νόσους τὰς διὰ νόμον καὶ τὴν εἰς θεοὺς θρησκείαν ἀποτεταγμένας ταῖς μίξεσι, καὶ τὰς ἐννόμῳ ἐν παρθενίᾳ [3]διαφυλαχθείσας. τὸ δὲ [4]στράγγως καθαίρεσθαι καὶ εἰς πιμελώδη καὶ ἄμετρον ὄγκον παρεκχεῖσθαι, διὰ τὴν ἀργίαν καὶ τὴν ἀκινησίαν γίνεται τοῦτο [5]........ματος. ἐπεὶ γὰρ πολλαὶ τῶν οὕτως παρθενοτροφουμένων. .........ρήσοι, καὶ †φυλακὴ μένουσαι τῶν ὀφειλομένων γυμνασίων οὐ μεταλαμβάνουσιν οὐδὲ ἀέρων, οὐδὲ τῆς ἐντεῦθεν εὐαρεστήσεως· διὰ τοῦτο τοῖς εἰρημένοις ὀχληροῖς [6]εὑρίσκονται. διόπερ ὑγιεινὴ μὲν ἡ διηνεκής ἐστι παρθενία, καθάπερ ἐπὶ τῶν ἀῤῥένων, καὶ ἐπὶ τῶν θηλειῶν, τῷ κοινῷ δὲ τῆς φύσεως λόγῳ καθ' ὃν [7]τοῦ μένειν ἑκάτερα τὰ γένη τὴν τῶν ζώων διαδοχὴν, ἡ μίξις ἀκόλουθος ἂν εἴη. καὶ περὶ τούτου ἑξῆς διαλαβεῖν ἀναγκαῖον.

### ι'. Μέχρι τίνος τὸ θῆλυ παρθενοτροφητέον.

Ἐπεὶ τὸ μὲν ἄῤῥεν, μόνον [8]προετικὸν σπέρματος ὑπάρχον, οὐδένα κίνδυνον ἔχει ἐκ τῆς πρώτης μίξεως, τὸ δὲ θῆλυ καὶ δεκτικόν ἐστι σπερμάτων καὶ συλληπτικὸν εἰς ὑπόστασιν τοῦ ζώου, καὶ παρ' [9]αὐτὸ τοῦτο κινδυνεῦσαι εὑρίσκεται ἔλαττον ἢ προσῆκεν, ἐπὶ τὰς διακορήσεις

[1] ἑκάτεροι add. B. [2] Sorani hic liber non memoratur a Fabricio. [3] φυλαχθ. B. [4] στράγγος B. P. [5] Lacunae in utroque codice. [6] Fort. ἁλίσκονται. [7] Fort. τὸ. [8] προεκτικὸν B. [9] αὐτῷ τούτῳ B.

[1]ἀγόμενον ἢ βράδιον, εὐλόγως περὶ τοῦ προκειμένου σκέμματος ἐπιζητοῦμεν. ἔνιοι μὲν οὖν μέχρι τοσούτου διατελεῖν ἐν παρθενίᾳ τὸ θῆλυ καλῶς ἔχειν ὑπέλαβον, μέχρις οὗ μήπω πρὸς τὴν μίξιν ἔσχηκεν ὁρμήν· αὐτὴ γὰρ ἡ φύσις, ὡς ἐπὶ τῶν ἀλόγων ζώων, οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων, καθ' ἣν δεῖ προθεσμίαν ἐπὶ τὴν μίξιν ἐλθεῖν, οἴστρους τινὰς ἐφύτευσε καὶ ὁρμὰς ἐκίνησεν, ὁρμῶντος ἤδη τοῦ σώματος ἐπὶ τὴν τῶν ἀφροδισίων ἀπόλαυσιν ἐλθεῖν. λέληθε δὲ τούτους, ὅτι τὰ μὲν ἄλογα ζῶα, μόνῃ φύσει καὶ ἀλόγῳ τύχῃ διοικούμενα, παρ' ἑαυτῶν οὐδὲν εἰς ἐπιθυμίαν συνεισφέρει· διὸ καὶ τῶν πλείστων ἐμπρόθεσμος ὁ χρόνος [2]τῆς ἐπὶ τὴν μίξιν ὁρμῆς, ἐπὶ δὲ τῶν ἀνθρώπων ἀπρόθεσμος πολλαχοῦ, καὶ τοῦ λόγου διὰ [3]καινάς τινας ἡδονὰς ἢ δόξας σαλεύοντος τὰς ὁρμάς. ἐπεὶ τοίνυν αἱ μὴ σωφρονικῶς ἀγόμεναι παρθένοι διὰ τὸ ἀπαιδαγώγητον προωροτέρας ἕλκουσι τὰς ἐπιθυμίας, διὰ τοῦτο ταῖς ὁρμαῖς οὐ [4]καταπιστευτέον. μέχρι δὲ τοσούτου διατηρεῖν ἐν παρθενίᾳ [5]συμφέρει, μέχρις οὗ δι' ἑαυτῆς γένηται κάθαρσις. ἔσται γὰρ τεκμήριον τοῦ δύνασθαι τὴν ὑστέραν ἤδη [6]τὰς ἰδίας ἀποτελεῖν ἐνεργείας, ὧν .... [7]μὲν καὶ ἡ σύλληψις, ὡς ἔμπροσθεν εὑρήκαμεν· [8]κίνδυνος, τὸ καταληφθὲν σπέρμα συλληφθῆναι, μικρομεγέθους ἔτι τῆς μήτρας ὑπαρχούσης, καὶ διὰ τοῦτο θλιβησομένου μετὰ τὴν ὄγκωσιν τοῦ ἐμβρύου, καὶ οὕτως ἤτοι φθαρησομένου παντελῶς ἢ τοὺς χαρακτῆρας [9]ἀπολέσοντος [10]ἢ πάντως ἐν τῷ καιρῷ τῆς ἀποτέξεως κίνδυνον παρεξομένου τῇ κυοφορούσῃ τῷ διὰ στενῶν ἔτι καὶ ἀτελειώτων ἀκμὴν τῶν περὶ τὸ στόμιον τῆς ὑστέ-

[1]ἀγόμενον] ἀνόμοιον B. Fort. om. τάχιον ἢ βράδιον. — ἀλόγως B. [2]τῆς et τὴν om. B. [3]κοινὰς B. [4]πιστευτέον B. [5]συμφέροι B. [6]τῆς B. P. Scripsi τάς. [7]Lacuna parva P. [8]Fort. κίνδυνος γὰρ etc. [9]ἀποτελέσαντος B. foetu formam perdituro. [10]εἰ B.

ρας μερῶν διέρχεσθαι. συμβαίνει δὲ οὕτως καὶ ἀτροφεῖν ἔνια τῷ μὴ πρώτην ὑστέραν μεγάλοις ἀγγείοις καταπεπλέχθαι, λεπτοῖς δὲ καὶ οὐχ ἱκανοῖς τοσοῦτον αἷμα παρακομίζειν, ὅσον ἱκανόν ἐστι τὸ κατὰ γαστρὸς διαθρέψαι. τὸ μέντοι τὴν κάθαρσιν ἐπιφαίνεσθαι πρῶτον κατὰ τὸ πλεῖστον περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος [1]ἀπαντᾷ. τοῦτο τοίνυν ὄντως ἐστὶ φυσικὸν καὶ τὸν τῆς διακορήσεως [2]ἐμφαῖνον χρόνον. οὐκ ἀσφαλὴς δὲ πάλιν οὐδ' ἡ μετὰ πολυετῆ χρόνον διακόρησις· μένει γὰρ συμπεπτωκὼς ὁ τράχηλος τῆς ὑστέρας, ὃν τρόπον καὶ τὰ τῶν ἀῤῥένων μόρια παρὰ τὸ μὴ χρῆσθαι τοῖς ἀφροδισίοις, οὕτως [3]† οὐκ ἂν εὐρυχωρία μὲν τῷ κύτει τῆς ὑστέρας τὸ σπέρμα διαπλασθὲν καὶ τελειωθὲν εἰς ζῶον, διὰ στενοῦ δὲ τοῦ τραχήλου κατὰ τὴν ἀπότεξιν οὐκ εὐμαρῶς διελθεῖν δυνάμενον, μεγάλας ὀχλήσεις καὶ κινδύνους ἐπιφέρει. διόπερ ὁ προειρημένος χρόνος ἐν τῷ τελειούμενον τὸ χωρίον τῆς γενέσεως [4]δύνασθαι τὴν σύλληψιν ὑπομένειν ἐπιτήδειός ἐστιν εἰς διακόρησιν.

## ια.′ Πῶς σημειωτέον τὰς δυναμένας συλλαμβάνειν.

Ἐπεὶ τέκνων ἕνεκα καὶ διαδοχῆς, ἀλλ' οὐχὶ φίλης [5]ἡδυπαθείας οἱ πολλοὶ γάμοις συγκαταζεύγνυνται, παντελῶς ἐστιν ἄτοπον περὶ μὲν τῆς προγονικῆς αὐτῶν εὐγενείας ἐξετάζειν καὶ τῆς τῶν χρημάτων περιουσίας, περὶ δὲ τοῦ πότερον δύναται συλλαμβάνειν ἢ μὴ, καὶ εἰ πρὸς τὸ τίκτειν εὐφυῶς ἔχουσα ἢ οὐ, ἀνεξέταστον ἀπολιπεῖν. [6]δεόντως τὸν περὶ τοῦ προκειμένου ποιούμεθα λόγον.

---

[1]ἅπαντα B. [2]ἐμφαίνων B. P. [3]οὐκ ἄνευ χωρίας B. ἀνευρυχωρία P. Legendum esse arbitror: οὕτως οὖν ἐν εὐρυχωρίᾳ μὲν, τῷ κύτει τῆς ὑστέρας, τὸ σπέρμα etc. [4]δύναται B. P. [5]ἡδονῆς καὶ add. B. [6]Fort. om. διό.

εὐφυῶς δὴ πρὸς σύλληψιν διακεῖσθαι σημειωτέον τὰς ἀπὸ πεντεκαιδεκαετοῦς ἡλικίας ἕως τεσσαρακονταετοῦς κατὰ [1] τὸ πλεῖστον μηδ' οἷον ἀνδρώδεις καὶ πυκνὰς καὶ [2] καταπάχους ἢ καταπιμέλους εἶναι, μήτε ἄγαν ἐκλελυμένας καὶ καθύγρους καὶ τὴν ὑστέραν ἐμφερῆ τοῖς ὅλοις [3].... ὑπάρχουσαν ἢ διὰ πολλὴν [4] σκληρίαν μὴ δέχεσθαι ῥᾳδίως τὴν πρόσφυσιν τοῦ σπέρματος ἢ δι' ὑπερτεταμένην ἔκλυσιν καὶ ἀτονίαν, καὶ μήτε κάθυγρον τὴν μήτραν ἐχούσας μήτ' αὐχμηρὰν, μήτ' ἄγαν εὔπορον, ἢ πολὺ ἐσφιγμένην· εὐτάκτως δὲ [5] † καθαιρόμενα, καὶ οὐ διά τινος ὑγρασίας, ἢ [6] † ἰσχυρῶν ἑτερογενῶν, αἵματος δὲ, καὶ τούτου μήτ' ἄγαν πολλοῦ, μήτε πάλιν ἄγαν παντελῶς ὀλίγου, καὶ τὸ στόμιον τῆς ὑστέρας [7] † ἔχουσα προκοπώτερον μᾶλλον καὶ κατ' εὐθὺ κείμενον· καὶ γὰρ φύσει [8] παρεγκεκλικὸς καὶ ποῤῥωτέρω τοῦ γυναικείου κόλπου κείμενον πρὸς ἐπισπασμὸν καὶ παραδοχὴν τοῦ σπέρματος ἀφυέστερον· καὶ τὰς εὐμαρῶς πεττούσας τὴν τροφὴν, καὶ μὴ καθυγραινομένας διηνεκῶς τὴν κοιλίαν, εὐσταθεῖς δὲ τὴν διάνοιαν καὶ ἱλαράς· καὶ γὰρ αἱ συνεχεῖς [9] ἀπεψίαι.... τοῖς λαμβανομένοις ἀνθίστανται, καὶ ῥευματισμὸς τῆς κοιλίας [10] ἐξίησι τὸ κρατούμενον, δυσεργῆ τὸν ἐπίλοιπόν τε καὶ θυμικὸν τῆς ψυχῆς, [11]...... τὴν ταραχὴν τοῦ πνεύματος, ἀπωθεῖ τὸ συλλαμβανόμενον. οἱ δὲ καὶ τὰς μήτε [12] χαρὰς μήτε λύπας τοῖς

---

[1] Ita emendavi. τὸν εἰς τὸν B. P. [2] Fort. καταπαχεῖς vel καταπήρους. [3] Lacuna B. P. Fort. legendum: ὑπάρχουσαν ὡς διὰ etc. [4] σκληρίαν ... μὴ δέχεσθαι. B. P. lacunae nota. [5] Legas καθαιρομένας. [6] Legas ἰχώρων. [7] Leg. ἐχούσας. [8] παρεγκλικῶς B. [9] ἀπέχθιαι B. Lacuna recte notatur in codice P. Fort. ταῖς συλλαμβανούσαις. [10] ἐξίοι B. P. [11] Lacunam notat P. Totus hic locus ita mutilatus, ut neque emendationibus nec complementis Sorani verba apte restitui possint. [12] Fort. om. διὰ.

ὄμμασι μηδὲ τῷ χρώματι ταχέως τρεπομένας, καὶ μάλιστα ἐπὶ τὸ μελανότερον, ἀνεπιτηδειοτέρας ἔλεξαν· πολλὴν γὰρ εἶναι θερμασίαν ἐπὶ τούτων τῆς ὀρέξεως τρέπουσαν καὶ [1]μελαίνουσαν, δι' ἣν καὶ τρόπῳ τινὶ τὸ σπέρμα φρυγόμενον ἐξαφανίζεται. βεβαιοτέρα δὲ ἡ πρώτη [2]σημείωσίς ἐστι· διὸ μὴ δύνασθαι συλλαμβάνειν τὰς κατ' ὀσφὺν καὶ λαγόνα εὐσάρκους, πλατυτέρας, [3]φακώδεις, πυῤῥὰς, ἀῤῥενωποὺς, ἀγόνους· τὰς ἐναντίας δὲ πάλιν, ἀτρόφους, ἰσχνὰς καὶ καταπιμέλους, πρεσβυτέρας λίαν ἢ [4]νέας, μάλιστα δὲ προσεχεῖς [5]σημειώσει τῇ διὰ τῶν προσθέτων οἷον ῥητίνης, πηγάνου, [6]†σκορδαμοῦ, κοριάνδρου. εἰ μὲν γὰρ ἡ ποιότης, [7]προστεθέντων αὐτῶν, μέχρι τοῦ στόματος ἀναφέροιτο, δύνασθαί φησι συλλαμβάνειν αὐτάς· εἰ δὲ μὴ, τοὐναντίον. Εὐήνωρ δὲ καὶ Εὔφρων, ἐπὶ δίφρου μαιωτικοῦ [8]καθίσαντες, τοῖς αὐτοῖς ὑπεθυμίασαν· ἅπερ ψευδῆ, καὶ γὰρ οὐκ εὔσαρκος κατ' ὀσφύος συνέλαβε. τὰ προστεθέντα δὲ καὶ

---

[1] μέλλουσαν B. [2] συμβίωσις B. [3] σφακώδ. B. [4] νέαν B. P. [5] σημειώσει B. [6] Fort. σκορόδου. Ex hoc Sorani capite epitomen fecit Aetius XVI. 8. Quod quum in latinis Aetii editionibus Sorano non tribuatur, in plerisque vero Aetii codicibus graecis Sorani prae se ferat auctoris nomen graeceque nondum sit editum, huc transscribo e codice Barberino 340, chartaceo, saec. XV.: πῶς σημειωτέον τὰς δυναμένας συλλαβεῖν, Σωρανοῦ. — Εὐφυῶς δὲ πρὸς τὸ συλλαβεῖν διακεῖσθαι νομιστέον τὰς ἀπὸ πεντεκαιδεκαετοῦς ἡλικίας μέχρι τῶν μ' ἐτῶν ὡς ἐπὶ τὸ πολὺ, καὶ μήτε ἀνδρώδεις καὶ πυκνὰς τὴν ἕξιν καὶ κατασκλήρους μήτε ἄγαν ἐκλελυμένας καὶ καθύγρους, ἢ τὴν κοιλίαν συνεχῶς ὑγραινομένας· εὐσταθεῖς δὲ τὴν διάνοιαν καὶ ἱλαρὰς, εὐρύτερα τὰ περὶ τὴν ὀσφὺν καὶ τὸ ὑπογάστριον ἐχούσας καὶ ἀπαρεμποδίστως καθαιρομένας, καὶ ἀπηλλαγμένας τοῦ ὑπὸ νοσημάτων συνεχῶν ἐνοχλεῖσθαι, καὶ μάλιστα τὰ (fort. τῶν) περὶ τὴν ὑστέραν etc. Inde videre licet, quomodo Soranum contraxerit Aetius. [7] τῶν add. B. [8] καθιστάντες B. Evenor a Galeno et Caelio Aureliano laudatur; Euphron vero medicus in elencho medicorum Fabricii non invenitur.

[1]εἰλητικὰ καὶ [2]†ἡ διὰ τῶν λόγων θεωρητῶν ἀναδοθήσεται πόρων, καὶ μὴ δυνηθήσεταί τις συλλαμβάνειν. ὁ γοῦν Ἀσκληπιάδης φησὶν, ἐπιτιθεμένης τῆς διὰ πηγάνου [3]κηρωτῆς, [4]ἑλκουμένης τὰ σκέλη, ἀντίληψιν τῷ κάμνοντι, ἢ γενέσθαι τῆς ποιότητος κατὰ διάδοσιν. ἐν τῷ καθόλου δὲ ζητητέον τὰς κατὰ φύσιν ἐχούσας τῷ τε ὅλῳ σώματι καὶ τῇ ὑστέρᾳ· καθάπερ γὰρ οὐδὲ λαμπρὸν χωρίον τέλεια σπέρματα καὶ [5]φυτὰ, τῇ δὲ παρ' ἑαυτῶν κακίᾳ καὶ τὰς ἀρετὰς τῶν φυτῶν καὶ σπερμάτων [6]ἀπόλλυσιν, οὕτω καὶ κατὰ τὰ τῶν θηλειῶν παρὰ φύσιν διακείμενα, οὐ κρατεῖ τῶν [7]μεθιεμένων [8]ἐ... αὐτὰ σπερμάτων, ἀλλὰ τῇ παρ' ἑαυτῶν κακίᾳ συννοσεῖν καὶ [9]ἀπόλλυσθαι ταῦτα ἀναγκάζει.

## ιβ΄. Τίς ἄριστος καιρὸς συνουσίας πρὸς σύλληψιν.

Καθάπερ ἐπὶ τῶν ἔξωθεν σπερμάτων οὐ πᾶς καιρὸς ἐπιτήδειος [10]πρὸς τὸ κατὰ τῆς γῆς αὐτὰ βληθέντα καρποὺς ἐνεγκεῖν, οὕτως οὐδὲ ἐπὶ τῶν ἀνθρώπων ὁ πᾶς καιρὸς ἐπιτήδειος πρὸς σύλληψιν ἐπὶ τῶν ἐν ταῖς μίξεσι [11]μεθιεμένων σπερμάτων. ἵν' οὖν διὰ [12]τῆς εὐκαιρίας τῆς χρήσεως τῶν ἀφροδισίων τὸ ζητούμενον ἔργον ἐπιταχθῇ, χρήσιμον τὸν καιρὸν εἰπεῖν. ἄριστος συνουσίας καιρὸς πρὸς σύλληψιν, ὁ παυομένης τε καὶ παρακμαζούσης τῆς καθάρσεως ὁρμῆς, καὶ ὀρέξεως πρὸς

---

[1]ελλιτικὰ B. ελληκτικὰ P. pessi. [2]Mendosa verba. Sententia Sorani haec esse videtur: quamvis suffimenta et pessaria secundum rationem per corpus distribuantur, non tamen concipiet mulier. [3]κηρωτικῆς B. [4]Quae sequuntur, mihi sunt obscura medelaque videntur egere. [5]φυτὰ] Fort. add. προίησι. Deinde legas τῇ δὲ παρ' ἑαυτοῦ κακίᾳ καὶ τὰς ἀρ. [6]ἀπόλυσιν B. P. [7]καθισμένων B. μεθισμ. P. [8]ἐκείνων αὐτῶν B. ἐ... αὐτὰ P. Fort. ἐς αὐτά. [9]ἀπολαῦσθαι B. [10]πρὸ τοῦ B. [11]μεθισμ. B. [12]τὴν εὐκαιρίαν B.

συμπλοκὴν ὑπαρχούσης, καὶ τοῦ σώματος μήτ' ἐνδεοῦς ὄντος, μήτ' ἄγαν πλήρους καὶ βαρέος ἐκ μέθης καὶ ἀπεψίας, καὶ ὁ μετὰ τὴν ἀποθεραπείαν τοῦ σώματος, [1]ἐμβρωματίου ληφθέντος ὀλίγου, καὶ κατὰ πᾶν εὐαρέστου καὶ καταστήματος ὑπάρχοντος, παυομένης τῆς καθάρσεως καὶ παρακμαζούσης. ὁ μὲν γὰρ πρὸ τῆς καθάρσεως ἀνεπιτήδειος, βαρουμένης ἤδη τῆς ὑστέρας καὶ δυσαρέστως ἐχούσης διὰ τὴν ἐπιφορὰν τῆς ὕλης, καὶ μὴ δυναμένης [2]δύο κινήσεις ἐναντίας ἀλλήλαις ἐνεγκεῖν, τὴν μὲν εἰς τὸ ἐγκρῖναι τὴν ὕλην, τὴν δὲ εἰς τὸ παραδέξασθαι· καθάπερ γὰρ ὁ βαρούμενος [3]ὑπό τινος ὕλης στόμαχος εἰς μὲν τὸ ἀποῤῥίψαι τὸ θλῖβον ἐπιτηδείως ἔχει, [4]† παρ' ὑπτίῳ μὲν ...... ναυτίαν, πρὸς δὲ τὸ [5]... δέξασθαι τροφὴν ἀπέστραπται, κατὰ τὴν αὐτὴν ἐπιβολὴν καὶ ἡ μήτρα, πλήρης [6]τοῦ καιροῦ τῆς καθάρσεως ὑπάρχουσα, πρὸς μὲν τὴν ἀποκένωσιν τοῦ συρερυηκότος εἰς αὐτὴν αἵματος εὐφυῶς [7]ἔχει, πρὸς δὲ τὴν ἀνάληψιν τοῦ σπέρματος καὶ διακράτησιν ἀνεπιτηδείως. ὁ δ' ἀρχόμενος τῆς καθάρσεως καιρὸς ἄθετος διὰ τὴν ἁπάντων ἐπίτασιν, ὡς εἰρήκαμεν, ὁ δὲ αὐξανομένης καὶ ἀκμαζούσης διὰ τὸ καθυγραίνειν τὸ σπέρμα καὶ τῷ πλήθει τοῦ ἀποκρινομένου αἵματος συνεκβλύζειν· ὡς γὰρ οὐδὲ τὸ τραῦμα παρακολλᾶται, παρεπομένης αἱμοῤῥαγίας, ἀλλὰ [8]κἂν παραχρῆμα συγκολληθῇ, ταύτης ἐπιφερομένης, διίσταται πάλιν, οὕτως οὐδὲ τὸ σπέρμα δύναται κολληθῆναί τε καὶ συμφυῆναι πρὸς τὸν πυθμένα τῆς ὑστέρας, ὑπὸ τῆς ἐκεῖθεν ἀποκρινομένης αἱματικῆς οὐσίας ἀνωθούμενον. μόνος οὖν καιρὸς ἐπιτήδειος ὁ κατὰ τὴν ἀπόληψιν τῆς καθάρ-

[1]ἐμβριματίου B. [2]δυσκινήσεις B. P. Dedi δύο. [3]ἀπὸ B. [4]παρυπτίωμεν B. P. cum lacuna. ναυτῶν B. Fort. παρυπτιώμενος. [5]Lacunam codicum expleat παραδέξ. In Cod. B. ...λέξασθαι. [6]Fort. om. ἐπὶ. [7]ἔχειν B. P. [8]καὶ B.

σεως· κεκούφισται μὲν γὰρ ἡ μήτρα, καὶ σύμμετρος παρέπεται θερμασία καὶ ὑγρασία· πάλιν γὰρ οὐκ ἐνδέχεται τὸ σπέρμα κολληθῆναι μὴ προτετραχυμμένης [1].... ἐξεσμένης κατὰ τὸν πυθμένα τῆς ὑστέρας. ὡς οὖν ἐπὶ τῶν νοσούντων [2] ἐν ἀνέσει λαμβανόμενον τὸ [3] αἴτιον πρὸ παροξυσμοῦ [4]..... κατὰ δὲ τὸν παροξυσμὸν αὐτὸν εἰς ἔμετον [5] ἀνακόπτεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ σπέρμα βεβαίως κατέχεται παρατεθὲν, ὅτε παρακμάζουσιν αἱ καθάρσεις. εἰ δέ τινες συνέλαβον κατὰ τὸν ἄλλον χρόνον, καὶ μάλιστα ὅτε καθαίρονται κατ' ὀλίγον, [6] οὐ δεῖ τὴν ἐν ὀλίγαις ἐπιτυχίαν μεταδιώκειν, ἀλλὰ τὸν ἐκ τῶν τῆς τεχνικῆς θεωρίας λαμβανόμενον καιρὸν ὑποδεικνύναι. προσεθήκαμεν δὲ, ὅτι καὶ ὁρμῆς καὶ ὀρέξεως πρὸς συνουσίαν ὑπαρχούσης· ὡς γὰρ [7] χωρὶς ὀρέξεως οὐκ ἐνδεχόμενον ὑπὸ τῶν ἀῤῥένων τὸ σπέρμα καταβληθῆναι, τὸν αὐτὸν τρόπον χωρὶς ὀρέξεως ὑπὸ τῶν θηλειῶν οὐκ ἐνδεχόμενον αὐτὸ συλληφθῆναι· καὶ ὡς ἡ τροφὴ χωρὶς ὀρέξεως καταποθεῖσα καὶ μετά τινος ἀποστροφῆς οὐ καλῶς κατατάσσεται, καὶ τῆς ἐπιβαλλούσης τυγχάνει πέψεως, οὕτως οὐδὲ τὸ σπέρμα δύναται ἀναληφθῆναί [8] τε καὶ κρατηθὲν κυοφορηθῆναι δίχα τοῦ παρεῖναι πρὸς συνουσίαν ὁρμὴν καὶ ὄρεξιν. καὶ γὰρ εἴ τινες βιασθεῖσαι συνέλαβον, ἔστι καὶ ἐπὶ τούτων εἰπεῖν, ὅτι τὸ μὲν τῆς ὀρέξεως πάντως πάθος καὶ ταύταις παρῆν, [9] ἐπεσκοτεῖτο δὲ ὑπὸ ψυχικῆς κρίσεως, ὃν τρόπον καὶ ταῖς πενθούσαις· ἡ μὲν πρὸς τὴν τροφὴν ὄρεξις πολλάκις ὕπεστιν, [10] ἐπισκοτοῦνται δὲ ὑπὸ τῆς διὰ τὴν συμφορὰν λύπης. ὕστερον οὖν ἀναγκάζονται παρωσάμε-

---

[1] Fort. om. *καὶ*. [2] *ἀνανέσει* B. [3] Legas *σιτίον*. [4] Lacuna P. Fort. om. *βλάπτει*. [5] *ἀνακύπτεται* B. [6] *οὐδ' εἰ* Codd. [7] *χάρις* B. [8] *τε — κυοφορηθ.* om. B. [9] *ἐπεσκότει, τὸ* Codd. [10] *ἐπεσκοτοῦνται* Codd.

*νοι τὴν κρίσιν τραφῆναι* [1]*διὰ τὸν ὑπερβάλλοντα λιμόν. καιρὸς οὖν ἐπιτήδειος ὁ κατὰ τὴν ὄρεξιν, πλὴν τοῦ σώματος μήτε βαρουμένου μήτε ἐνδεοῦς ὄντος· οὐ γὰρ ἱκανὸν τὸ πρὸς συνουσίαν ὁρμητικῶς ἔχειν, ἐὰν μὴ καὶ τὸ κατάστημα τοῦ σώματος ἐπιτηδείως ἔχῃ· καθάπερ γὰρ καὶ τροφῆς ὀρεγόμεθα* [2]*πολλάκις, ἐὰν ἀπεψία καὶ διαφορὰ τῶν παρακειμένων, ὁπότε, εἰ* [3]*λάβοιμέν τι τῷ τῆς ὀρέξεως ἐπακολουθοῦντες κινήματι, καὶ τοῦτο προσδιαφθείρομεν, οὕτως οὐδὲ ἐν τῷ τῆς συνουσίας* [4]*† ὄρει ἔσται καιρῷ τὸ εὔκαιρον σύνεστιν, εἰ μὴ* [5]*καὶ τἄλλα συνεποπτεύομεν. ταῖς μὲν γὰρ καταφερεστέραις ἐν παντὶ καιρῷ τὸ πρὸς συνουσίαν ὁρμητικὸν* [6]*συμπάρεστιν· ἔστω δὲ μήτε ἐνδεὲς τὸ σῶμα καὶ ἄτονον· τῷ γὰρ ὅλῳ καὶ τὰ μέρη συνατονεῖν εὔλογον· οὕτως δὲ καὶ τὴν ὑστέραν ἀτονωτέραν οὖσαν εἰκὸς καὶ περὶ τὴν ἐνέργειαν τοιαύτην ἔσεσθαι· τὸ δὲ συλλαβεῖν ὑστέρας ἔργον. μήτ' ἐνδεοῦς οὖν τοῦ σώματος* [7]*ὄντος, ἡ συνουσία παραλαμβανέσθω, μήτε δὲ πάλιν* [8]*βαρέος καὶ ὁποῖον ἐν ἀπεψίαις ἐστὶ καὶ μέθαις· πρῶτον μὲν ὅτι κατὰ φύσιν διακείμενον τὸ σῶμα τῶν ἰδίων ἐνεργημάτων ἀποδοτικὸν γίνεται· κατὰ φύσιν δὲ οὐ διάκειται, καθ' ὃν καιρὸν ἐν μέθῃ καὶ ἀπεψίᾳ καθέστηκεν. ὡς οὖν οὐδ' ἄλλο τι φυσικὸν ἔργον ἐν τοιούτῳ καταστήματι διοικεῖσθαι δύναται, οὕτως οὐδὲ ἡ σύλληψις. δεύτερον δὲ, ὅτι κολληθὲν τὸ σπέρμα* [9]*δεῖ διατρέφεσθαι· λαμβάνει δὲ τροφὴν ἀπὸ τῆς ἐπιφερομένης ὕλης αἱματικῆς τε καὶ πνευματικῆς· ἐν δὲ ταῖς μέθαις καὶ ταῖς ἀπεψίαις πᾶς ἀτμὸς ἔφθαρται, καὶ* [10]*συντεθόλωται καὶ τὸ πνεῦμα. κίνδυνος οὖν* [11]*ὑπὸ φαύλων τῶν*

---

[1]*διὸ* **B.** *λιμήν* **Codd.** [2]*πολλάκις* **om. B.** *ἐὰν***] fort.** *ἐν.* [3]*λάβοι μέντοι* **B.** *τὸ τῆς* **Codd.** [4]**Fort.** *ὀρεγομένοις* **pro** *ὄρει ἔσται,* **quod mendum.** [5]*κατάλληλα* **B.** [6]*πάρεστιν* **B.** [7]*ὄντως* **P.** [8]*ἀρέος* **Codd.** [9]*δεῖ* **om. P.** [10]*συντεθύλ.* **B.** [11]*ὑποφαύλων* **P.**

ἐπιχορηγουμένων καὶ τὸ σπέρμα ἐπὶ τὸ φαυλότερον μεταβαλεῖν· εἶτα καὶ διὰ τὴν μέθην πολυυλία [1]† αὐλυτικὴ πρὸς τὴν ὑστέραν γίνεται κωλύσεως τοῦ σπέρματος, ὡς καὶ τὰ ἐπὶ τῶν μεθυόντων τραύματα δυσσύμφυτα ποιεῖ διὰ τὴν πολλὴν ἀναφορὰν ὁ οἶνος, οὕτως εὔλογον καὶ τὴν τοῦ σπέρματος [2]κόλλησιν ὑπὸ τῆς [3]αὐτῆς αἰτίας ἐπιταράττεσθαι. τί δεῖ λέγειν, ὅτι καὶ τὸ ποιὸν τῆς ψυχῆς κατάστημα φέρει τινὰς περὶ τοὺς τύπους τῶν συλλαμβανομένων μεταβολάς; οὕτως ἐν τῷ συνουσιάζειν, πιθήκους [4]ἰδοῦσαί τινες, πιθηκομόρφους ἐκύησαν. ὁ δὲ τῶν Κυπρίων τύραννος, κακόμορφος ὤν, εἰς ἀγάλματα περικαλλῆ [5]κατὰ τοὺς πλησιασμοὺς τὴν γυναῖκα βλέπειν ἀναγκάζων, πατὴρ εὐμόρφων ἐγένετο παίδων. οἱ δ' ἱπποτρόφοι κατὰ τὰς ὀχείας ἔμπροσθεν τῶν θηλειῶν εὐγενεῖς ἱστᾶσιν ἵππους. ἵνα οὖν [6]μήτε ἄμορφον ἀποτελεσθῇ τὸ γεννώμενον, ἀλλοκότους φαντασίας ἐν τῷ μεθύειν τῆς ψυχῆς ὑπομενούσης, [7]νηφετῶσι αἱ γυναῖκες ἐν τοῖς πλησιασμοῖς· [8]εἶθ' ὅτι καὶ πρὸς τὰς μητέρας ὁμοιότης τις οὐ κατὰ [9]τὸ σῶμα μόνον, ἀλλὰ καὶ κατὰ τὴν ψυχὴν ἀναφέρεται τῶν γεννωμένων. καλὸν οὖν εὐσταθούσῃ τῇ ψυχῇ καὶ μὴ παρακόπῳ διὰ μέθην ὅμοιον ἀποτελεσθῆναι τὸ γεννώμενον. παντελῶς [10]γε μὴν ἄτοπόν ἐστι τὸν μὲν γεωργὸν φυλάττεσθαι τὸ μὴ κατὰ διύγρων καὶ λιμναζομένων χωρίων ἀφεῖναι τὰ σπέρματα, τοὺς δὲ ἀνθρώπους ὑπολαμβάνειν, ὅτι καλῶς περιγενήσεται τῆς ζωογονίας ἡ φύσις, διύγροις καὶ [11]κατακελυσμένοις τοῖς σώμασι [12]πολυυλίας ἐναποτιθεμένης τὰ σπέρματα. σὺν

---

[1] αὐλητικὴ B. Fort. αὖ λυτικὴ et postea loco κωλύσεως lege κολλήσεως. [2] κώλυσιν B. [3] λυτῆς Codd. [4] εἰδοῦσαι Codd. [5] κατὰ — πλησ. om. B. [6] Fort. μηδὲ. [7] νηφετῶσαι Codd. [8] ἔσθ' B. [9] τὸ et τὴν om. P. [10] γε μὴν] μὲν οὖν B. [11] κατακεκλεισμ. B. [12] πολὺ τῆς ὕλίας B. Fort. πολυυλίᾳ ἐναποτιθεμένῃ.

δὲ τούτοις ἄριστος καιρὸς εἴρηται καὶ ὁ μετὰ τὴν [1] ἀποθεραπείαν, ἐμβρωματίου ληφθέντος ὀλίγου, τοῦ μὲν ἐμβρώματος παρέξοντος ἐπανάστασιν ὁρμητικὴν πρὸς τὸν πλησιασμὸν γενέσθαι, μὴ περισπωμένης τῆς ἐπὶ συνουσίαν ὁρμῆς τῇ πρὸς τὸ σιτίον ὀρέξει, τῆς δὲ ἀποθεραπείας τὸ ἑτοιμότερον τοῦ καταβληθέντος κρατῆσαι σπέρματος. ὥσπερ γὰρ καὶ πρὸς τὴν ἀνάδοσιν τῆς τροφῆς συνεργεῖν ἡ ἀποθεραπεία πέφυκεν, οὕτω καὶ πρὸς τὴν ἀνάληψιν καὶ κατοχὴν τοῦ σπέρματος, ἀποπεφορτισμένων μὲν τῶν χθιζῶν, ὡς ἂν εἴποι τις, περιττωμάτων, διακεκαθαρμένου δὲ τοῦ σώματος, καὶ πρὸς φυσικὰς [2] οἰκονομίας εὐσταθῶς ἔχοντος. ὡς οὖν καὶ ὁ γεωργὸς τὴν γῆν προεκκαθάρας, καὶ τὴν ἀλλοτρίαν ὑπεξελόμενος ὕλην, τότε σπείρει, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς παραινοῦμεν, προαποθεραπευθέντος τοῦ σώματος τὴν εἰς γέννησιν ἀνθρώπου σπορὰν μετέρχεσθαι. τοῦτο δὲ οὐκ ἔστι μαχόμενον τῷ λέγειν ἐν τῷ [3] ὑγιεινῷ, συνουσίας ἄριστον καιρὸν εἶναι τὸν πρὸ τῆς ἀποθεραπείας· ἐκεῖ μὲν γὰρ κοινῶς περὶ πάσης τῆς ἄλλης [4] εἴρηται συνουσίας, καὶ ἐπ' ἀνδρῶν, ἐνταῦθα δὲ ἐξαιρέτως ἐπὶ τῆς κατ' ἐπιτήδευσιν τεκνοποιίας· [5] ὅσον μὲν γὰρ ἐφ' ἑαυτῷ τὸ ἀποθεραπεύεσθαι μετὰ τὴν ἐκ τῶν ἀφροδισίων ταραχὴν ὑγιεινὸν, ὅσον δὲ ἐπὶ [6] τῷ διακρατηθῆναι τὸ σπέρμα [7] ἠρεμεῖν κατάλληλον. τινὲς δὲ τῶν παλαιῶν καὶ τοὺς ἀπὸ τῶν ἔξωθεν [8] καιροὺς ὥρισαν· ἐπιτήδειον γὰρ εἶναι τὸν καιρὸν, πληρουμένης τῆς σελήνης· συμπαθεῖν γὰρ τὰ ἐπίγεια τοῖς [9] μεταρσίοις. καὶ ὡς τὰ πλεῖστα τῶν θαλασσίων [10] εὐτροφεῖ μὲν πληρουμένης τῆς σελήνης, ἀτροφεῖ δὲ μειουμένης, καὶ τῶν κατοικιδίων μυῶν τοὺς

[1] θεραπείαν B. [2] τὰς add. B. [3] Cf. p. 27. [4] κοινῶς add. B. [5] ὅσοι B. [6] τὸ B. [7] ἠρεμὴ B. [8] καιρῶν B. [9] μηναρσίοις B. [10] εὐτροφῆ P.

λοβοὺς τοῦ ἥπατος αὔξεσθαι μὲν πληρουμένης τῆς σελήνης, ἐλαττοῦσθαι δὲ μειουμένης, [1]οὕτως καὶ τὰς σπερματικὰς δυνάμεις ἐν ἡμῖν τε καὶ τοῖς ἄλλοις ζώοις αὔξεσθαι μὲν πληρουμένης τῆς σελήνης, ἐλαττοῦσθαι δὲ μειουμένης· ἔτι δὲ κράτιστον καιρὸν εἶναι πρὸς τὸ γενέσθαι σύλληψιν τὸν ἐαρινόν· ἐν μὲν γὰρ τῷ χειμῶνι, πεπυκνωμένων τῶν σωμάτων, δυσσύλληπτα γίνεσθαι τὰ σπέρματα, κἂν συλληφθῇ [2]δὲ, μένειν ἄτροφα, παραπλησίως τοῖς ἀφεθεῖσι κατὰ γῆς· καὶ γὰρ ταῦτα κωλύεται χειμῶνος [3]ἀναφῦναι· τῶν δὲ ζώων ὅσα χειμῶνος ἀποτίκτεται, ταῦτα δύστροφα γίνεσθαι· τῷ θέρει δὲ, πάντα ποιεῖν ἄτονα τῇ πολλῇ διαφορήσει· διὰ τοῦτο δὲ καὶ τὰ σπέρματα κατὰ συλληπτικὰ μέρη τούτων, ὃν τρόπον καὶ ὅλα τὰ σώματα. [4]ταῦτα δὲ καὶ δίχα λόγου δυσωπεῖν ἱκανὴ καθέστηκεν [5]ἡ ἀπὸ τῶν φαινομένων μαρτύρησις· ἐν παντὶ μὲν χρόνῳ καὶ γινομένας καὶ τελεσφορουμένας τὰς συλλήψεις θεωροῦμεν. εἰ δέ τινες κακοθερεῖς οὖσαι φύσεις χεῖρον ἔχουσι θεωρίας ἢ πάλιν κακοχείμεροι χειμῶνος, οὐκ εἰς τὰς ὥρας ἀποβλέψομεν, εἰς δὲ τὸ ποιὸν κατάστημα τοῦ σώματος. κοινῶς γὰρ τοῦτον ὑποτιθέμεθα τὸν καιρὸν, ἐν ᾧ καὶ ἀνενδεὲς καὶ ἀβαρὲς καὶ πανταχόθεν [6]εὐάρεστόν ἐστι τὸ σῶμα· πρὸς δὲ τὰς μεταβολὰς τῆς σελήνης εἴ τις ἐγένετο καὶ τῶν ἡμετέρων μετακόσμησις σωμάτων, πάντως ἂν καὶ ταύτην [7]τετηρήκειμεν, ὃν τρόπον ἐπὶ τῶν μυῶν καὶ τῶν ὀστρέων. εἰ δὲ μηδέν τι τοιοῦτον ἐπὶ τῶν ἡμετέρων γινόμενον τετήρηται σωμάτων, ἔσται μὲν [8]πιθανὸς, ψευδὴς δὲ πᾶς ὁ τοιοῦτος λόγος.

---

[1] οὕτως — μειουμένης om. B. [2] δὲ] δεῖ B. [3] ἀναφ. — χειμῶνος om. B. [4] ταύτῃ B. [5] ἢ B. [6] εὐάρμοστον B. [7] τετηρήκαμεν B. [8] πιθανὸν B.

### ιγ'. Εἰ ὑγιεινή ἐστιν ἡ σύλληψις.

Ἔνιοι τὴν σύλληψιν ὑγιεινὴν εἶναι νομίζουσιν, ὅτι πᾶν φυσικὸν ἔργον ὠφέλιμόν ἐστι· φυσικὸν δὲ ἐνέργημα καὶ ἡ σύλληψις· δεύτερον, ὅτι στραγγῶς τινὲς καθαιρόμεναι καὶ ὑστερικὰς ὑπομένουσαι θλίψεις, συλλήψεσι χρησάμεναι, τῶν ὀχληρῶν ἀπηλλάγησαν. πρὸς ταῦτα δὲ λεκτέον, ὅτι καὶ ἡ κάθαρσις φυσικόν ἐστιν ἔργον, ἀλλ' οὐχὶ ὑγιεινὸν, ὡς ὑπεμνήσαμεν. οὐ [1]πάντως γε μὴν εἴ τι ὠφέλιμόν ἐστι, τοῦτο καὶ ὑγιεινόν. ἀμέλει καὶ τὸ καθαίρεσθαι καὶ συλλαμβάνειν ὠφέλιμον μέν ἐστιν εἰς γένεσιν ἀνθρώπων, οὐ μὴν ὑγιεινὸν ταῖς κυοφορούσαις· συλλαβοῦσαι μὲν τάχα οὐκ ἀπαλλάσσονται τῶν προϋπαρχόντων περὶ τὴν ὑστέραν ὀχληρῶν· ἀπαλλασσόμεναι δὲ τούτων, τότε συλλαμβάνουσιν· εἰ δὲ καὶ ὑπὸ τῆς συλλήψεως ἀπαλλάσσονται, βοήθημα γίνεται νόσων ἡ σύλληψις, οὐ τηρητικὸν τὸ ὑγιαίνειν, ὥσπερ οὐδ' ἡ φλεβοτομία διὰ τοῦτο ὑγιεινὸν γίνεται [2]παράλημμα, διότι λύει νόσους. κατὰ δὲ τὸ προηγούμενον λεκτέον, ὡς πολλὰ μὲν δυσχερῆ παρέπεται ταῖς κυοφορούσαις βαρουμέναις, καὶ τὴν κίσσαν ὑπομενούσαις· [3]ἤδη γνωστέον, ὅτι καὶ τὴν ἐν τῷ ζώῳ αὐτάρκη τροφὴν μερισθῆναι δεῖ πρὸς δύο ζώων θρέψιν τε καὶ αὔξησιν, ὥστε μηκέτι μένειν αὐτάρκη τῇ κυοφορούσῃ· πάντα γὰρ τῷ κυοφορουμένῳ προσμερίζεται· τοῦτο κατ' ἀνάγκην ἀφαιρεῖται τῆς κυοφορούσης· οὐ γὰρ ἐνδέχεται πλείονα λαμβάνειν αὐτὴν, ὡς καὶ ἀπαναλώσεως γινομένης πλείονος· οὐδὲ γὰρ οἴσει τὴν οἰκονομίαν τῆς πλείονος τὸ τῆς πέψεως ἔργον. εἰ τοίνυν [4]λαμβανόμενος, ἣν δύναται πέσσειν, τῆς δὲ πεσσομένης τὸ προστιθέμενον τῷ κυοφορουμένῳ τῆς κυοφορούσης

---

[1] πάντων B. [2] παράλλημμα B. auxilium. [3] Fort. ἔτι δέ. [4] Fort. λαμβάνει μὲν, ὅσην δύν.

ἀφαιρεῖται· τὸ δ' ἐλαττωτικὸν οὐχ ὑγιεινὸν, οὐδὲ ἡ σύλληψις ὑγιεινή. ὅτι δὲ τὴν ἀτροφίαν καὶ τὴν ἀτονίαν καὶ τὸ προωρότερον γηρᾶσαι κυήσεις ἀποτελοῦσι, πρόδηλον μὲν [1]κὰκ τῶν ἐναργῶν, ἔτι δὲ καὶ ἐκ τῆς πρὸς τὴν γῆν ὁμοιότητος, ἥτις ἐπὶ τοσοῦτον ἐξαναλοῦται πρὸς τὰς ἐπαλλήλους καρπογονίας, ὥστε μὴ δύνασθαι τοὺς καρποὺς κατ' ἔτος ἀναφέρειν.

## ιδ'. Τίνα σημεῖα μελλούσης γίνεσθαι συλλήψεως.

Ἡ σύλληψις ὠνόμασται μὲν ἀπὸ τοῦ συγκράτησις εἶναι τοῦ σπέρματος, καλεῖται δὲ κύησις παρὰ τὸ κεύθησις εἶναι τοῦτ' ἐστι [2]ἀπόκρυψις· τὸ γὰρ κεύθειν ἐστὶ τὸ κρύπτειν. καὶ τὸ ἐν τῇ μήτρᾳ δὲ συνειλημμένον κρύπτεται. κατ' ἔννοιαν δὲ σύλληψις, κράτησις ἐπίμονός ἐστι σπέρματος ἢ ἐμβρύου ἢ ἐμβρύων [3]ἢ ἐν ὑστέρᾳ διὰ φυσικὴν αἰτίαν. κράτησις μὲν, κατοχὴ γάρ ἐστιν ἡ σύλληψις, ἐπίμονος δὲ διὰ τὸ σχετικῶς ἐνιάκις κρατεῖσθαι τὸ σπέρμα, καὶ παραυτίκα πάλιν ἀποπτύεσθαι· τὸ δὲ τοιοῦτον μὴ εἶναι σύλληψιν· σπέρματος δὲ ἐμβρύου, ὅτι κατὰ μὲν τοὺς πρώτους χρόνους, ὅτε [4]ἀκμὴν ἀδιατύπωτός ἐστιν ὁ γόνος, ἡ σύλληψις σπέρματος ὑπάρχει, μετὰ δὲ τοὺς πρώτους χρόνους, τετυπωμένου τοῦ κατὰ γαστρὸς, καὶ μηκέτι ὄντος τοῦ σπέρματος, οὐ παύεται μένουσα [5]σύλληψις, ἔστι δὲ οὐ σπέρματος, ἀλλ' ἐμβρύου· μεταβέβληται γὰρ ἤδη τὸ σπέρμα, καὶ φύσις ἐστὶ, κατὰ προκοπὴν δὲ καὶ [6]ψυχὴ, καὶ οὐκ ἔστι σπέρμα. διὸ καὶ [7]τῆς συλλήψεως διαφοράν τινὲς ἄγοντες, τὴν μὲν ἀτελῆ λέγουσιν ὡς τὴν πρώτην, τὴν δὲ τελείαν ὡς τὴν δευτέραν· ἕνεκα δὲ τοῦ τὰ δύο τῆς συλλήψεως εἴδη περιλαβεῖν σπέρ-

[1] καὶ B. εὐαγῶν pro ἐναργῶν B. [2] ἀπόκριψις B. [3] Fort. ἡ. [4] γε μὴν B. [5] ἡ add. B. [6] ψυχὴν B. P. [7] τὴν B.

ματος ἔφαμεν ἢ ἐμβρύου. διὰ δὲ τὸ καὶ δίδυμά ποτε ἢ τρίδυμα συλλαμβάνεσθαι, [1]προστεθείκαμεν ἐμβρύων. ἐν μήτρᾳ, παρ' ὅσον οὐκ ἐν ὁποίῳ δήποτε μέρει κράτησις ἐπίμονος τοῦ σπέρματος ἡ σύλληψίς ἐστιν, ἀλλ' ἡ ἐν ὑστέρᾳ· καθ' ὃν γὰρ καιρὸν ἐν τοῖς σπερματικοῖς περιέχεται [2]πόροις, κρατεῖ μὲν ἐπιμόνως, ἀλλ' οὐκ ἔστι τοῦτο σύλληψις. ἐπὶ τέλει δὲ πρόσκειται διὰ φυσικὴν αἰτίαν, ἐπεὶ πολλάκις [3]κρατεῖ τε τὸ σπέρμα καὶ ἐπιμόνως καὶ ἐν ὑστέρᾳ, καὶ διὰ ψύξιν μεμυκότος τοῦ στομίου τῆς ὑστέρας, καὶ τὸ ἔμβρυον δὲ ἐν ταῖς δυστοκίαις· ἀλλ' αἱ τοιαῦται κρατήσεις οὐκ εἰσὶ [4]σύλληψις· οὐ γὰρ ὑπὸ τῆς κατὰ φύσιν ἐνεργείας, ὑπὸ δὲ τῆς παρὰ φύσιν ἀποτελοῦνται· διαφέρει δὲ ἀνάληψις συλλήψεως· ἀνάληψις μὲν γάρ ἐστιν ἡ φορὰ τοῦ σπέρματος ἐπὶ τὸν πυθμένα τῆς ὑστέρας, σύλληψις δὲ ἡ μετὰ τὴν φορὰν κράτησίς τε καὶ συγκόλλησις· καὶ ἀνάληψις μὲν μόνου ἐστὶ σπέρματος, σύλληψις δὲ καὶ ἐμβρύου. τούτων οὕτως [5]προδιακεκαθαρμένων, ἰστέον ὡς τινὲς μὲν ἀκατάληπτον ἔφασαν συναντᾷν. καθ' ἡμᾶς οὖν ἐκ τῶν πλειόνων ὑφ' ἓν καὶ μετὰ διορισμοῦ ποιήσασθαι δεῖ τὴν σημείωσιν τῆς συλλήψεως, οἷον ἐκ τοῦ κατὰ [6]τὸ πέρας τοῦ πλησιασμοῦ [7]φρικώδους συναισθήσεως ἀντίληψιν [8]γεγονέναι τῇ γυναικὶ [9][ἀλγεῖν μετρίως τὰ περὶ τὸ αἰδοῖον καὶ τὸν ὀμφαλὸν μέρη καὶ ἐκ τοῦ ἀνορεκτοτέρας γίνεσθαι πρὸς τὰ ἀφροδίσια καὶ ἐκ τοῦ καταξήρους καὶ ἀνίκμους ἔχειν τόν τε κόλπον καὶ τὸ στόμιον τῆς ὑστέρας], καὶ τὸ στόμιον μεμυκέναι τῆς ὑστέρας, [10]τὸ μετ' εὐαφίας καὶ τρυφερίας· ἐν γὰρ ταῖς ψύξεσι καὶ ταῖς φλεγμοναῖς συμπίπτειν μὲν, ἀλλὰ μετὰ ἀπηνίας καὶ σκληρίας, μὴ ἐπικαθυγραίνεσθαι

---

[1]προσθήκαμεν P. [2]πόροις] καιροῖς B. [3]κρατεῖται τὸ B. [4]συλλήψεις B. [5]διακεκ. B. [6]τὸ om. B. [7]φρυκώδους B. P. [8]γενέσθαι B. [9]ἀλγεῖν — ὑστέρας P. in ora. [10]τὸ μὲν κευφίας B.

δὲ τῷ σπέρματι τὸ γυναικεῖον αἰδοῖον, [1]ἢ ἐπ' ὀλίγον ἀνιεμένου παντὸς τοῦ πλείονος ὑγροῦ, μετὰ δέ τινα χρόνον κἀκ τοῦ τὴν ἐπίμηνον κάθαρσιν ἐπέχεσθαι [2]ἢ ἐπ' ὀλίγον φαίνεσθαι βαρυτέραν δὲ γίνεσθαι τὴν ὀσφὺν, καὶ λεληθότως ἐπαίρεσθαι τοὺς μαστοὺς μετά τινος ἐπιπόνου συναισθήσεως, ὑπανατρέπεσθαι δὲ τὸν στόμαχον καὶ τὰ ἐπὶ τοῦ στήθους ἀγγεῖα κυρτὰ καὶ πελιὰ φαίνεσθαι, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ὑπόχλωρα, ποτὲ δὲ καὶ σπίλους μελανίζοντας ἐπιπολῆς ταῖς ὄψεσιν ἐπιτρέχειν, καὶ τὴν λεγομένην ἐφηλὶν γενέσθαι· μετὰ δὲ ταῦτα τήν τε κίσσαν ἐπιφαίνεσθαι, καὶ πρὸς λόγον τῆς τοῦ χρόνου προκοπῆς διογκοῦσθαι τὸ ἐπιγάστριον, εἶτα καὶ κινήσεως τοῦ κατὰ γαστρὸς ἀντιλαμβάνεσθαι τὴν κυοφοροῦσαν, καὶ ἐκ τοῦ τὸ [3]πρόσθιον μέρος τοῦ τραχήλου θερμότερον εἶναι, τὰ δὲ ὀπίσθια ψυχρὰ, καὶ ἐκ τοῦ περὶ τὸν δεύτερον μῆνα παρὰ τὸ ἔθος αὐτὰς ἐπιθυμεῖν [4]ὀξέων ἢ [5]ἁλυκῶν.

---

[1] ἡ P. [2] ἢ — φαίνεσθαι om. B. [3] πρῶτον B. [4] ὀρέξεων B. [5] In Aetio Ms. XVI. 9. (in latina versione 8) hoc Sorani caput contractum ita legitur: *Πῶς σημειωσόμεθα τὰς ἤδη συνειληφυίας. — Συνειληφέναι δὲ γνωσόμεθα τὴν γυναῖκα ἐκ τοῦ πρῶτον μὲν ἐρωτημένην ὑπὸ τῆς μαίας εἰπεῖν, ὡς οὐκ ἀποκέκριται τὸ σπέρμα τοῦ ἀνδρὸς μετὰ τὴν συνουσίαν, καὶ ἐκ τοῦ κατὰ τὴν συνουσίαν φρικώδους συναισθήσεως ἀντίληψιν τῇ γυναικὶ γεγονέναι, ἀλγεῖν δὲ μετρίως τὰ περὶ τὸ αἰδοῖον καὶ τὰ περὶ τὸν ὀμφαλὸν μέρη· ἔπειτα καὶ ἐκ τοῦ καταξήρους καὶ ἀνίκμους ἔχειν τόν τε κόλπον καὶ τὸ στόμιον τῆς μήτρας, μεμυκέναι τε αὐτὸ τὸ τῆς ὑστέρας στόμα χωρὶς σκληρίας καὶ φλεγμονῆς, καὶ ἐπὶ ποσὸν ἄνω κεχωρηκέναι, καὶ ἐκ τοῦ ἀνορεκτοτέρας γίνεσθαι, περὶ τὰ ἀφροδίσια, καὶ ἐκ τοῦ τῷ εἰωθότι χρόνῳ τὴν κάθαρσιν μὴ ἐπιφανῆναι καὶ τὰς περὶ τὸ στῆθος φλέβας πρασιζούσας τῇ χρόᾳ γίνεσθαι καὶ ἐπαίρεσθαι, τούς τε μαστοὺς διοιδίσκεσθαι καὶ γάλα ἄγειν προϊόντος τοῦ χρόνου, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ὕπωχρα εἶναι, ποτὲ δὲ σπίλους μελανίζοντας τῷ προσώπῳ· ἐνίαις δὲ καὶ ἐφηλὶν ἐπιγίγνεσθαι, καὶ ἐκ τοῦ τὸ πρόσθιον μέρος τοῦ τραχήλου θερμότερον εἶναι, τὰ δὲ ὀπίσθια ψυχρὰ, καὶ ἐκ τοῦ περὶ τὸν δεύτερον μῆνα παρὰ τὸ ἔθος αὐτὰς ἐπιθυμεῖν ὀξέων ἢ ἁλυκῶν.*

ιε. *Τίνα κατὰ τοὺς ἀρχαίους σημεῖα τοῦ ἄῤῥεν εἶναι τὸ κυοφορούμενον ἢ θῆλυ.*

Ἱπποκράτης τοῦ μὲν ἄῤῥεν κύειν φησὶν εἶναι τό τ' εὐχρουστέραν ὑπάρχειν τὴν κύουσαν καὶ εὐκινητοτέραν, καὶ τὸν δεξιὸν [1] μαζὸν μείζονα ἔχειν καὶ εὐογκότερον καὶ πληρέστερον καὶ μάλιστα τὴν θηλὴν ἐπαίρεσθαι, τοῦ δὲ θῆλυ, τὸ [2] μετ' ὠχριάσεως ὀγκωδέστερον εἶναι τὸν εὐώνυμον μαζὸν, καὶ μάλιστα τὴν θηλὴν, ἀπὸ ψευδοῦς ὑπολήψεως ἐπὶ ταύτην ἐλθὼν τὴν ἀπόφασιν. ὥστε γὰρ, ἐν μὲν τοῖς δεξιοῖς μέρεσι τῆς ὑστέρας συλληφθέντος τοῦ σπέρματος, ἄῤῥεν ἀποτελεῖσθαι, ἐν δὲ τοῖς εὐωνύμοις, θῆλυ· τοῦτο δὲ [3] ὡς οὐκ ἀληθὲς, ἐν τοῖς φυσικοῖς περὶ ζωογονίας παρίσταμαι ὑπομνήμασιν. οἱ δὲ, εἰ μὲν ἄῤῥεν εἴη τὸ κατὰ γαστρὸς, ὀξυτέρας καὶ σφοδροτέρας παρέπεσθαι τὰς κινήσεις φασὶν αὐτοῦ πρὸς τὴν ἀντίληψιν τῆς κυούσης, εἰ δὲ θῆλυ, καὶ βραδυτέρας καὶ νωθροτέρας μετὰ τοῦ καὶ τὴν κύουσαν δυσκίνητον εἶναι, καὶ ἀσωδεστέραν τῇ δυνάμει· καὶ ἐπὶ μὲν τοῦ ἄῤῥενος τὰ τοῦ δεξιοῦ μέρους ἀγγεῖα, λέγω δὲ αἱ φλέβες, μᾶλλον ἐν ὄγκῳ εὑρίσκονται, καὶ μάλιστα αἱ ὑπὸ τὴν γλῶσσαν, ἐπὶ δὲ [4] τῆς θηλείας, αἱ ἐν τοῖς εὐωνύμοις· πρότερον ὑπὸ Ἱπποκράτους δέδεικται· τὴν μὲν γὰρ εὔχροιαν ἐπὶ

---

**Quae sequuntur, in codicibus Mss. aliquot Aetii desiderantur et Sorani non esse videntur:** ἐνίαις δὲ καὶ ὁ στόμαχος παραχρῆμα πλαδοῖ, ὄκνος τε περὶ τὰς ἐνεργείας ὑπογίνεται καὶ τὸ βλέμμα τακερώτερον καὶ λίαν θῆλυ ἐπιστήσαντι προσπίπτει· τρέπεται δὲ καὶ ἡ χροιὰ ἐπὶ λευκανθίζουσαν ὠχρότητα, προηγουμένου τὰ πολλὰ ἀνδρικωτέρου ἐρεύθους· περὶ δὲ τὴν τῆς καθάρσεως προθεσμίαν βαρύνονται καὶ πνευματοῦνται τὰ περὶ τοὺς μαστοὺς, καὶ ἡ ὀσφὺς δυσκάμπτως ἔχει, καὶ ἡ κύστις ἐπιπόνως ἐξουρεῖ πυρῶδες καὶ ἐρυθρὸν, τῆς ἐν κόλπῳ θερμασίας αὐτὸ συγκαιούσης καὶ τὸ ἐκ τούτου ἔμμηνον διακρινούσης ἐπὶ τὴν οὐρήθραν.

[1] μαστὸν **B.** [2] μετ'] μήτ' **B.** [3] ὡς om. **B.** [4] τοῦ θήλεος **Aetii Codd. nonnulli.**

τῶν ἀῤῥενοτόκων γίνεσθαι διὰ τὴν ἀπὸ τῆς κινήσεως [1]τοῦ κατὰ γαστρὸς γυμνασίαν, τὴν δὲ δύσχροιαν ἐπὶ τῶν θηλυτόκων διὰ τὴν περὶ τὸ κυούμενον [2]ἀργίαν. ταῦτα δὲ τοῦ πιθανοῦ μᾶλλον ἢ τοῦ ἀληθοῦς ἔχεται, παρ' ὅσον ἐπὶ τῆς ἐνεργείας ὁρῶμεν τότε ταῦτά τε καὶ τὰ ἐναντία τε παρηκολουθηκότα. ἀψευδέστατον δὲ καὶ βεβαιότατόν ἐστι σημεῖον τὸ ἐπὶ μὲν τῶν ἀῤῥένων τὸν σφυγμὸν τῆς δεξιᾶς χειρὸς εἶναι σφοδρότερον καὶ ταχύτερον καὶ μείζονα καὶ σκληρότερον, ἐπὶ δὲ τῆς θηλείας τὸν τῆς εὐωνύμου χειρὸς τοιοῦτον εἶναι, τοῦ δεξιοῦ ὄντος ταπεινοτέρου καὶ βραδυτέρου καὶ μικροτέρου καὶ ὑγροτέρου. τὸ δὲ οὖρον, ἡ ὑπόστασις [3]πᾶσα ἔνεστι ἐν τῷ δεξιῷ μέρει τῆς ἀμίδος ὡς [4]στύλος ἐπὶ μὲν τῶν ἀῤῥένων, καὶ ὡς κέγχροι εἰσὶ δύο ἢ τρεῖς ἐν τῇ ὑποστάσει, ἐπὶ δὲ τῶν θηλειῶν ἡ ὑπόστασις πᾶσα ἐστὶ διακεχυμένη πανταχόθεν ἐν τῇ [5]ἀμίδι.

## ις′ Τίς ἡ τῶν συνειληφυιῶν ἐπιμέλεια.

Ἡ τῶν συνειληφυιῶν ἐπιμέλεια τρίχρονος ἐστίν· ἡ μὲν γάρ ἐστι [6]τῶν πρώτων χρόνων εἰς τήρησιν τοῦ κα-

---

[1]τοῦ] τῆς **B.** [2]ἐνεργείαν **B.** [3]πᾶσα **om. B.** ἔνεστι] ἔνει **B. P.** [4]στόλος **B.** [5]**In Aetio Ms. XVI. 10 (lat. 9) hoc caput ita contrahitur:** *Τίνα κατὰ τοὺς ἀρχαίους σημεῖα τοῦ ἄῤῥεν ἢ θῆλυ εἶναι τὸ κυούμενον.* — Ἱπποκράτης φησὶ καὶ ἕτεροι τοῦ μὲν ἄῤῥενα κύειν σημεῖα, τὸ εὐχρουστέραν ὑπάρχειν τὴν κύουσαν καὶ εὐκινητοτέραν καὶ τὸν δεξιὸν μαζὸν μείζονα εἶναι καὶ εὐογκότερον καὶ μάλιστα τὴν θηλὴν ἐπαίρεσθαι, τοῦ δὲ θῆλυ, μετ' ὠχριάσεως ὀγκωδέστερον εἶναι τὸν εὐώνυμον μαζὸν καὶ μάλιστα τὴν θηλήν. καὶ ἐπὶ μὲν τοῦ ἄῤῥενος τὰ τοῦ δεξιοῦ μέρους ἀγγεῖα, λέγω δὴ αἱ φλέβες, μᾶλλον ἐν ὄγκῳ εὑρίσκονται, καὶ μάλιστα αἱ ὑπὸ τὴν γλῶσσαν· ἐπὶ δὲ τοῦ θήλεος, αἱ ἐν τοῖς εὐωνύμοις. φασὶ δὲ καί, ταῖς θηλαῖς εἰ ἐπισκέψοι τις, ἐπὶ μὲν τῶν θηλειῶν κάτω νεύειν, ἐπὶ δὲ ἀῤῥένων ἄνω· καὶ τὸ γάλα δὲ ἐνσταζόμενον ὕδατι ἐπὶ μὲν θηλειῶν κατασπᾶσθαι, ἐπὶ δὲ ἀῤῥένων ἐπιπολάζειν. ἀψευδέστατον δὲ καὶ βεβαιότατόν ἐστι σημεῖον τὸ ἐπὶ μὲν τῶν ἀῤῥένων τὸν σφυγμὸν τῆς δεξιᾶς χειρὸς εἶναι σφοδρότερον καὶ ταχύτερον καὶ μείζονα καὶ σκληρότερον, ἐπὶ δὲ τῆς θηλείας, τὸν τῆς εὐωνύμου χειρὸς τοιοῦτον εἶναι. [6]τὸν πρῶτον χρόνον **B.** τὸν πρῶτον χρόνων **P.**

ταβληθέντος σπέρματος, ἡ δὲ τῶν δευτέρων πρὸς παρηγορίαν τῶν ἐπιγινομένων συμπτωμάτων, καθάπερ ἡ τῆς ἐπιγινομένης κίσσης, ἡ δὲ τῶν τελευταίων καὶ πλησίων [1]ἡ δὲ τῆς ἀποκυήσεώς ἐστι, †τέλει τοῦ ἐμβρύου τελείωσιν καὶ εἰς [2]εὐχερῆ τῆς ἀποτέξεως ὑπομονήν· ἐξ ὧν περὶ τῆς πρώτης κατὰ τὸ παρὸν ποιησόμεθα τὴν ἐπίσκεψιν. δεῖ τοίνυν τῆς συλλήψεως [3]γενομένης φυλάττεσθαι πᾶσαν ὑπερβολὴν καὶ κίνησιν σωματικήν τε καὶ ψυχικήν· ἐξίεται γὰρ τὸ σπέρμα καὶ διὰ φόβον καὶ διὰ λύπην καὶ χαρὰν αἰφνίδιον, καὶ καθόλου δεῖ μόνας τηρεῖν ταραχὴν καὶ γυμνασίαν σφοδρὰν καὶ βιαίους κατοχὰς πνεύματος, βῆχας, πταρμοὺς, πληγὰς, πτώματα, καὶ μᾶλλον τοῦ ἔπειτα ἰσχίων βάρος, [4]ἄρσιν, πηδήματα, σκληρὰς καθέδρας, φαρμακείας [5]δριμέων καὶ πταρμικῶν προσφορὰν, ἔνδειαν, ἀπεψίαν, μέθην, ἔμετον, κοιλιολυσίαν, ῥύσιν αἵματος διὰ ῥινῶν καὶ αἱμοῤῥοΐδος [6]ἢ ἄλλου τόπου, καὶ [7]χαλασμὸν διά τινος τῶν θερμαίνειν δυναμένων, καὶ διὰ πυρετὸν δὲ σφοδρὸν καὶ ῥῖγος καὶ σπασμὸν, καὶ τὸ κοινότερον πᾶν τὸ βιαίαν κίνησιν ἐπάγον, δι' ὧν ἔκτρωσις [8]ἀποτελεῖται. τούτων οὖν τὰ ἐπὶ τῆς ἡμετέρας ἐξουσίας ὑπάρχοντα πεφυλάχθαι προσῆκεν, καὶ δι' ἠρεμίας [9]κλινήρη τὴν συνειληφυῖαν τηρεῖν πρὸς μίαν ἢ δευτέραν ἡμέραν, ἀπεριέργως χρωμένην ἀλείμματι, χάριν τοῦ καὶ ὄρεξιν ἀνακύψαι [10]καὶ τὴν δοθεῖσαν τροφὴν ἐξοικειωθῆναι, παραιτεῖσθαι δὲ καὶ τὴν τοῦ ἐπιγαστρίου τρίψιν, ἵνα μὴ διὰ τῆς [11]τοπικῆς συγκινήσεως ἀποσπασθῇ τὸ κολλώμενον σπέρμα· συναλείφειν δὲ αὐτὴν ἐλαίῳ νεοτριβεῖ καὶ ὀμφακίζοντι, καὶ τροφὴν σιτώδη διδόναι καὶ ὀλι-

---

[1]Fort. ἤδη. Deinde pro τέλει fort. εἴς τε. [2]δυσχερῆ B. [3]γινομ. P. [4]πηδήματα σκληρὰ, Codd. [5]δριμαίων B. P. [6]ἢ] καὶ B. [7]χαλαιπὸν B. [8]ἀποτελευτᾷ B. [9]κλινήρης B. κλινήρην P. [10]καὶ — τροφὴν om. B. [11].τροπικῆς B. P.

γωτέραν· τὸ λουτρὸν δὲ [1]παραπέμπειν, εἰ δυνατὸν ἕως ἑπτὰ ἡμερῶν· [2]ὑποπῖπτον γὰρ τῇ τοῦ ὅλου σώματος ἀρώσει καὶ τὴν τρυφερίαν τοῦ σώματος συνεκλύσει, χωρὶς εἰ μὴ νομίζοι τις, ὅτι τὰ μὲν μήπω βεβαίως κεκολλημένα τραύματα [3]προδιίστησι τὸ βαλανεῖον, καὶ τὰ πυκνότατα τῶν ἀθλητῶν ἀνίησι σώματα. τὸ σπέρμα δὲ οὐκ ἂν [4]ἐκτήξοι, [5]τρυφερὰν ἔτι καὶ νεοπαγῆ τὴν σύστασιν ἔχον· ἔνθεν οὐκ ἀλλότριον, καὶ τὸν οἶνον ἀποδοκιμάσαι, μέχρι καὶ τῶν ἴσων ἡμερῶν εἰς τὸ μὴ βιαίας καὶ πληκτικὰς γίνεσθαι τὰς ἀναδόσεις· ὡς γὰρ τὰ κατεαγέντα τῶν ὀστῶν μὴ κινούμενα πήγνυται τοῖς μορίοις, οὕτω καὶ τὸ σπέρμα πρὸς τὴν ὑστέραν ἔμφυσιν [6]ἀσφαλῆ καὶ ἰσχυρὰν [7]ὑπολαμβάνει μὴ συντινασσόμενον ὑπὸ τῶν κινεῖν δυναμένων. οὐ μὴν ἕως πλείονος τούτοις πάλιν ἐνδιατριπτέον, ἵνα μή, τοῦ σώματος ἐξασθενοῦντος διὰ τὴν ὑφαίρεσιν τοῦ οἴνου καὶ τῆς τροφῆς, καὶ ἡ μήτρα συνατονήσῃ· κατ᾽ ὀλίγον δὲ μεταθετέον· ἐπ᾽ αὐτὰ δὲ τὴν δευτέραν ἡμέραν· [8]τῇ διὰ δίφρου ἢ μακρᾶς καθέδρας χρηστέον [9]αἰώρᾳ· τὴν γὰρ διὰ τῶν ὑποζυγίων ὡς κατασείουσαν ἰσχυρῶς ἀποδοκιμαστέον· εἶτα περιπάτῳ σχολαίῳ τε καὶ κούφῳ καὶ ὀλίγῳ, πρὸς λόγον ἑκάστης ἡμέρας αὐξανομένων, καὶ τροφαῖς ταῖς ἐκ τῆς μέσης ὕλης, οἷον [10]ἰχθύων τοῖς μὴ λιπαροῖς καὶ κρεῶν τοῖς μὴ καταπιμέλοις καὶ λαχάνοις τοῖς μὴ δριμέσι· φεύγειν δὲ πᾶν τὸ δριμύ, καθάπερ σκόροδα, κρόμμυα, πράσα, τάριχα καὶ τὰ δριμέα τῶν βρωμάτων· ταῦτα μὲν γὰρ φθείρεται ῥαδίως· τὰ δριμέα δὲ [11]πνεύματα, ὅτι καὶ ἄλλως ἐστὶ τμητικὰ καὶ λεπτυντικά, παρὸ καὶ ἐπὶ τῶν χρονίως νοσούντων εἰς

[1]παραλείπειν ἢ B. [2]ὑποπίπτων B. P. συνεκλύσαι ibidem. [3]προσδιίσ. B. [4]ἐκτέξοι B. ἐκτείξει P. [5]ἐν τρυφερᾷ B. P. [6]ἀσφαλῆ om. B. [7]ἀπολαμβάνειν B. συναντινασ. B [8]τὴν Codd. Fort. τῇ δὲ. [9]αἰώρᾳ] ἕως οὗ B. [10]ἰχθύσι B. [11]πνεύματα, Fort. om. ἀπογεννᾷ

τὴν οἷον ἐκτύλωσιν δοκιμάζομεν. παντελῶς δέ ἐστιν [1]ἀνεπιλόγιστον μὴ συνιδεῖν, ὅτι τὰ [2]ξαίνοντα καὶ ἰσχναίνοντα καὶ ῥινῶντα τὴν [3]ὅλην σύγκρισιν καὶ τὰ πεπυκνωμένα [4]διεκτυλῶντα, ταῦτα πολὺ διὰ τῆς ἀναδόσεως προμερισθέντα τοῖς τῆς ὑστέρας τόποις, πολὺ μᾶλλον διατήξειν τὸ σπέρμα μυξῶδες ὂν, ὅσον καὶ οὔπω διακεκρατημένον τῇ πήξει· φυλάττεσθαι δὲ [5]καὶ συνουσίαν· καὶ [6]γὰρ αὐτὴ κίνησιν ἐμποιεῖ, κοινότερον μὲν τοῖς ὅλοις σώμασι, μάλιστα δὲ τοῖς περὶ τὴν ἀριστερὰν τόποις, ἠρεμίας [7]δεομένοις· ὡς γὰρ ὁ στόμαχος ἠρεμῶν μὲν ἐγκατέχει τὴν τροφὴν, τινασσόμενος δὲ πολλάκις ἀποῤῥίπτει τὸ ληφθὲν δι' ἐμέτων, οὕτω καὶ ἡ μήτρα μὴ τινασσομένη μὲν κρατεῖ τὸ σπέρμα, σαλευομένη δὲ ἀφίησι· βαλανείῳ δὲ χρῆσθαι θερμοτέρῳ καὶ τῶν ἀέρων ἕνεκα καὶ τῶν ὑδάτων, χωρὶς ἐγχρονισμοῦ καὶ πολλῆς ἐξιδρώσεως, εἰς τὸ μὴ θρυπτόμενον ἐξατονίζεσθαι τὸ σῶμα· χρῆσθαι δὲ καὶ ψυχρῷ συμμέτρῳ, ὡς μὴ φρικώδη γενέσθαι συναίσθησιν· μετὰ δὲ τὴν ἀποθεραπείαν δεῖ [8]ἐσθῆσιν, ἕως ἂν ἠρεμήσῃ τὸ σῶμα καὶ ἡ ταραχὴ τοῦ πνεύματος καὶ ὁ σάλος τῶν ὑγρῶν ἀπογαληνωθῇ· προπίνειν δέ μέχρι πλείονος ὕδωρ ὕστερον, ἀλλ' εἰ σύνηθες, καὶ οἰνάριον ὀλίγον. μηδεὶς δὲ ὑπολαμβανέτω, διότι κἂν παραβαινούσης τινὸς ἔνια τῶν εἰρημένων ἢ πάντα, μὴ [9]γίνηται τοῦ συλληφθέντος ἔκτρωσις, οὐχὶ πάντως ἠδίκηται τὸ συλληφθέν· βεβλάφθαι γὰρ ὥσπερ καὶ ἀγονώτερον γίνεσθαι καὶ [10]ἀναυξητότερον, καὶ δυστροφώτερον καὶ τὸ κοινὸν εὐαδίκητον, εὐάλωτόν [11]τε τοῖς βλάπτουσι, καὶ κακόμορφον, καὶ κατὰ ψυχὴν ἀγενές· χωρὶς εἰ μὴ τῶν μὲν οἰκο-

---

[1]ἀναπολόγητον B. [2]ξένοντα Codd. [3]ὕλην B. [4]διεκτύλωντα P. Fort. διεκτίλλοντα. [5]καὶ] τὴν B. [6]γὰρ om. B. [7]δεομένης B. [8]Ita scripsi. ἔστησιν B. P. [9]γίνεσθαι B. P. [10]συναυξητότ. B. [11]δὲ B.

δομουμένων [1]† ὁ πᾶσαν πεπνίγωσιν [2]ἐποικοδόμηται τοῖς θεμελίοις οἶκος, δυσπερίτρεπτος [3]μένει ἐν πλείοσι χρόνοις· ὅσα δὲ σαθροῖς καὶ ἀπήκτοις, ῥᾳδίως καὶ πρὸς ὀλίγην ἀφορμὴν ἀποῤῥίπτεται. τῶν δὲ [4]ζώων ἡ γέννησις οὐκ ἂν ἔσται διάφορος παρὰ [5]τὸ τοῖς πρώτοις ὡς ἂν [6]ἐν στοιχείοις καὶ θεμελίοις διαφόροις ἐξερεισθῆναι· τοῦ σπέρματος δὲ ἀποπτυσθέντος, καταληφθήσεται μὲν τὸ γεγονὸς ἐκ τοῦ κάθυγρον τὸν γυναικεῖον κόλπον ὑπάρχειν, διορθώσεως δὲ τεύξεται πρὸς τὸ μὴ καὶ δεύτερον τὴν αὐτὴν τῆς συλλήψεως ἀποτυχίαν γενέσθαι. καὶ διὰ τοῦτο περιαιρεῖν μὲν, εἴ τις σωματικὴ κίνησις παραμυθεῖ· ὡς δὲ τὴν ψυχὴν [7]αἱ βιωτικαὶ φροντίδες συνετάρασσαν αὐτήν· [8]τονοῦν δὲ τὰ μέρη μετὰ τῶν ὅλων [9]εἰ περὶ ὑστέραν ἡ ἀτονία. καὶ τοιαύτη μὲν ἡ περὶ τὸν πρῶτον χρόνον τῆς συνειληφυίας ἐπιμέλεια, ἐπὶ δὲ προκοπτούσης τῆς κυοφορίας ἡ καλουμένη γίνεται κίσσα· καὶ περὶ ταύτης λέγομεν ἀκολούθως.

## ιζ΄ Περὶ κίσσης.

Τὸ περὶ τὸν δεύτερον μῆνα συμβαῖνον ταῖς [10]κυούσαις πάθος, κίσσα ὠνόμασται· λέγουσι δὲ τοῦτο οἱ μὲν ἐκ μεταφορᾶς ὄρνιθός τινος [11]οὕτω λεγομένης κίσσης· ὡς γὰρ τὴν πτηνὴν κίσσαν [12]ποικίλην εἶναι ποικιλίας ἕνεκα καὶ φωνῆς, οὕτω καὶ τὸ προκείμενον σύμπτωμα ποικίλων ὀρέξεων [13]ἀποτελεσματικὸν ὑπάρχειν· τινὲς δὲ ἀπὸ τοῦ κισσοῦ· καὶ γὰρ οὗτος [14]ποικίλλει ἐν περιπλο-

---

[1]Locus mendis deturpatus. Fort. ὅστις ἐν πεπηγόσιν. [2]ἐπῳκοδόμ. B. [3]μὲν μὲν πλείοσ. B. μὲν μὲν εἰς πλείοσι χρόνοις P. Scripsi μένει ἐν. [4]ζώων] μαζῶν B. γέννεσις P. Fort. ἂν εἴη. [5]τὸ] τε B. [6]εἰς Codd. ἐξερισθῆναι P. ἐξερσθῆναι B. Fort. ἐξερασθῆναι sive ἐξεργασθῆναι. Scripsi ἐξερεισθῆναι. [7]αἱ] εἰ P. [8]τὸ γοῦν B. [9]εἰ] ἐστὶ B. [10]κυούσαις om. B. [11]κίσ. οὕτ. λεγ. P. [12]ποικινὴν B. P. [13]ὑποτελ. B. [14]ποικίλοι B. ποικίλα P.

καῖς. ἐπιγίνεται δὲ ταῖς πλείσταις τῶν κυοφορουσῶν περὶ τεσσαρακοστὴν κατὰ τὸ πλεῖστον ἡμέραν· [1]ἔτι δὲ μέχρι τεσσάρων μηνῶν ὡς ἐπὶ τὸ πλεῖστον ἕπεται, ἐνίαις δὲ καὶ τάχιον ἢ βράδιον ἔρχεται καὶ παραμένει πάλιν, τισὶ μὲν [2]ὀλιγοτέρως, τισὶ δὲ μέχρι πλείονος, σπανίως δέ τισι μέχρι τῆς ἀποτέξεως, τισὶ δ' οὐδ' ὅλως ἐπηκολούθησεν. παρέπεται δὲ ταῖς ἐν τῷ πτώματι τυγχανούσαις ἀνατροπὴ στομάχου ἤτοι πλάδος, ναυτία τε καὶ [3]ἀνορεξία καὶ [4]ἀλυσμὸς καὶ ἔμετοι, ποτὲ μὲν σιτίων, ποτὲ δὲ χολῆς ἢ φλέγματος, ἀνορεξία ποτὲ μὲν πρὸς πάντα, ποτὲ δὲ πρός τινα, καὶ τῶν ἀσυνήθων ὄρεξις, οἷον γῆς, ἀνθράκων, ἑλίκων ἀμπέλου, καὶ ὀπώρας [5]ἀώρου τε καὶ ὀζώδους, δυσχροοῦσι, καὶ δυσαρεστήσεις, [6]ὀξυρεγμία, βραδυπεψία καὶ [7]ταχεῖα διαφθορὰ σιτίων· ἐνίαις δὲ καὶ ἔμετος ἐκ διαστημάτων κατὰ πᾶσαν προσφορὰν, ἢ καὶ βάρος καὶ σκοτώματα καὶ ἀλγήματα κεφαλῆς, ἀπορία τε καὶ ὠμῶν [8]χυμῶν πλῆθος, καὶ ὠχρότης, καὶ ἀτροφία, καὶ κοιλίας σκληρία, τισὶ δὲ καὶ διάστασις στομάχου, θώρακος ἄλγημα· τῶν αὐτῶν ἐνίοτε καὶ πυρέτια λεπτὰ, καὶ μαστῶν ἐπιδιογκώσεις· τὸ δὲ ἔπαρμα τῶν ἀγγείων τισὶ μὲν πρασίζον τι, τισὶ δὲ πελιδνόν· ἐνίαις δὲ καὶ ἀνάχυσις ἰκτεριώδης· [9]σιελίζουσι συνεχῶς καὶ καρδιαλγοῦσι. [10]ταῦτα δὲ συμβαίνει διὰ πλεονασμὸν αἵματος· τὸ γὰρ εἰωθὸς διὰ τῶν ἐν τῇ μήτρᾳ ἀγγείων κατὰ μῆνα ἀποκρίνεσθαι αἷμα, κωλυόμενον ὑπὸ τοῦ ἐμβρύου, ἀνατρέχει περὶ τὰ ἄνω μέρη καὶ ἐνοχλεῖ τῷ στομάχῳ μάλιστα, αἰσθητικωτάτῳ ὑπάρχοντι. ποικίλων δὲ καὶ ἀλλοκότων ἐπιθυμοῦσι πρὸς τὴν τῆς ἐπικρατούσης κακοχυμίας εἰδέαν·

---

[1]ἐπεὶ B. ἐπὶ P. [2]ὀλιγοτέραις B. ὀλιγοτέρους P. [3]ἀπορία Aet. Mss. XVI. 11. [4]ἅλυσμὸς B. [5]ἀώρους B. P. [6]ὀξυρεγμένα B. P. [7]ταχὺς B. P. [8]καὶ add. B. [9]στελ. B. σθελ. P. πτυελίζουσι Aet. [10]Multa in Aetii loc. cit. iisdem fere verbis leguntur.

κατὰ γὰρ τὰς ἀρχὰς ἐλάχιστόν τι τοῦ αἵματος ἀναλίσκεται εἰς τὴν τοῦ ἐμβρύου τροφὴν, ὕστερον δὲ μείζονος γενομένου δέεται πλείονος. καί οὕτω τοῦ μὲν αἵματος χωροῦντος ἐπὶ τὴν μήτραν εἰς τὴν τοῦ ἐμβρύου τροφὴν, τῆς δὲ κακοχυμίας κενωθείσης διὰ τῶν ἐμέτων, ἄνεσις γίνεται τῶν προειρημένων συμπτωμάτων· τῆς πρώτης οὖν συναισθήσεως γενομένης, πρὸς μίαν ἡμέραν συστολὴν παραλαμβάνειν, ἕνεκα τοῦ μὴ κινούμενον τὸν στόμαχον πρὸς τὸ κατὰ φύσιν διὰ τῆς ἠρεμίας ἀτάραχον φυλαχθῆναι, μηδὲν εὐλαβούμενον, ὡς οἱ πολλοὶ λέγουσιν, ὅτι δυσὶ ζώοις ὅσην δήποτε [1]δεῖ παραθεῖναι τροφήν· ἡ γὰρ οὐκ ἐπιτηδείως τῷ σώματι διδομένη τροφὴ φθείρεται, καὶ οὐ μόνον οὐ τρέφει, ἀλλὰ προσκακοῖ καθάπερ τὰ τέλεια τῶν σωμάτων, οὕτω καὶ τὰ νεοπαγῆ σπέρματα. διόπερ ἀναστάσει χρηστέον· καὶ γὰρ οἱ πλέοντες συστολῇ χρησάμενοι πρὸ μιᾶς ἡμέρας, τὴν ναυτίαν οὐχ ὑπομένουσιν, ἢ οὐκ ἐπὶ τοσοῦτον, τῇ δὲ ἑξῆς ἡμέρᾳ συναλείμματι μὲν [2]ἀποθεραπευτέοι· τροφὴν δὲ δοτέον ὀλίγην [3]εὐκατέργαστον, οἷον ᾠὸν ἁπαλὸν ἢ πόλτον, καί τι τῶν μὴ καταπιμέλων πτηνῶν, καὶ ποτὸν ὕδωρ, οὐ πολύψυχρον δὲ ἐς σύνηθες χάριν τοῦ παραστέλλεσθαι τὸν πλάδον τοῦ στομάχου· ταῖς δὲ ἑξῆς ἡμέραις πρὸ τοῦ ἀλείμματος προκαταψᾶν αὐτῶν τὸ σῶμα δι' ὀθονίων τρυφερῶν ἄχρι συμμέτρου φοινιγμοῦ. μετὰ δὲ τὰς πρώτας ἡμέρας λουτρῷ χρῆσθαι ζεστοτέρῳ, καὶ οἰναρίῳ συμμέτρῳ, καὶ κινήσεσι ταῖς δι' [4]αἰώρας, φορείῳ τὸ πρῶτον καὶ καθέδρᾳ, κἄπειτα ζευκτῷ, καὶ περιπάτοις, ἀναφωνήσεσί τε καὶ ἀναγνώσεσι μετὰ πλάσματος, καὶ γυμνασίοις τοῖς δι' ὀρχήσεως κωρύκου τε καὶ σφαίρας καὶ τρίψεως· [5]τονωτικὸν δὲ τοῦ στομάχου

[1] δεῖ om. B. [2] ἀποθεραπευτέον B. [3] ἀκατ. B. P. [4] δι' ὥρας B. ἑώρας P. [5] τὸ νωτικὸν B. P.

τὸ μέρος. ἐπὶ τοῦ ἄρτου ξηροφαγεῖν· οὕτω γὰρ εὐμαρῶς, ἀποκουφίζεται τὰ σώματα τῶν τῆς κίσσης ὀχληρῶν [1]ἠφαιρουμένου τοῦ κατ' ἠρεμίαν λουτροῦ. καὶ παρὰ μίαν δὲ καὶ παρὰ δύο παραλαμβάνομεν. πολλῆς δὲ οὔσης ἀνατροπῆς καὶ [2]πλάδης ἕως τοῦ στομάχου, πυκνωτικαῖς χρηστέον ἐμβροχαῖς κατὰ τὸν στόμαχον, καὶ τὴν κοιλίαν δι' ἐλαίου ὠμοτριβοῦς καὶ ὀμφακίζοντος, ἐρίων προσπεριειληθέντων· καὶ ῥόδινον δὲ καὶ μήλινον καὶ μύρσινον καὶ μαστίχινον καὶ νάρδινον ἐπισυστροφεῖ τὸν στόμαχον ὑπτιώμενον, ἢ διά τινος τούτων κηρωτάριον ἐπαλείφειν. εἰ δὲ εὐτονωτέρας χρεία στύψεως γένοιτο διὰ τοὺς ἐμέτους, ἐπιθέματι χρηστέον, ἐξ ὧν εἰσι φοίνικες ξηροὶ προβρεχθέντες ἢ ἑψηθέντες ἐν οἴνῳ αὐστηρῷ ἢ ὀξυκράτῳ, καὶ μῆλα, καὶ κυδώνια παραπλησίως ἑφθὰ κατ' ἰδίαν ἢ μετὰ τῆς πρὸς τοὺς φοίνικας συμπλοκῆς ἢ μετά τινος τῶν εἰρημένων κηρωταρίων. εἰ δ' [3]ἐπιτείνειν θελήσαιμεν τὴν δύναμιν, καὶ στυπτηρίας ὑγρᾶς ἢ ξηρᾶς ἀλόης τε καὶ μαστίχης καὶ ῥόδων τε καὶ κρόκου καὶ οἰνάνθης καὶ [4]σιδίων, ὀμφακίου καὶ κικίδων, ὑποκυστίδος τε ἢ ἀκακίας ἢ πάλης ἀλφίτων. παραμένοντος δὲ τοῦ ἐμέτου, καὶ τῆς τῶν σιτίων ἀποβολῆς, ἁρμόσει τὰ μὲν ἄκρα διαδεσμεύειν· τῇ γὰρ τούτων [5]πυκνώσει συνδιατίθεται καὶ ὁ στόμαχος, καὶ [6]εἰς ζεστὸν ὕδωρ τὰ αὐτὰ καταβάπτειν· καὶ γὰρ τοῦτο τῇ ἐπιτάσει πυκνωτικόν. κατὰ δὲ τοῦ στομάχου τῆς κοιλίας πλατύστομον σικύαν μεθ' [7]ὑποβολῆς πλείονος φλογὸς κολλᾶν, εἰ δὲ μὴ, καὶ δευτέραν κατὰ μεταφρένου· χρὴ γὰρ [8]†παραπλησίως· ἐπέχουσιν αὗται τὸν περὶ τῷ στομάχῳ ῥευματισμόν· πόνου δὲ συμπεπλεγμένου τῷ ῥεύματι, στυπτικὸν μὲν τῇ δυνάμει καταπλασμάτιον

[1] ἢ φερομένου κατ' ἡσυχίαν B. [2] πλέδης B. P. Fort. πλάδου. [3] ἐπί τινος B. P. [4] σιδίων — κικίδων om. B. [5] πυκνότητι B. [6] εἰς] om. B. ἢ P. αὐτὰ om. B. P. [7] ὑπερβ. B. [8] Deesse aliquid videtur.

ἐπιῤῥιπτέσθω, θερμῷ δὲ τῇ [1]καθέξει, καθάπερ ἡ [2]ὠμήλυσις, ὀξυκράτου, καὶ μάλιστα ταύτης, ἢ διὰ κριθίνων ἀλεύρων ἢ πυρίνων [3]ἀσήστων. μάλιστα δὲ προνοητέον τοῦ διατάσσειν τροφὰς εὐστομάχους, εὐδιοικήτους τε καὶ δυσφθάρτους, οἷον ὠὸν ἁπαλὸν, καὶ χόνδρον δι' ὕδατος ψυχροῦ ἢ ὀξυκράτου, ἢ μετὰ [4]πυρήνων ῥοᾶς, ἢ ἀλφίτων πολτὸν ψαθαρώτατον καὶ μάλιστα τὸν διὰ τῆς ὀρύζης· καὶ τῶν πτηνῶν τὰ μὴ καταπίμελα, ψαφαρωτέραν δὲ ἔχοντα τὴν σάρκα, καθάπερ ἀτταγῆνα, φάσσαν, [5]πέρδικα, νήσσας ἀγρίας, κίχλας, κοσσύφους, περιστερὰς, ὄρνεις κατοικητηρίους, καὶ τούτων μάλιστα τὰ στήθη, καὶ τῶν ἀγριμαίων κρέας λάγειον ἢ δορκάδειον, τῶν δ' ἄλλων τὰ ἐρίφια καὶ τῶν τρυφερῶν χοιρείων [6]ῥύγχη, πόδας, ὦτα, κοιλίας, μήτρας· τῶν δὲ ἀπὸ θαλάσσης ὁμοίως τὰ στερεόσαρκα· τούτων δέ εἰσι τρίγλαι, κάραβοι, καρίδες, [7]κήρυκες, σφόνδυλοι, πελωρίδες, πορφύραι· λαχάνων δὲ σέριν ὠμήν τε καὶ ἑφθὴν, σίσαρον, ἀνδράχνην, ἀρνόγλωσσον, ἀσπάραγον ἄγριον· τῶν δὲ ἀπὸ ταμείου ἐλαίαι κολυμβάδες, [8]μήλων κυδωνίων καὶ τούτων μάλιστα τὸ ὀπτόν· τὸ μὲν γὰρ ὠμὸν δυσκατέργαστον, τὸ δὲ ἑψημένον ὕδατι τὴν πολλὴν στύψιν ἀποβάλλει, τὸ δὲ περιπλασθὲν [9]καὶ ἀποπτηθὲν μετὰ τοῦ τηρεῖν τὴν ποιότητα, προσλαμβάνει τὸ εὐκατέργαστον. εἰ δὲ ἑφθὸν αὐτό τις βούλοιτο λαβεῖν, ἐπιδιακειμένων αὐτῷ καλάμων ἑψητέον ἢ κρεμαστέον διά τινος, ὥστε μὴ τοῦ ὕδατος ἅπτεσθαι, διὰ δὲ τῆς ἀτμῶν φορᾶς λαβεῖν τὴν ἕψησιν. δοτέον δὲ καὶ ἄπιον ἢ μέσπιλον ἢ σοῦρβον ἢ σταφυλὴν τὴν ἀπὸ κύθρας ἢ κρεμαστήν. [10]πνευματοῖ γὰρ ἡ πρόσφατος,

---

[1]καθίξει P. Fort. θερμὸν. [2]ὠμὴ λύσσα B. P. Fort. om. δι' ὀξυκρ. [3]ἀσείστων B. P. [4]πυρίνων ῥοὰς B. P. [5]πέρδικον B. πέρδικαν P. [6]ῥήγχη B. P. [7]κήρυκες — πελωρ. om B. [8]Fort. μῆλα. [9]καὶ ἀποπτηθὲν om. B. [10]πνεύματος B.

καὶ ἀμύγδαλα· προνοητέον δὲ ὅπως μηδὲν ᾖ τῶν προσφερομένων καὶ καρυκευμάτων· τὸ γὰρ ποικίλον καὶ περίεργον τῆς ἀρτύσεως βραδυπεψίας καὶ διαφθορᾶς σιτίων ποιεῖ. πρὸ δὲ τοῦ λαβεῖν τὴν τροφὴν ἔτι συῤῥυὲν ὑγρὸν ἐπὶ τὸν στόμαχον, οὐ κωλυτέον αὐτὸ δίχα συγκινήσεως ἐπιπολάσαι· διὰ τῶν ἐμέτων ἐκβαλεῖν· μὴ προεξαντληθὲν γὰρ αἴτιον αὐτὸ γίνεται τοῦ τὴν ἐπιφερομένην φθείρεσθαι τροφήν· ἔνιοι δὲ τῶν ἑτεροδόξων καὶ προηγουμένως παρῄνεσαν, χλιερὸν ὕδωρ προπίνειν, εἶτα καθιέναι τοὺς δακτύλους καὶ ἔμετον ἐπιτηδεύειν. οἱ δ' αὐτοὶ φασὶ δριμέος μὲν καὶ πυρώδους πλεονάσαντος ὑγροῦ, καὶ διὰ τοῦτο τὸν στόμαχον ἀναδάκνοντος καὶ πυροῦντος ἀνδράχνης ἀπόβρεγμα ἢ ἀπόζεμα διδόναι πίνειν ἢ καὶ αὐτὴν ἐσθίειν, πέπονα δὲ καὶ σικύων σπέρμα μεθ' ὕδατος καὶ γλυκὺν κρητικὸν, ἢ ἀβρότονον ἢ ἀψίνθιον, ἢ συριακῆς νάρδου ἀπόβρεγμα ἢ κρητικῆς τραγοριγάνου· παχέος δὲ καὶ γλίσχρου, ῥαφανίδας μετ' ὀξυμέλιτος [1]καὶ ταρίχου, καὶ τὸ διὰ νάπυος καὶ ὑσσώπου, δι' ὑδρομέλιτος ἀποζεσθὲν, ἅπερ παντελῶς ἀμέθοδα· δεῖ γὰρ οὐκ εἰς τὰς τῶν γυναικῶν ἀποβλέπειν διαφορὰς, εἰς δὲ τὴν ποιὰν τοῦ σώματος· εἶτα δύσπεπτοι αἱ ῥαφανίδες· πνευματικὸς δ' ὁ γλυκύς· τὸ ἀψίνθιον πρὸς ἔκτρωσίν ἐστιν ἐπιτήδειον, ὥστε φυλακτέον τὰς τούτων δόσεις· ταῖς δὲ πρὸς τὰ βλαβερὰ τῶν κυουσῶν ἐπιθυμίαις τὸ μὲν πρῶτον ἐνστατέον διὰ λόγων ὡς τῆς ἀπ' αὐτῶν βλάβης καὶ [2]τὰς ἐπιθυμίας ποιούσης παραλόγως ἢ καὶ τὸν στόμαχον κακούσης, οὕτω δὲ καὶ τὸ κατὰ γαστρὸς, διὰ τὸ μήτε καθαρὰν μήθ' ἁρμοδίαν ἐπισπᾶσθαι τροφὴν, ἀλλὰ τοιαύτην ὁποίαν ἐπιπέμψαι δύναται τὸ σῶμα κακῶς διακείμενον· καὶ γὰρ τὸ ἀπὸ τῆς γῆς ἀποῤῥέον ὕδωρ, καθαρᾶς

---

[1] καταρίχου B. P. [2] τῶν τὰς B. P.

μὲν οὔσης, διαυγές ἐστιν, βορβορώδους δὲ θολερόν. εἰ δ' [1]ἀνιαρῶς ἔχοιεν κατὰ μὲν τὰς πρώτας ἡμέρας, οὐδὲν προσενεκτέον· ὕστερον δὲ καὶ μετά τινας ἡμέρας, μὴ τυγχάνουσαι, [2]ὧν θέλουσι, τῇ δυσθυμίᾳ τῆς ψυχῆς ἀπισχνοῦσι καὶ τὸ σῶμα· πρὸς δὲ τὸ κουφότερον ἀδικηθῆναι πρῶτον μὲν ὑποδεικτέον, ὅπως μὴ πρὸ τῆς ἀποθεραπείας τοῦ σώματος λάβωσι καὶ τὸ ἐπιθυμητικὸν, ὅπου καὶ τὸ κατὰ γένος ὠφέλιμόν ποτε λαμβανόμενον ἀδικεῖ, καὶ μὴ κατ' ἰδίαν, μετὰ δὲ τῆς συμφερούσης τροφῆς τῇ παρὰ ταύτης εὐχυλίᾳ [3]κατακρατηθῇ ἤγουν κατακερασθῇ κατ' ὀλίγον· τὸ γὰρ περισσότερον μᾶλλον ἀδικεῖ, καὶ μεταξὺ τῆς ἄλλης τροφῆς [4]ἄλλα μήτε πρῶτον· γυμνοῦ γὰρ ἅψεται τοῦ στομάχου, μήθ' ὕστερον· ἐπὶ πολλὰς γὰρ ἂν καὶ τὴν ἄλλην προσδιαφθείρει τροφήν· [5]καὶ τοιαύτη μὲν ἡ τῆς κίσσης ἐπιμέλεια· τὴν δὲ τῶν ἑξῆς χρόνων ἀκολούθως προσυπαρκτέον.

### ιη'. Τίς ἀπὸ τῆς κίσσης μέχρις ἀποτέξεως γινομένη ἐπιμέλεια.

Τίνα μὲν τρόπον κατὰ τὸν τῆς κίσσης χρόνον ἄγειν [6]δεῖ τὴν κυοφοροῦσαν, ἔμπροσθεν ὑπεδείξαμεν· λοιπὸν δὲ ἤδη τούτου περιγραφέντος τοῦ συμπτώματος, ἀκολούθως καὶ τὴν μετὰ κίσσην ἐπιμέλειαν ὑπογράψαι. δεῖ τοίνυν πρὸς λόγον τε τῆς δυνάμεως αἰώραις τε χρῆσθαι ποικίλαις καὶ περιπάτῳ καὶ ἀναφωνήσει καὶ ἀναγνώσει καὶ ἀλείμματι καὶ ἀνατρίψει καὶ τροφαῖς ἀφθονωτέραις, πλὴν ὥστε περιγίνεσθαι τῶν προσφερομένων, οἴνῳ τε καὶ λουτροῖς τοῖς κατὰ συνήθειαν, καὶ τῇ παρ' ὅλῳ διαχύσει τῆς ψυχῆς, καὶ ὕπνοις ἱκανοῖς. δυσπαθεστέρου δὲ γινομένου τοῦ σώματος, [7]ἡ κύουσα μὲν ἄμεινον ὑγιαίνει,

---

[1]ἀνιῶς B. P. [2]τῶν B. P. [3]κατακριθῆναι B. [4]ἀλλὰ B. [5]καί τοι αὕτη B. [6]δεῖ] διὰ B. P. [7]ἡ κύουσα μὲν] ἠκούσαμεν B.

*καὶ παρασκευάζει τὰς ὠδῖνας εὐτονώτερον ἐνεγκεῖν, τὸ ἔμβρυον δὲ νοστιμωτέρας καὶ ὑγιοῦς καὶ αὐτάρκους μεταλαμβάνει τροφῆς. κατὰ δὲ τὸν ἕβδομον μῆνα τὰς μὲν σφοδροτέρας κινήσεις ὑφαιρετέον, καὶ μάλιστα τὰς διὰ τῶν ὑποζυγίων, τοῖς δ' ἄλλοις προσεκτικώτερον χρηστέον. ἐπισφαλὴς γὰρ ὁ σπαραγμὸς, ἐν ἀρχῇ μὲν μήπω προσεχομένου τοῦ σπέρματος εὐτόνως, μηδ' εἰς τὴν πῆξιν [1]κεκρατυμμένου καὶ διὰ τοῦτο ῥᾳδίως τοὺς ἀσπασμοὺς λαμβάνοντος, ὕστερον δὲ [2]τὸ βαρυαχθὲς εἶναι τελειούμενον τὸ κατὰ γαστρὸς, ὅτε δεῖ φυλάττεσθαι, μὴ διὰ τὸν πλείονα σάλον τοῦ χορίου ῥαγέντος, ἀποκριθῇ μὲν τὸ ἐν αὐτῷ συλλεγόμενον ὑγρὸν, ἐπὶ ξηρᾷ δὲ τῇ κυήσει κατασπώμενον τὸ ἔμβρυον τὸν κοινὸν πρὸς τὴν κυοφοροῦσαν κίνδυνον ὑπομένῃ. κατὰ δὲ τὸν μέσον χρόνον [3]ἀνύποπτος μὲν ἡ κίνησις, μικρομεγέθους ἔτι ὄντος τοῦ κατὰ γαστρὸς, καὶ ἀσφαλῶς προσεχομένου, καὶ μήπου χάλασμα πολὺ τοῦ χορείου μηδὲ διάτασιν [4]εἰληφότος, συνέχοντος δὲ μᾶλλον τὸ ἔμβρυον. ἐπιθεωρεῖν δὲ δίκαιον τὴν τῆς γαστρὸς διόγκωσιν, καὶ μή τινας ἡ μαῖα παρέπεται σύνεγγυς οὔσης τῆς ἀποτέξεως, ἅπερ ἀναγράψομεν ὕστερον. εἰ μὲν γὰρ προφαίνοιτό τι τοιοῦτον, εὐτρεπίζειν δεῖ τὰ πρὸς τὴν ἀπότεξιν· δέδωκε γὰρ ἡ ἐνέργεια, μὴ καὶ τὰ ἑπτάμηνα γόνιμα τυγχάνειν· εἰ δὲ μὴ, τοῖς [5]ὑποδιδαγμένοις χρῆσθαι. φυλάττεσθαι δὲ κατὰ τὰς τρίψεις, ὀγκουμένων [6]πλεῖον τῶν μαστῶν, θλίβειν τὰς ὑπεροχὰς αὐτῶν· εὐχερῶς γὰρ ἀγανακτοῦντες ἀπόστασιν ὑπομένουσι· διὸ καὶ τὰς συνήθεις στηθοδεσμίας [7]ἐπιχαλῶσαι εἰς παραδοχὴν τῆς ἐπιδιογκώσεως τῶν ἡμερῶν. τοῦ δὲ ὀγδόου μηνὸς ἐνστάντος, [8]ὃν κατ' εὐφημισμὸν λέγουσιν εἶναι κου-*

---

[1] *κεκρατημένου* B. [2] Fort. *διὰ τὸ* sive *τῷ*. [3] *ἀνύπτος* B. [4] *τοῦ εἰληφ.* Codd. om. *τοῦ*. [5] *ὑποδεδειγμένοις* B. [6] *πλεῖον τῶν*] *πλειόνων* B. P. [7] *ἐπιχαλῶσαν* P. [8] *οὗ* B.

φον, βαρύνοντος καὶ δυσαρέστησιν καὶ τὴν ἄλλην κακοπάθειαν [1]ἀποτελοῦντος, τὸ τῆς τροφῆς πλῆθος ἐπισυνεργεῖν. κινήσεις δὲ παραλαμβάνειν μόνας τὰς διὰ φορίου ἢ μακρᾶς καθέδρας, πλὴν εἰ μὴ μέχρι διαχύσεως ὀρεχθῇ [2]τις τοῦ περιπατῆσαι. πλείονος δὲ οὔσης τῆς δυσφορίας, καὶ ἀνατείνειν [3]ἁρμόσει πρὸς μίαν ἡμέραν, ὥστε διὰ τῆς ἠρεμίας ἐκλυθῆναι τὸ δυσαρέστημα· ταῖς γὰρ τῶν πολλῶν [4]ψυχρολουσίαις οὐ προσεκτέον, ὅτι συστολὰς οὐ φέρουσιν αἱ κυοφοροῦσαι, καθ' [5]ἃς ἀκαίρως τρεφόμεναι φέρουσι καὶ τὴν πλείονα κάκωσιν· φθειρομένης γὰρ τῆς τροφῆς, οὐ μόνον οὐ [6]τρέφονται διὰ τῶν ἐφθαρμένων, ἀλλὰ καὶ βαροῦνται· παραιτητέον δὲ μέχρι τινὸς καὶ τὸ βαλανεῖον. ἡ συνουσία δὲ πάντοτε ταῖς κυοφορούσαις ἐπιβλαβὴς διά τε τὸν σάλον καὶ διὰ τὸ τὴν ὑστέραν ἀναγκάζεσθαι [7]τὴν ἐναντίαν τῷ τῆς συλλήψεως ἔργῳ κίνησιν ὑπομένειν. ἐν δὲ τοῖς τελευταίοις μησὶν, καὶ μᾶλλον [8]μὴ δι' αὐτὴν ῥαγέντος τοῦ χορείου, τὸ πρὸς τὴν τῆς ἀποτέξεως χρείαν ἡτοιμασμένον ὑγρὸν ἔμπροσθεν τοῦ δέοντος ἀποκρίνει. τὸν δὲ ὄγκον τῆς γαστρὸς, εἴπερ ἀποκρεμασθῇ, καὶ [9]βαρὺς, διὰ τελαμῶνος ἀναληπτέον. τούτου δὲ τὴν μεσότητα [10]αὐτῷ κάτωθεν ὑποθετέον τῷ τῆς κοιλίας ὄγκῳ, τὰς δὲ ἀρχὰς τῶν πλευρῶν ἑκατέρωθεν [11]ἀναχθείσας χιαστέον, εἶτα ἐπὶ μετάφρενον καὶ ὤμους ὑπερθετέον, προσθέντας· κατὰ περιειλημμένης φασκίας, ἀφαμματιστέον. [12]περιληπτέον δὲ καὶ κηρωτῇ τὸν ὄγκον δι' ὀμφακίνου ἐλαίου καὶ μυρσίνου· τονουμένου γὰρ τοῦ δέρματος, ῥῆξιν οὐχ [13]ὑπομένει· τηρεῖται δὲ ἀῤῥυτίδωτον. μετὰ δὲ τὸν ὄγδοον μῆνα, τὸν μὲν τε-

---

[1] ἀποτελοῦντα Codd. [2] τις] ἥτις Codd. [3] ἁρμόζει B. [4] ψυχρολογίαις B. [5] οὓς B. P. [6] τρέφηται Codd. [7] τὴν ἐναντίαν om. B. [8] μὴ om. B. [9] Fort. add. ᾖ. [10] αὐτὸ B. P. [11] ἀναχθήσας Codd. [12] Fort. περιαλειπτέον. [13] ὑπομία Codd.

λαμῶνα λυτέον εἶναι, συνεγγιζούσης ἤδη τῆς ἀποτέξεως· συνεργήσει δὲ τὸ βάρος εἰς ὀξυτέραν ἀποκύησιν. συνεχεστέροις δὲ χρηστέον τοῖς λουτροῖς εἰς παρασκευὴν τῆς τῶν μερῶν ἀνέσεως καὶ [1]νήξεσι ταῖς ἐν ὕδατι γλυκεῖ καὶ θερμῷ· τὰ γὰρ αὐτοφυῆ δριμυτέρας ἔχοντα τὰς ποιότητας, οὐδὲν διαφέρει τῶν εἰς φθορὰν ὑποτιθεμένων φαρμάκων. καὶ τοπικώτερον δὲ τὰ μερίδια χαλαστέον πυρίαις, ἐγκαθίσμασι τοῖς διὰ λινοσπέρμου ἢ τήλεως ἢ μαλάχης, ἀφεψήμασιν, ἐγχυματισμοῖς δὲ δι' ἐλαίου γλυκέος· ἔτι δὲ πεσσοῖς τοῖς διὰ χηνείου στέατος καὶ μυελῶν· καὶ αὐτὴ δὲ ἡ μαῖα συνεχῶς τῷ δακτύλῳ περιαλείφουσα τὸ στόμιον τῆς ὑστέρας, διαστελλέτω τὰ προσεμπίπτοντα. παραγγέλλειν δὲ τοῖς περιπάτοις χρῆσθαι καθημερινοῖς καὶ βαλανείῳ προσηνεῖ· καὶ ὑγρὰς κηρωτὰς συναλειφέσθω, καὶ μάλιστα τῶν πρωτοτόκων καὶ ἀνιωδῶν καὶ ἐπάνδρων καὶ σκληροσάρκων καὶ μεμυωμένων τῷ τραχήλῳ τῆς μήτρας. ὅθεν καὶ δεήσει ἐγκαθίσμασι τοὺς τόπους ἐκλαμβάνειν τοῖς διὰ μελιλώτων ἢ τήλεως ἢ μαλάχης ἢ λινοσπέρμου, συγκαταπλεκομένου στέατος χηνείου ἢ ὑείου· χρηστέον δὲ καὶ πεσσοῖς μαλακτικοῖς καὶ ἀπεριέργοις. εἰσὶ δὲ οὗτοι· τῆλις ἕψεται ἐπὶ τοσοῦτον, ὡς δύνασθαι λεανθῆναι· εἶτα παρεγχύεται κηρωτῇ διὰ σουσίνου εὐκράτως γεγονυίᾳ, καὶ [2]συμμίγνυται ἡ τῆλις, εἶτα βαστάζεται, καὶ τῇ ἐφεξῆς ἡμέρᾳ ὁ ἐφιστάμενος ἐπίπαγος ἀφαιρεῖται. ἔστι δὲ ἁπάντων πεσσῶν οὗτος κουφότερος. ἤδη δὲ ἁρμόζει καὶ ὁ τοιοῦτος πεσσὸς τοῖς τοιούτοις· κηροῦ τυῤῥηνικοῦ οὐγγίας β' σουσίνου, στέατος χηνείου ἀνὰ οὐγγ. β'. ταῦτα δὴ πάντα μαλαχθέντα ἐστὶ μάλιστα μαλακτικά. τὰ προσεμπίπτοντα δὲ τοῦ περὶ τῆς ἀποτέξεως λόγου αὐτάρκως διειλημμένου καὶ τὸν περὶ τῆς χρήσεως τῶν φθορίων ἀναγκαῖον διορίσαι.

[1] ῥήξεσι Codd. [2] συμμιγλοῦται P.

## ιθ'. Εἰ φθορίοις καὶ ἀτοκίοις χρηστέον καὶ πῶς *).

Ἀτόκιον δὲ φθορίου διαφέρει· τὸ μὲν γὰρ οὐκ ἐᾷ γενέσθαι σύλληψιν, τὸ δὲ φθείρει τὸ συλληφθέν. Τινὲς τῶν γυναικῶν ἐν γαστρὶ συλλαμβάνουσαι κινδυνεύουσιν ἐν ταῖς ἀποτέξεσιν ἢ διὰ στενότητα τοῦ τραχήλου τῆς ὑστέρας, ἢ μικρᾶς ὅλης τῆς μήτρας ὑπαρχούσης καὶ μὴ δυναμένης ὑπουργῆσαι μέχρι τελειώσεως, ἢ κατὰ τὸ στόμιον τῆς μήτρας κονδυλώματά εἰσιν, ἤτοι τοιοῦτον ἕτερον γινόμενον κώλυμα τῆς ἀποτέξεως γίνεται, αἷς πολλῷ μὲν ἄμεινόν ἐστι τὸ μὴ συλλαβεῖν. Εἰ δ' ἄρα [1]συλλάβοιεν, βέλτιόν ἐστι τὸ διαφθεῖραι τὸ ἔμβρυον τολμῆσαι· διὸ ἀκόλουθόν ἐστι περὶ φθορίων διαλαβεῖν καὶ [2]ἀτοκίων. [3]Εἴπομεν οὖν ἄλλο φθόριον καὶ ἄλλο ἀτόκιον· τὸ δὲ ἐκβόλιον οἱ μὲν συνωνυμεῖν τῷ φθορίῳ λέγουσιν, οἱ δὲ διαφέρειν, τῷ [4]μὴ ἐν φαρμάκοις νοεῖσθαι, κατασεισμοῖς δὲ [5]καὶ πηδήμασιν εὐτυχοῖ· [6]διὸ καὶ τὸν Ἱπποκράτην [7]παραιτησάμενον τὰ φθόρια παραλαβεῖν ἐν τῷ περὶ παιδίου φύσεως ἐκβαλεῖν χάριν τὸ πρὸς [8]πυγὰς πηδᾷν. Γεγένηται δὲ στάσις· οἱ μὲν γὰρ ἐκβάλλουσι τὰ φθόρια, τὴν Ἱπποκράτους προςκαλούμενοι

---

*) Hanc Sorani editionem **Friderici Dietzii**, Viri eruditissimi atque experientissimi, praematura morte (pridie Non. Jun.) interruptam et, praesertim quum inde ab hoc capite tum diversae codicum scripturae margini in prioribus adscriptae prorsus tum editoris conjecturae ex parte deficerent, in tempus dilatam equidem nunc curandam et finiendam suscepi. Quae ex schedis **Dietzianis** colligi queunt et conjecturae et emendationes, afferam addita singulis hac nota: Ex Schedis. **Justus Florianus Lobeck.** —

[1] συλλάβονεν B. [2] ἀτοκύων B. P. sine dubio ἀτοκίων. Lob. [3] εἴπωμεν P. [4] μὲν B. [5] καὶ om. B. εὐτυχοῖ] Fort. εἰ τύχοι Lob. [6] διὰ B. [7] παραπησάμενον Codd. παραιτησάμενον ex Schedis. [8] πηγὰς B. πηδᾶν Codd.

μαρτυρίαν λέγοντος, [1]οὐδ' ἂν οὐδενὶ φθόριον, καὶ ὅτι τῆς ἰατρικῆς ἐστιν ἴδιον τὸ τηρεῖν καὶ σώζειν τὰ γεννώμενα ὑπὸ τῆς φύσεως· οἱ δὲ μετὰ διορισμοῦ συντάσσουσιν αὐτὰ, τουτέστιν οὐχ ὅτε διὰ [2]μοιχείαν τις βούλεται φθείρειν τὸ συλληφθὲν, οὔτε δι' ἐπιτήδευσιν ὡραιότητος, [3]ἀλλ' ὅτι διὰ κίνδυνον κωλῦσαι γεννησόμενον ἐν ταῖς ἀποτέξεσι, μικρᾶς τῆς μήτρας ὑπαρχούσης καὶ μὴ δυναμένης χωρῆσαι τὴν τελείωσιν, ἢ κατὰ τοῦ στομίου κονδυλώματα καὶ ῥαγάδας ἐχούσης, ἤ τινος ἐμφεροῦς περιστάσεως ἐγκειμένης. Τὰ δὲ αὐτὰ λέγουσι καὶ περὶ [4]ἀτοκίων, οἷς καὶ ἡμεῖς συνενοῦμεν· ὅθεν [5]ἐπὶ τοῦ φθεῖραι τὸ [6]κωλῦσαι γενέσθαι τὴν σύλληψιν ἀσφαλέστερον· περὶ τούτου οὖν πρῶτον ὑποδείξομεν. Εἰς [7]γὰρ τὸ μὴ φθείρειν τὸ συλληφθὲν πολὺ μᾶλλον συμφέρει τὸ μὴ συλλαβεῖν ἀναγκαῖον· διὸ τοίνυν οὓς εἰρήκαμεν ἐπιτηδείους εἶναι καιροὺς πρὸς σύλληψιν, φυλάττεσθαι χρὴ πρὸς συνουσιασμὸν οἷον ἀρχομένων ἢ ληγόντων τῶν [8]καταμηνίων, καὶ ἐν τοῖς πλησιασμοῖς ἐν τῷ καιρῷ τῆς συνουσίας, ὅταν ὁ [9]ἀνὴρ [10]ἀποκρίνειν τὸ σπέρμα μέλλῃ, κατέχειν χρὴ τὸ πνεῦμα, [11]καὶ μικρὸν ὑφέλκειν [12]ἑαυτὴν, ὡς μὴ ποῤῥωτέρω ἐν τῇ [13]κύστει τῆς μήτρας τὸ σπέρμα ἀκοντισθῆναι· καὶ [14]δι' ἀναστάσεως εὐθέως, καὶ ὀκλὰξ καθίσασα, πταρμὸν κινεῖν, καὶ περιμαλάξασα τὸν κόλπον ἐπιμελῶς, ἢ καὶ ψυχρὸν πίνειν. Συνεργεῖ δὲ τῇ ἀσυλληψίᾳ καὶ τὸ διαχρίειν τὸ στόμα τῆς ὑστέρας ἐλαίῳ

---

[1]οὐδῶς δὲ P. οὐδ' ἂν B. [2]μοιχίαν Codd. [3]Fort. ἀλλὰ διὰ τὸ pro ἀλλ' ὅτι διὰ. Lob. διακίνδυνον P. [4]ἀτοκείων P. pro συνενοῦμεν scrib. συναινοῦμεν. Lob. [5]Fort. ἐστὶ. Lob. [6]κωλύσαι Codd. Scripsi κωλῦσαι. Lob. τὴν om. B. [7]γὰρ om. B. [8]καταμήνων Codd. Scripsi καταμηνίων. Lob. [9]ἀὴρ B. [10]ἀποκρίνει Codd. sine dubio ἀποκρίνειν. Lob. [11]καὶ μὴ μικρόν B. [12]ἑαυτὸν B. [13]κύστει Codd. κύτει ex Sched. [14]διαναστάσεως P.

παλαιῷ ἢ μέλιτι ἢ κεδρίᾳ ἢ [1]ὀποβαλσάμῳ κατ' ἰδίαν, ἢ καὶ μετὰ ἀψινθίου, ἢ κηρωτῇ ὑγρᾷ διὰ μυρσίνου καὶ ἀψινθίου, ἢ στυπτηρίᾳ ὑγρᾷ πρὸ τοῦ πλησιάζειν, ἢ χαλβάνην μετὰ οἴνου ἢ ἐρίου τρυφεροῦ [2]μαλὸν ἐντιθέναι εἰς τὸ στόμα τῆς μήτρας, ἢ πρὸ τῶν συνουσιῶν πεσσοῖς χρῆσθαι στέλλειν τε καὶ πυκνοῦν δυναμένοις. Τὰ γὰρ τοιαῦτα εἰ μὲν στυπτικὰ εἴη, καὶ ἐμπλαστικὰ καὶ ψυκτικὰ, μύειν [3]παρασκευάζειν τὸ στόμα τῆς μήτρας πρὸ τοῦ καιροῦ τῆς συνουσίας, καὶ οὐκ ἐᾷ παρελθεῖν εἰς τὸν πυθμένα αὐτοῦ τὸ σπέρμα· καὶ [4]ἐρεθίζονται οὐ μόνον τὸ τοῦ ἀνδρὸς σπέρμα [5]ἐναπομεῖναι, καὶ ἐν τῷ [6]κύτει τῆς μήτρας οὐ συγχωροῦσιν ἐλθεῖν, ἀλλὰ καὶ ἑτέραν ὑγρότητα ἐξ αὐτῆς ἕλκουσιν. [7]Μνημονεύσομεν δὲ ἐνίων [8]καὶ κατ' εἶδος· πίτυος φλοιὸν, ῥοῦν [9]βυρσοδεψικὸν, ἑκάστου ἴσον, τρῖβε μετὰ οἴνου, καὶ προστίθει μετρίως πρὸ τῆς συνουσίας, περιειληφθέντος ἐρίου, καὶ μετὰ ὥρας δύο ἢ τρεῖς ἀφαιροῦσα [10]συνουσιαζέτω. Ἄλλο· Πάνακος ῥίζης, [11]ἀνὰ ἴσον [12]γῆς Κιμωλίας κατ' ἰδίαν, καὶ ὁμοῦ μεθ' ὕδατος τρῖβε, καὶ γλοιῶδες γενόμενον ὡςαύτως προστίθει, ἢ σιδίων νεαρῶν τὸ ἐντὸς λεάνας μεθ' ὕδατος προςτίθει· ἢ σιδίων μέρη β', κηκίδων μέρος ἓν, λειώσας ἀνάπλασσε βαλάνια μικρὰ καὶ ὑποτίθει μετὰ τὴν λῆξιν τῶν καταμηνίων· ἢ στυπτηρίαν ὑγρὰν, [13]ῥόας καλύφου τὸ ἐντὸς, [14]διιέναι μεθ' ὕδατος καὶ δι' ἐρίου προςτίθει· ἢ κηκίδος ὀμφακίνης, σιδίων τὸ ἐντὸς, [15]ζιγγιβέρεως ἀνὰ ∠ β', ἀνάπλασσε μετ' οἴνου ὀρόβων μεγέθει καὶ ξήραινε ἐν σκιᾷ, καὶ πρὸ τῆς συνουσίας

[1] ὑποβαλσάμῳ B. [2] μᾶλλον B. [3] παρασκευάζειν Codd. παρασκευάζει ex Sched. [4] ἐρεθίζοντα B. [5] ἐξαπομεῖναι B. [6] κήτει B. [7] μνημονεύομεν B. [8] καὶ om. B. [9] βυρσιδ. B. τρίβε Codd., ut etiam paullo infra. [10] συνουσιαζέσθω B. [11] Fort. ἀνίσου. ex Sched. [12] γῆς Κιμωλίας om. B. [13] ῥοὰς Codd. Scripsi ῥόας. Lob. καλύφου Codd. Fort. κελύφους. Lob. [14] διέναι B. [15] ζυγιβε Codd. Certe ζιγγιβέρεως. Lob. ἀνὰ om. B.

δίδου προστίθεσθαι ἐν μέσῳ· ἢ ἰσχάδων σάρκας λειώσας μετὰ νίτρου προστίθει, ἢ σίδια μετὰ [1]κόμμεως ἴσου, καὶ ῥοδίνου ἴσου προστίθει· εἶτα μελίκρατον ἐπιῤῥοφᾷν ὁμοίως, φυλάττεσθαι δὲ [2]καὶ ἐπιπολὺ δριμέα διὰ τὰς ἀπ' αὐτῶν ἑλκώσεις· ἅπασι δὲ χρώμεθα μετὰ τὴν [3]ἀπόληξιν τῶν καταμηνίων. Ἐνίοις δὲ [4]δοκεῖ, καὶ ἅπαξ τοῦ μηνὸς, ὀπὸν κυρηναϊκὸν πίνειν, ὅσον ἐρεβίνθου πλῆθος, ἐν δυσὶ κυάθοις ὕδατος, ὡς [5]καταμήνια ἐπισπώμενον· ἢ [6]ὀποπάνακος καὶ ὀποῦ κυρηναϊκοῦ, καὶ πηγάνου σπέρμα ἀνὰ ὀβολῶν β', καὶ περιπλάσαντα κηρῷ, διδόναι καταπίνειν· εἶτα κραμμάτιον ἐπιῤῥοφεῖν, ἢ ἐν κραμματίῳ πίνειν, λευκοΐου σπέρματος καὶ μυρσίνης ἀνὰ τριόβολον, σμύρνης δραχμὴν, πεπέρεως [7]λευκοῦ κόκκους β,' μετ' οἴνου ἐφ' ἡμέρας τρεῖς, διδόναι πίνειν· ἢ εὐζώμου σπέρματος ὀβολὸν ἕνα, σπονδυλίου ꞩ ὀβολὸν, πιεῖν μετὰ ὀξυμέλιτος. Φασὶ δὲ ἀτόκιον ποιεῖν, οὖρον ἡμιόνου πίνειν· ἢ [8]κοιτίνων ∠ β', κηκίδων ∠ α', ἀψινθίου ∠ α', λειώσας ἀναλάμβανε κεδρίᾳ, καὶ ἀνάπλασσε κριθῆς μεγέθει, καὶ προστίθει μετὰ τὴν λῆξιν τῶν καταμηνίων εὐθέως ἐφ' ἡμέρας β' καὶ μενέτω ἄλλην μίαν ἡμέραν· καὶ οὕτως, εἰ βούλοιτο, ἀνδροκοιτείτω, πρὶν δὲ μή· ἔστι δὲ ἀδιάπτωτον ἐκ τῆς πολλῆς πείρας. Ἢ ἀλόης ∠ α', [9]λευκοΐου σπέρματος τριοβολ. ζζ' ∠ α', πεπέρεως λευκοῦ κόκκους β' δίδου μετ' οἴνου, τὸ ὅλον μερίσας εἰς δόσεις γ,' μετὰ τὴν λῆξιν τῶν καταμηνίων. Ἀτόκιον δέ ἐστι καὶ τὸ τῶν χαλκείων ὕδωρ, ἐν ᾧ ὁ σίδηρος ἀποσβέννυται, συνεχῶς πινόμενον

---

[1] κόμεως Codd. [2] τὰ pro καὶ praebet P. ἐπὶ πολὺ δριμέα P. ἐπιπολυδριμέα B. [3] ἀπόληψιν Codd. Scripsi ἀπόληξιν. Lob. [4] εἰ δοκεῖ Codd. εἰ delevi. Lob. [5] καταμήνιοι B. — μήνιον P. Scripsi — μήνια. Lob. [6] ὀπωπάνακος Codd. rectius ὀποπάνακος. Lob. [7] λευκο B. λευκοτρκοῦς P. Videtur λευκοκάρπου, vel, ut paullo infra, λευκοῦ. Lob. [8] pro κοιτίνων, quod praebent Codd., legas κυτίνων. Lob. [9] λευοικίου B.

καὶ μάλιστα μετὰ τὴν λῆξιν τῶν καταμηνίων. Ταῦτα δὲ μὴ μόνον [1]κωλυτικὰ συλλήψεως ὑπάρχει, ἀλλὰ καὶ [2]φθαρτικὰ [3]τῆς ἤδη συνεστώσης. Καθ' ἡμᾶς δὲ πλεῖόν ἐστιν ἡ ἀπὸ τούτων κάκωσις, φθειρόντων μὲν καὶ ἀνατρεπόντων τὸν στόμαχον, πληρούντων δὲ τὴν κεφαλὴν, καὶ συμπάθειαν ἐπιφερόντων· οἱ δὲ καὶ [4]περιαπτοῖς ἐχρήσαντο, πολλὰ τῷ τῆς ἀντιπαθείας λόγῳ ποιεῖν νομίζοντες, ἐν οἷς μήτρας ἡμιόνου καὶ τὸν ἐν τοῖς ὠσὶ ῥύπον αὐτῶν, καὶ ἄλλα πλείονα τούτων, ἅπερ ἐπὶ τῶν ἀποτελεσμάτων φαίνονται ψευδῆ· [5]Γενομένης δὲ συλλήψεως, τὸ μὲν πρῶτον ἕως λ' ἡμερῶν τὰ ἐναντία ποιεῖν, οἷς ἔμπροσθεν εἰρήκαμεν· εἰς δὲ τὸ διαλυθῆναι τὸ συλληφθὲν, [6]περιτούσης εὐτόνως [7]καὶ διὰ ζευκτῶν κατασειομένης εὐτόνως, καὶ πηδᾷν, καὶ βαστάζειν τὰ ὑπὲρ δύναμιν βάρη· ἀφεψήμασι δὲ διουρητικοῖς κεχρῆσθαι τοῖς δυναμένοις καὶ καταμήνια κινεῖν, καὶ τὴν γαστέρα λαπάττειν καὶ κλύζειν δριμυτέροις κλύσμασι θερμῷ τε ἐλαίῳ καὶ γλυκεῖ, ποτὲ μὲν ἐγχυματιζομένην, ποτὲ δὲ [8]συναλειφομένην ὅλην, καὶ τριβομένην εὐτόνως, καὶ μάλιστα περὶ τὸ ἐφήβαιον, καὶ τὸ ἐπιγάστριον καὶ τὴν [9]ὀσφὺν, καὶ λουομένην καθ' ἡμέραν ἐν τῷ [10]μηδείαν ζεστῷ ὕδατι [11]γλυκὺ καὶ τοῖς λουτροῖς ἐγχρονίζουσαν καὶ προπίνουσαν οἰνάριον, καὶ δριμυφαγοῦσαν. Εἰ δὲ μὴ, καὶ [12]τοπικῶς ἐγκαθίζουσαν εἰς ἀφέψημα λινοσπέρμου, τήλεως, μολόχης, [13]ἀλθαίας,

---

[1]κωλυτικῆς B. [2]φθαρτικῆς B. [3]τοῖς ἤδη συνεστῶσι B. [4]Fort. περιάπτοις. Lob. [5]μετὰ τὸ συλληφθῆναι P. in ora. [6]περιτούσης Codd. Fort. περιπατούσης. Lob. [7]Haec usque ad εὐτόνως om. B. [8]συναλοιφομένην Codd. Dedi συναλειφ. Lob. [9]ὀσφῦν B. [10]μηδεῖαν P. [11]γλυκὺ secundum Codd. hunc obtinet locum. Sed, ut quodammodo cohaereat, verborum singulorum ordinem ita constituendum esse arbitror, ut γλυκὺ ponatur inter προπίνουσαν et οἰνάριον. Lob. [12]ποπικῶς B. [13]ἀλθέας Codd. Substitui ἀλθαίας. Lob.

[1]ἀρτεμισίας, καὶ [2]καταπλασσομένην τοῖς αὐτοῖς, ἐγχυματιζομένην δὲ τῷ παλαιῷ [3]ἐλαίῳ κατ' ἰδίαν, ἢ καὶ μετὰ πηγάνου χυλοῦ, ποτὲ δὲ καὶ μέλιτος, ἢ [4]ἰρίνῳ, ἢ [5]ἀψινθίῳ σὺν μέλιτι, ἢ ὀποπάνακα, ἢ [6]ἄλλῳ χονδρῷ μετὰ πηγάνου καὶ μέλιτος, ἢ μύρῳ [7]συριακῷ· [8]κἂν ἐπιμένῃ καταπλασσομένην μηκέτι τοῖς κοινοῖς καταπλάσμασιν, ἀλλὰ τοῖς διὰ θερμίνου ἀλεύρου μετὰ χολῆς [9]ταυρείας, καὶ ἀψινθίου, [10]ὁμοιογενέσι τῶν [11]ἐπιθεμάτων· ἐν οἷς ἐστι καὶ τοῦτο, κυκλαμίνου, [12]ἐλατηρίου, [13]ἀρτεμισίας ἀνὰ οὐγγ. ε', ἀψινθίου, [14]κολοκυνθίδος ∠ τ', κόκκους [15]κνίδης, καὶ νίτρου ∠ ή, ὀποπάνακος ∠ α', συκίου ἀγρίου ῥίζης ∠ [16]ε', θέρμων [17]πικρῶν, [18]χελιδονίας ῥίζης, λευκοΐου σπέρματος, ἢ τῆς ῥίζης ∠ ϛ', κυπρίνου ἐλαίου τὸ ἀρκοῦν εἰς τὸ ἔμπλαστρον ποιῆσαι τὸ φάρμακον· [19]προπυριάσας δὲ τὸ ὑπογάστριον ἀφεψήματι ἀρτεμισίας ἐπιτίθει καὶ κατὰ τῆς ὀσφύος· ἐπικειμένου δὲ τοῦ ἐπιθέματος, δίδου ἐντιθέναι τῷ κόλπῳ [20]ἰσχάδας μετὰ νίτρου, [21]ἤ τι τῶν παραπλησίων, ἢ διαχριέσθω κεδρίᾳ μετ' ἐλαίου παλαιοῦ. Μὴ διαλυομένου δὲ πρὸς ταῦτα τοῦ σπέρματος, ἐπὶ τὰ δραστικώτερα τῶν φθορίων παραγίνεσθαι, μὴ εἰκῇ μηδὲ ὡς ἔτυχε. Κινδυνώδης γάρ ἐστι πᾶσα ἐμβρύου φθορά, καὶ μάλιστα ὅταν ἀπαθὴς ἢ καὶ ἰσχυρὰ

---

[1]ἀρτεμησίας Codd. [2]καταπλασσομένοις B. —μένης P. —μένην ex Sched. [3]ἐλαίῳ om. B. [4]ἐρίνῳ B. [5]ἀνινθίνω B. [6]ἄλλας P. χονδρῷ Codd. Fort. ὀποπάνακι ἢ ἁλὸς χόνδρῳ. Lob. [7]οὐριακῷ B. [8]καὶ ἐπιμένει B. [9]ταρίας B. [10]ὁμοιογενέσθαι B. [11]ἐπιθημ. B. [12]ἐλατήριον B. [13]ἀρτεμησίας Codd. Dedi, ut supra, ἀρτεμισ. Lob. [14]κολοκινθ. B. [15]κυίδης B. sequens καὶ om. P. [16]θ' B. Non solum, quod codex P. est melior et antiquior, sed quod litera ε propter sequentem θ in eandem perfacile commutari poterat, praeferam ε' secundum P. Lob. [17]πικνῶν B. [18]χελιδωνίας B. [19]προπυριάσεις B. [20]ἰσχάδος B. [21]ἤτοι B.

[1]τῷ σώματι ἡ γυνὴ τυγχάνῃ καὶ σκληροτέραν καὶ πυκνοτέραν τὴν μήτραν ἔχουσα· διὸ [2]φυλάττεσθαι μὲν τὸν δεύτερον μῆνα καὶ τὸν τέταρτον. Κατὰ γάρ τινα λόγον φυσικὸν βαρύτητες καὶ δυςαρεστησίαι καὶ [3]νωθρίαι καὶ πρὸς τὸ νοσεῖν ἐπιτηδειότης κατὰ τὸ πλεῖστον ἐν τοῖς ἀρτίοις μησίν. Αἱρεῖσθαι δὲ ἕνα χρόνον τὸν τοῦ τρίτου μηνός, μήτε πρότερον μήτε ὕστερον· τὴν δὲ μέλλουσαν φθείρειν χρὴ πρὸ δύο ἢ [4]τριῶν ἡμερῶν λουτροῖς συνεχέσι χρῆσθαι καὶ ὀλιγοτροφίᾳ καὶ πεσσοῖς μαλακτικοῖς, καὶ οἴνου ἀπέχεσθαι, εἶτα φλεβοτομεῖν καὶ [5]πλεῖον ἀφαιρεῖν· τὸ γὰρ ὑπὸ Ἱπποκράτους εἰρημένον ἐν τοῖς ἀφορισμοῖς, εἰ καὶ μὴ ἐπὶ [6]στεγνοπαθούσης, ἀλλὰ καὶ ἐπὶ ὑγιαινούσης ἀληθές. Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει· ὡς γὰρ ἱδρώσκειν καὶ οὖρον [7]εἰς σκύβαλον ὑπερχαλωμένων τῶν περιεχόντων τὴν οὐσίαν αὐτῶν, οὕτω καὶ τὸ συλληφθὲν ἐκπίπτει προδιισταμένης τῆς μήτρας· μετὰ δὲ τὴν φλεβοτομίαν καὶ ζευκτῷ [8]κατασυσταῖον. [9]ἐνεργέστερος γὰρ νῦν ὁ βρασμὸς ἐπὶ προητονηκόσι τοῖς τόποις· καὶ πεσσοῖς δὲ μαλακτικοῖς χρηστέον. [10]Εἰ δὲ πρὸς φλεβοτομίαν ἀλλοτρίως ἔχοι τις καὶ ἄτονος εἴη, προςανιέναι μὲν τοὺς τόπους ἐγκαθίσμασι καὶ λουτροῖς καὶ πεσσοῖς μαλακτικοῖς καὶ ὑδροποσίᾳ καὶ ὀλιγοσιτίᾳ καὶ [11]κοιλιολυσίᾳ καὶ [12]κλύσματι προςτίθεσθαι μαλακτικῷ· μετὰ δὲ ταῦτα πεσσὸν φθόριον. Αἱρεῖσθαι δὲ τούτων τοὺς μὴ ἄγαν δριμεῖς [13]εἶναι, μὴ [14]πλείονα συμπάθειαν καὶ θερμασίαν [15]ἀπάγωσι· ἐκ δὲ

[1]τοῖς σώμασι Codd. Scripsi τῷ σώματι. Lob. τυγχάνει Codd. Scripsi τυγχάνῃ. Lob. [2]φυλάσσεσθαι Codd. [3]νοθρίαι Codd. sine dubio νωθρίαι. Lob. [4]καὶ add. P. [5]πλοῖον B. [6]Sic! ex Sched. [7]ἢ pro εἰς. ex Sched. [8]Fort. κατασειστέον. ex Sched. [9]ἐναργέστερος P. [10]εἰσὶ B. [11]κοιλολυσίᾳ Codd. Scripsi κοιλιολυσίᾳ. Lob. [12]κλίσματι B. [13]Fort. ὄντας. Lob. [14]πλείωνα B. [15]Fort. ἐπάγωσι. ex Sched.

τῶν πραϋτέρων οἱ τοιοῦτοι [1]καθεστᾶσιν οἷον μυρσίνης, λευκοΐου σπέρματος· [2]θέρμων πικρῶν ἐξίσου [3]μετὰ ὕδατος [4]ἀναπλάττειν τροχοὺς ὡς κυάμου μέγεθος, ἢ [5]φύλλων πηγάνου ∠ γ', μυρσίνης ∠ β', [6]δάφνης ὁμοίως διεῖναι μετ' οἴνου, [7]καὶ πότιζε. [8]Ἄλλος πεσσὸς ἀκινδυνότερος [9]ἐκβάλλων· λευκοΐου, [10]καρδαμώμου, θείου, ἀψινθίου, σμύρνης, ἑκάστου ἴσον δι' ὕδατος ἀνάπλασσε· προλελούσθω δὲ ἡ μέλλουσα προςτίθεσθαι, ἢ ἐγκαθίσμασι προανιέσθω καὶ μέχρι πλείονος μηδὲν [11]ποίει· πάλιν ἐγκαθίσμασι προςανεθεῖσα δεύτερον προςτιθέσθω· εἶτα μετὰ ἡμέρας δύο ἢ τρεῖς, μετὰ τὴν φλεβοτομίαν τούτων γενομένων, εἰ ἐπιμένει, ἐμέσασα ἀπὸ δείπνου λαμβανέτω [12]νῆστις [13]λινοζώστεως θηλείας φύλλα ἑφθὰ μετ' ἐλαίου καὶ [14]γάρους [15]ἠρτημένα καὶ [16]ἐπιῤῥοφάτω τὸν ζωμόν· πινέτω δὲ καὶ [17]ἀγαρικοῦ [18]ἐξαγ.... γ' ἐν ὑδρομέλιτι ἢ λευκοΐου σπέρμα ∠ α' ἢ ἀρτεμισίας ἢ [19]δικτάμνου ἢ γεντιανῆς, ἢ καστορίου ἀνὰ ∠ α' ἢ [20]ἀμμωνιακοῦ θυμιάματος ∠ [21]γ' ἢ ζζ' ∝ γ', ἢ δαφνίδας [22]θ' μεθ' ὑδρομέλιτος, ἢ θύμου κορύμβων ∠ [23]ι'. Ταῦτα τῶν ἐμβρύων τὰ θνήσκοντα ἐκβάλλει. Ἐλπὶς μὲν ὑπὸ τούτων τὴν φθορὰν τοῦ συνειλημμένου γενέσθαι· εἰ δὲ μή γε, μοχλευθήσεται διὰ τῶν ὑπογεγραμμένων· δεῖ δὲ πρὸ τῶν πομάτων

---

[1] καθίστασιν Codd. Scripsi καθεστᾶσιν. Lob. [2] Legebatur θερμῶν. Lob. [3] ∠ α B. [4] ἀναπλάττει Codd. mutandum vel in ἀνάπλαττε vel ἀναπλάττειν. Lob. [5] φίλον B. φύλλον P. Scripsi φύλλων. Lob. [6] δαφνίσας P. Fort. δαφνίδας, ut postea, legendum. Lob. [7] καὶ πότιζε] καπότιζε B. [8] ἄλλοι πεσσός ἀκινδυνότεροι B. [9] ἐκβάλον Codd. Posui ἐκβάλλων cum sequente interpunct. Lob. [10] καρδαμῶ B. [11] ποιεῖ Codd. ποίει ex Sched. [12] νήστης B. [13] λινοτρο^{ςθ} B. πετροσελίνου ex Sched. [14] νάρους B. γάρους P. νάρδου ex Sched. Ex γάρους facile γάρου potest refici, siquidem ex arte sit. Lob. [15] Sine dubio ἠρτυμένα. Lob. [16] ἐπιῤῥοφήτω Codd. Scrib. aut —φάτω aut —φείτω. Lob. [17] εὐγαρικοῦ Codd. ἀγαρ. ex Sched. [18] Lacuna! ζ pro γ' B. [19] δικτάμου B. [20] ἅμα ^{Ηι}ω ού B. [21] ȣ B. [22] ζ pro θ' B. [23] γ pro ι' B.

καὶ τῶν τῇ ὑστέρᾳ προςαγομένων φθορίων πταρμὸν κινεῖν, προςάγοντα ταῖς ῥισί τινα τῶν δραστικωτέρων πταρμὸν κινούντων. Ἔστι δὲ πεσσὸς φθόριος ἀσφαλὴς ὁ τοιοῦτος· ἴρεος ∠ γ′, χαλβάνης ∠ γ′, [1]κνίδης ∠ γ′, τερεβινθίνης ∠ α′ μετὰ σουσίνου ἢ ῥοδίνου ἢ κυπρίνου, ἀναληφθέντων προλουσαμένη προςτιθέσθω καὶ διακρατείτω δι' ὅλης νυκτός· ἕωθεν δὲ ἐγκαθιζέτω εἰς ἀφέψημα τήλεως, ἀρτεμισίας, καὶ [2]εἰ μὴ ὑπακούοι, μετὰ τὸ λουτρὸν ὕστερον ὑποτιθέναι. Ἄλλο· λευκοΐου σπέρμα, νίτρου ∠ γ′, ἀψινθίου ἴσον προςτίθει ἐν ἐρίῳ μετ' οἴνου· ἢ πηγάνου φύλλων ∠ γ′ ʒʒ, [3]δαφνίδων ∠ β′ μετ' οἴνου προςτίθει· ἢ κολλύριον ἀλύπως ἔμβαλον τριμηναῖα· καρδάμου σπέρμα, λευκοΐου ζζ′, ἀψινθίου ἀνὰ ∠ α′ ὕδατι [4]ἀναπλάσας κολλύριον ἐπὶ μήκει ἕως δακτύλων ϛ′ προςτίθει· [5]προλουσαμένη πινέτω δὲ ἐν τῷ προςτίθεσθαι [6]γλήχωνος ἀπόζεμα. [7]Ἄλλο δόκιμον· [8]ἀβρότονον [9]ὅσον βούλει ἑψήσας σὺν ὕδατι, ἕως ὅλον τὸ ὕδωρ ἀναλωθῇ, καὶ ἐκπιάσας [10]εὑρήσεις ὑγρὸν [11]μελιτώδη σύστασιν [12]ἔχοντα· τοῦτο [13]ἐρίῳ ἀναλαβὼν δίδου προςτίθεσθαι. Χρῶ δὲ καὶ [14]τοῖς πρὸς τὰ ἐπεχόμενα ἐμμήνια ἀναγραφησομένοις βοηθήμασι πᾶσι καὶ τοῖς ἐπιθέμασι· πολλὰ δὲ καὶ ἄλλα παρ' ἄλλοις εἴρηται· φυλάσσεσθαι [15]δὲ δεῖ τὰ λίαν πληκτικὰ, καὶ τὸ [16]καταλῦον τὸ ἔμβρυον διά τινος [17]ἐπάκμου· κίνδυνος γὰρ τρωθῆναί τι τῶν παρακειμένων· εἶτα ἐκεῖθεν ῥαβδίον μέλανος [18]ἐλλεβόρου, ἢ

---

[1] κὸ̆ B. κὸ̆ κνίδης P. Fort. κόκκου Κνιδίου. Lob. [2] εἰ om. Codd. Lob. [3] δαφνί B. In sqq. ἐκβάλλον Codd. Scripsi ἔμβαλον. Lob. [4] ἀνέπλασσε κολύως ἐπιμύκει B. ἀναπλάσας κολλύριον ἐπιμήκει P. [5] In Codd. post προλουσαμένη interpungitur. Lob. [6] γλήχονος B. [7] ἄλλον Codd. [8] ἀβρ— Codd. [9] ὅσον om. B. [10] εὑρίσεις Codd. Scripsi εὑρήσεις. Lob. [11] ἱμελιτώδη B. [12] Scrib. ἔχον. Lob. [13] ἔριον Codd. Certe ἐρίῳ. Lob. [14] τοὺς B. [15] δὲ om. B. [16] Sic! ex Sched. [17] ὑπάμου B. [18] ἐλεβόρου Codd.

[1]κρόμον διδόναι τε καὶ πίνειν τινῶν τῶν πρότερον εἰρημένων, τότε [2]διὰ σμόνης καὶ ὀποπάνακος καὶ χαλβάνης καὶ [3]ταυρείας χολῆς, [4]δι' ἃς ἔμπροσθεν εἰρήκαμεν αἰτίας, μετὰ δὲ τὴν φθορὰν ὡς φλεγμονὴν θεραπευτέον.

## κ'. Τίνα σημεῖα μελλούσης γίνεσθαι φθορᾶς.

Μελλούσης δὲ γίνεσθαι [5]τῆς τοῦ ἐμβρύου φθορᾶς ταῖς φθειρούσαις παρακολουθεῖ κένωσις ὑδατώδους, εἶτα ἰχωρώδους ἢ ὑφαίμου ὑγροῦ καὶ οἷον [6]ἀποπλύματα κρεῶν. Ὅταν δὲ πρὸς τῇ [7]ἀπολύσει ὑπάρχῃ, αἵματος καθαροῦ, ἐπὶ τέλει δὲ θρόμβοι αἵματος ἢ σαρκὸς ἀδιατυπώτου ἢ διατετυπωμένου παρὰ τὴν τοῦ χρόνου [8]διαφορὰν, ταῖς δὲ πλείσταις βάρος καὶ πόνος [9]ὀσφύος καὶ [10]ἰσχίων καὶ [11]ἤτρου, [12]βουβώνων, κεφαλῆς, ὀφθαλμῶν, ἄρθρων, στομάχου δῆξις, περίψυξις, [13]περιίδρωσις, λειποθυμία, ποτὲ δὲ καὶ φρικώδης πυρετός· ἐνίαις δὲ καὶ [14]σπασμοὶ ἐπιγίνονται ὀπισθοτονικοὶ ἢ ἐπιληπτικοί· ταῖς δὲ καὶ λυγμὸς ἢ σφυγμὸς ἢ ἀφωνία. Ταῦτα δὲ μάλιστα παρέπεται ταῖς [15]ἐν φαρμακείαις φθειρούσαις, ταῖς δὲ χωρίς τινος ἐπιτηδεύσεως ἐκτιτρωσκούσαις [16]προςγίνεται, καθὼς φησιν Ἱπποκράτης, παράλογος μαστῶν ἴσχνωσις, [17]ὡς δὲ [18]Διοκλῆς φησι, ψύξις, μηρῶν βάρος ἐγκαθιζόμενον

---

[1]κρόμον Codd. κρόκον ex Sched. Si ars patitur κρόμυον, proxima foret conjectura. Lob. [2]διὰ σμόνης P. διασμόνης B., pro quo est δι' ἀνεμώνης, ut equidem magis linguam graecam quam artem medicam respiciens opinor, accipiendum. Lob. [3]ταυτρίας B. [4]διὰ τὰς Codd. Legi necesse est δι' ἃς. Lob. [5]τῆς φθορὰς τοῦ ἐμβρίου B. [6]ἀπολύματα B. [7]ἀπολαύσει ὑπάρχει B. [8]διαφθορὰν B. [9]ὀσφύου καὶ praeb. P., om. B. Scripsi ὀσφύος. Lob. [10]ἰσχύων Codd. Dedi ἰσχίων. Lob. [11]ἴτρου Codd. Sine dub. ἤτρου. Lob. [12]βουβώνεον B. [13]περιύδρωσις B. [14]σπασμὸς ἐπιγίνονται ὀπισθοτονικοὶ ἢ ἐπιληπτικοὶ P. σπασμὸς ὀπισθοτονικὸς ἢ ἐπιληπτικὸς B. [15]ἐκ P. [16]προςγίνειν Codd. Scripsi προςγίνεται. Lob. [17]Ita Cod. Act. 3. sine nomine Dioclis. ex Sched. [18]Διοκλὴς B.

ὀσφύι πρῶτον, εἶτα τῆς ἀποτέξεως· πρὸς δὲ τὸ διαφθεῖραι [1]ἀλυπότερον διατίθενται, [2]αἷς ὑγιαῖνον τὸ σῶμα φυσικῶς καὶ ἡ κοιλία εὔλυτος, καὶ οἱ κατὰ τὴν ὑστέραν τόποι [3]δίαιμοι ἤγουν κάθυγροι, καὶ τὸ πολλάκις τετοκέναι ἀλύπως μεγάλα βρέφη, καὶ αἱ προβεβηκυῖαι ταῖς ἡλικίαις, καὶ αἱ ὀλίγαιμοι καὶ οὐ πιμελώδεις.

## κα΄. Τίνα κυούσης τῆς γυναικὸς ἐντὸς τῆς μήτρας φύονται.

Ἐν δὲ τῷ καιρῷ τῆς συλλήψεως γεννᾶται ἐν [4]αὐτῇ τὸ [5]χορίον, τὸ ἔξωθεν περιέχον ὅλον τὸ ἔμβρυον, καὶ μετ' αὐτὸ [6]ἕτεροι δύο ὑμένος, ὅ τε [7]ἀλλαντοειδὴς καλούμενος, [8]διπλοῦς ἐπικείμενος τοῖς μέρεσι τοῦ ἐμβρύου, καὶ μετ' αὐτὸν ὁ [9]ἀμνειὸς προσαγορευόμενος, λεπτὸς πάντοθεν περιβεβλημένος τῷ [10]ἐμβρύῳ. Ἡ δὲ γένεσις τοῦ [11]χορίου [12]γίνεται τὸν τρόπον τοῦτον.

## κβ΄. Γένεσις [13]χορίου, ὀμφαλοῦ καὶ κοτυληδόνων.

Καθάπερ ἐπὶ τῶν ᾠῶν μετὰ τὸ [14]κέλυφος ἔνδοθεν [15]ὑμῖν ὑπέρκειται [16]τῷ ὀστράκῳ τῇ διαφύσει τοῦ περικειμένου, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν κυοφορουσῶν ἐκ τοῦ σπέρματος [17]ὑμῖν γινόμενος ἔνδοθεν ὑπέρκειται τὴν ὑστέραν [18]συναφὴς αὐτῷ καὶ [19]ἀστόμωτος ὑπάρχων; προσπεφυκὼς δὲ ἔνδοθεν τῷ πυθμένι τῆς

---

[1] ἀλυπώτερον B. [2] αἷς addidi. Lob. In sqq. κοιλυτος pro κοιλία εὔλυτος B. [3] διαύμοι B. δίευμοι P. [4] αὐτῷ B. [5] χωρίον Codd. Scripsi χορίον. Lob. [6] ἕτεροι δύο ὑμένος P. ἕτερον δυουμένος B. Fort. ἕτεροι δύο ὑμένες. Lob. [7] Legebatur ἀλαντοειδής. Lob. [8] διπλοὺς Codd. [9] μνειὸς B. [10] ἐμβρίῳ B. [11] χωρίου Codd. χορίου. Lob. [12] om. B. [13] χωρίου Codd. [14] κέλιφος B. [15] ἡμῖν B. ὁ μὴν ex Sched. Fort. ὑμήν. Lob. [16] τῇ Codd. [17] ὑμῖν Codd. Fort., ut supra, ὑμήν. Lob. [18] συναφεὶς B. [19] ἀστόματος B.

μήτρας καὶ συγκεκριμένος ἐκ νεύρων καὶ φλεβῶν, ἀρτηριῶν τε καὶ σαρκὸς τύπος τις, πορφυροῦς κατὰ χρόαν, τῷ σχήματι [1]ἐμφερὴς [2]κιβωρίου φύλλῳ, παχὺς μὲν καθ' ὃ προςπέφυκε τῷ πυθμένι τῆς μήτρας, ὑμενώδης δὲ [3]καὶ τὰ ἄλλα καὶ λεπτὸς, δι' ἣν αἰτίαν μικρὸν ὕστερον ἐροῦμεν. Οὗτος δὲ κέκληται [4]χορίον καὶ ἀγγεῖον [5]καὶ δεύτερον καὶ ὕστερον καὶ πρόῤῥηγμα. [6]Χορίον μὲν ἀπὸ τοῦ κεχωρηκέναι τὸ ἔμβρυον καὶ [7]τὸ σὺν αὐτῷ· καθὼς δὲ ἄλλοι λέγουσιν, ἀπὸ τοῦ ἐκ πολλῶν [8]συνεστάναι, καθάπερ ὁ χορός· [9]ἀγγεῖον δὲ διὰ τὸ [10]ἐμπεριστέγειν τὸ [11]ἔμβρυον [12]ἀγγείῳ παραπλησίως· δεύτερον δὲ καὶ ὕστερον, ὅτι μετὰ τὴν τοῦ [13]ἐμβρύου κομιδὴν ἐπακολουθεῖ· [14]πρόῤῥηγμα δὲ διὰ τὸ προῤῥήγνυσθαι καὶ τὸ περιεχόμενον ὑγρὸν ἀποκρίνειν εἰς ἁπαλωτέραν [15]κατὰ τοῦ γαστρὸς ἀπότεξιν. Ἀπὸ μέντοι τῶν σαρκωδεστέρων καὶ τῶν κατὰ πυθμένα μερῶν ἄνωθεν ἀπομηκύνεταί τι σῶμα λεπτὸν, ἐμφύεται δὲ κατὰ τὸ μέσον τὸ τῶν ἐμβρύων ἐπιγάστριον, ἔνθα τόπος ὀμφαλοῦ· καὶ αὐτὸ δὲ τὸ ἔμβρυον ἐμφυόμενον, ὡς σῶμα καλοῦμεν ὀμφαλὸν. Συγκέκριται δὲ τὸν ἀριθμὸν [16]ἀγγείων δύο φλεβωδῶν καὶ δύο ἀρτηριῶν, δι' ὧν εἰς θρέψιν ὕλη αἱματικὴ καὶ πνευματικὴ παρακομίζεται τοῖς ἐμβρύοις. [17]Ἐμφύεσθαι δὲ ταῦτα Ἐμπεδοκλῆς μὲν εἰς τὸ ἧπαρ οἴεται, Φαῖδρος δὲ εἰς τὴν καρδίαν· οἱ δὲ πολλοὶ τὰς φλέβας μὲν εἰς τὸ ἧπαρ ὁρῶνται, τὰς ἀρτηρίας δὲ εἰς καρδίαν· Ἡρόφιλος δὲ τὰς φλέβας μὲν εἰς τὴν κοίλην [18]φλέβα, ἀρτηρίας δὲ εἰς τὴν τραχεῖαν ἀρτηρίαν, τὴν

---

[1] ξυμφερὴς B. [2] κιβωρίου Codd. Fort. κιχωρίου. Lob. φύλλων B. [3] κατὰ ex Sched. [4] χωρεῖον P. χωρίον B. [5] καὶ om. B. [6] χωρίον B. χορεῖον P. [7] τὸ om. B. [8] συνεστάναι pro simplici ἑστάναι, quod est Codd. Lob. χῶρος B. χώρος P. Dedi χορός. Lob. [9] ἀγκεῖον B. [10] ἐμπεριστέγει B. [11] ἔμβριον Codd. [12] ἀγγείων Codd. Sine dubio ἀγγείῳ. Lob. [13] ἐμβρίου B. [14] πρόρηγμα et προρήγνυσθαι Codd. [15] τοῦ κατὰ γαστρὸς Codd. [16] ἀγγείω P. [17] ἐμφύεται B. [18] Legebatur φλέβαν. Lob.

παρατείνουσαν τοῖς σπονδύλοις· πρὸ δὲ τῆς εἰς αὐτὴν ἐμφύσεως παρὰ τὴν κύστιν αὐτὰς πλαγιοφορεῖσθαι παρ' ἑκατέρας πλευράς· Εὔδημος δὲ ἁπλῶς κατὰ τὸν ἐμβρύου φησὶν ὀμφαλὸν [1]συνάγεσθαι τὰ ἀγγεῖα, κἀντεῦθεν διαλύεσθαι πρὸς τὰ [2]καινὰ κέρατα κάτω τοῦ διαφράγματος. Τὸ δὲ πέμπτον ἀγγεῖον, ὅπερ ἀρτηρίαν οὕτως ὀνομάζομεν, πρὸ ἁπάντων μὲν οὕτως ἀρχὸς καλεῖται, ὃς τῷ πυθμένι τῆς κύστεως [3]ἐμπεφυκέναι λέγεται, καὶ διὰ τοῦτο τὸ οὖρον τοῦ [4]ἐμβρύου τὴν παρακομιδὴν λαμβάνει εἰς τὸ [5]χορίον· εἰ δὲ διὰ τῆς [6]οὐρήθρας ἀπουρήσει, μετὰ τὴν ἀπότεξιν γίνεται. Διὰ τοῦτο μέντοι καὶ λεπτότερος [7]ὁ ὑμὴν ἐκ τῶν κάτωθεν μερῶν ἐστιν· διὸ καὶ δριμύτητι τοῦ [8]περισσώματος καὶ τῷ πλήθει καὶ τῇ δριμύτητι τοῦ [9]ἐμβρύου γίνεσθαι, καὶ λεπτὸν [10]ποιεῖσθαι. [11]Χρησιμεύει μέντοι τὸ περίσσωμα τοῦτο καὶ εἰς τὸ [12]προανακουφίζειν τὸ ἔμβρυον, καὶ εἰς τὸ κατὰ τὰς ἀποτέξεις, ῥηγνυμένου τοῦ [13]χορίου, [14]προεκχεῖσθαι καὶ τὰ μέρη προδιαβρέχειν εἰς ὄλισθον. Καὶ ταῦτα μὲν περὶ τοῦ [15]χορίου καὶ τοῦ ὀμφαλοῦ. Διαφωνία δὲ γεγένηται περὶ τοῦ ἑτέρου χιτῶνος. Οἱ πολλοὶ μὲν γάρ φασι καὶ αὐτῷ τῷ [16]ἐμβρύῳ προστυγχάνειν ἕτερον χιτῶνα, καλούμενον ἀμνειὸν, [17]ὃς ἐπὶ μὲν τῶν ἀλόγων ζώων διὰ στερεότητα μὴ [18]λεπτυνόμενος ἐσθητός ἐστιν, ἐπὶ δὲ [19]τῶν ἀνθρώ-

---

[1]συνάγεται B. [2]καινὰ Codd. κοινὰ ex Sched. [3]ἐμπέφυκε λέγεσθαι B. ἐμπέφυκεν λέγεται P. Certe scrib. ἐμπεφυκέναι λέγεται. Lob. [4]ἐμβρίου Codd. [5]χωρεῖον B. χωρίον P. Dedi χορίον, ut antea. Lob. [6]οὐρίθρας B. [7]ὁ om. B. ὑμῖν B. P. Posui ὑμήν. Lob. [8]περισώματος B. περὶ σώματος P. Sine dubio περισσώματος. Lob. [9]ἐμβρίου Codd. [10]ποιῆσαι B. ποιῆσθαι P. Scripsi ποιεῖσθαι. Lob. [11]χρήσιμα εἰ B. [12]ἀνακουφίζειν B. [13]χωρείου P. χωρίου B. [14]Haec verba inde a προεκχεῖσθαι usque ad χορείου in B. desunt. [15]χορείου P. [16]ἐμβρίῳ B. [17]ὡς B. [18]λεπτυνόμενοι ἐσθῆτος B. λεπτυνόμενος ἐσθῆτος P. [19]τὸν ἄνθρωπον B.

πων λεπτυνόμενος ὑπὸ τῆς τῶν παρακεχυμένων [1] ὑγρῶν δριμύτητος· οὐχ εὑρίσκεται [2] καθ' ὅλον τὸ σῶμα, μόνον δὲ κατὰ [3] τὰς εὐρυχωρίας οἷον ῥινῶν, στόματος, δακτυλίου γέγονεν. Οἱ [4] δὲ αὐτὸν λέγουσιν ὑπὸ τῆς φύσεως ἀναγκαίως εἰς τὸ μὴ διαφθείρεσθαι τὸ ἔμβρυον, τὸ [5] περικεχυμένον τοῦ περισσώματος ὑγρὸν ἕλκον, δριμὺ καὶ φθαρτικὸν ὑπάρχον. Ἔνιοι δὲ τὸν ὑμένα τοῦτον μὴ εἶναί φασιν· οὔτε γὰρ εὑρίσκεται κατὰ τὰς ἀποτέξεις, μήτε [6] τοῦτον εὔχρηστον· τὸ δὲ ὑγρὸν οὐκ ἔνι τοιοῦτον. Εἰ δὲ καὶ τοιοῦτον ἦν, εὐεπίγνωστον ἐγένετο τῇ [7] φυσικῇ συνηθείᾳ καὶ ἄλλως, μηδὲ δύνασθαι διὰ τοῦ στόματος ἕλκεσθαι τοῦτο, [8] τὸ τὴν ἀναπνοὴν γίνεσθαι διὰ τοῦ ὀμφαλοῦ· [9] πρὸς δὲ τὸ εἶκον ἡ ἐπίκρισις γίνεται· μηδὲν [10] οὖν εἴκοντος ἐν τοῖς ἐμβρύοις, οὐκ ἂν ἡ παρείσοδος γένοιτο τοῖς ὑγροῖς. [11] Εἰ δὲ καὶ φυσικῆς ἐδεῖτο σκέπης, αὔταρκες ἦν μόνας τὰς εὐρυχωρίας ὑμένι διαπεφράχθαι καὶ μὴ ὅλῳ τῷ σώματι [12] κιθῶνα περίκεισθαι, καίτοι συμπεπτωκέναι καὶ τὸ στόμα τοῦ ἐμβρύου καὶ ὁ δάκτυλος, μὴ σωζομένης τῆς εὐρυχωρίας, κωλύεται τὸ βιαζόμενον εἰσρεῖν· τὸ δὲ ὅλον οὐκ ἐν τῇ εὐρυχωρίᾳ τοῦ [13] χορίου τὸ ὑγρόν ἐστιν, ἐν ᾧ καὶ τὸ ἔμβρυον, ἀλλ' ἐν τῷ πάχει τοῦ χορίου, ποιεῖ δὲ [14] τόπον ἑαυτῷ καθ' ὑποφορὰν, [15] ὥστε διπλοῦν [16] γίνεσθαι τὸ χορίον, ἐνιάκις δὲ καὶ τριπλοῦν, δι' ἣν αἰτίαν καὶ ὑπεζωκότος πολλάκις ῥαγέντων καὶ συμμέτρων ὑγρῶν ἀποκριθέντων τῷ [17] δακτύλῳ τῆς μαίας συνεχὴς ὑμὴν ἀκμὴν ὑποπίπτει. Διαιρεθέντος δὲ τούτου πολλῶν ὑγρῶν ἀποκριθέντων, ἀκολουθεῖ καὶ τὸ

[1] ὑγρειῶν B. [2] καθόλου B. κάθολον P. Dedi καθ' ὅλον. Lob. [3] τὰς om. B. [4] δύο αὐτοὶ B. [5] περικυχέμον B. [6] τόπον χρηστὸν B. [7] om. P. [8] τῷ P. [9] πρός τε P. [10] γὰρ B. In sqq. πρόσοδος B. [11] εἰ δὲ posui pro εἶτα Codd. Lob. [12] κιθῶνα pro κίθωνα Codd. Lob. [13] χωρίου Codd. [14] τύπον B. [15] ὥστε pro ὡς δὲ, ut Codd. Lob. [16] ἠνέσθαι B. χωρίον, ut solent Codd. [17] δακτυλίῳ legebatur. ὑμῖν Codd. Scripsi ὑμὴν. Lob.

ἔμβρυον, ὅπερ οἱ πολλοὶ διακρούεσθαι πειρώμενοί φασι κατ' ἐπισύστασιν ὑδατίδων [1]τὰ προεπιφαινόμενα τῶν ὑγρῶν προαποκρίνεσθαι· ῥηγνυμένων μὲν τῶν ὑδατίδων, μένοντος δὲ τοῦ [2]χορίου συνεχοῦς, οἷς καὶ ἡμεῖς [3]συναινοῦμεν ἐπὶ πολὺ, πρότερον τὰ φαινόμενα τῇ συστάσει τοῦ [4]ἀμνειοῦ ὑμένος μεμαρτύρηκεν.

## κγ'. Περὶ κοτυληδόνων.

Τὰ στόματα τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν τῶν εἰς τὰ ἐντὸς τῆς μήτρας [5]ποικίλως διασχιζομένων κατὰ τὸ πέρας [6]ἑαυτῶν ἕκαστον, κονδυλώδη ἐξοχὴν ἔχει, [7]ἐοικυῖαν ταῖς ἐν τῇ ἕδρᾳ γινομέναις αἱμοῤῥοΐσιν. Ταύτας τὰς κονδυλώδεις ἐξοχὰς [8]κοτυληδόνας καλοῦσι· μικρότεραι δέ εἰσιν αὗται ἐπὶ γυναικῶν, τῶν εὑρισκομένων ἐπί τε αἰγῶν καὶ βοῶν καὶ ἐλάφων καὶ τῶν παραπλησίων ζώων. Σώματα δέ ἐστι ταῦτα τὰ ἐπὶ τῶν ἀλόγων ζώων [9]φαινόμενα, πλαδαρὰ, ὑπόμυξα, τῷ σχήματι ἐοικότα τῷ φύλλῳ τῆς [10]κοτυληδόνος πόας, ὑπόκοιλα δέ. Ταῦτα οὖν τὰ στόματα τῶν εἰς τὴν ἐντὸς εὐρυχωρίαν τῆς μήτρας διασπειρομένων ἀγγείων [11]ἀνέωκται, ὁπόταν ἡ γυνὴ συλλήψεσθαι μέλλῃ· ἔστι δὲ οὗτος [12]ὁ τῆς συλλήψεως χρόνος ἢ ἀρχομένων τῶν καταμηνίων ἢ παυομένων. Ἀνεστόμωται μὲν γὰρ καὶ [13]ἐν τῷ ἄλλῳ παντὶ χρόνῳ τῆς καθάρσεως τὰ ἀγγεῖα ταῦτα· ἀλλ' οὐκ ἂν [14]συλλάβοι πρὸς ἑαυτὴν ἡ γυνὴ τηνικαῦτα· οὐ γὰρ [15]δυνατὸν μένειν τὸ τοῦ ἀνδρὸς σπέρμα ἐν τῇ μήτρᾳ, τούτῳ τῷ καιρῷ ἐκβλυζόμενον τῷ πλήθει τοῦ ἐπιῤῥέοντος αἵματος. Ἀρχο-

[1]τὸ P. [2]χορείου P. χωρίου B. [3]συνενοῦμεν Codd. Sine dubio συναινοῦμεν. Lob. [4]ἀμνείου B. [5]ποικίλου B. [6]ἑαστῶν B. [7]ἐοικυῖα Codd. Debet esse ἐοικυῖαν. Lob. [8]κοτηλυδόνας B. [9]ἀμινόμενα B. ὑπόμυξα] ὑπόξυμα B. [10]κοτηλυδ. Codd. κοτυληδ. Lob. [11]ἠνέωκται B. [12]ὁ om. B. [13]ἐν om. B. [14]συλλάβῃ Codd. Dedi συλλάβοι. Lob. [15]ἀδύνατον B.

μένων δὲ τῶν καταμηνίων καὶ μάλιστα παυομένων, ἀνεστόμωται μὲν τὰ ἀγγεῖα, τὸ δὲ καταμήνιον αἷμα οὐ πολὺ οὔτε ἀθρόον ἐκχεῖται, ἀλλ' ὀλίγον τε καὶ κατὰ βραχὺ, ὥστε προςφύεται μὲν διὰ τὴν τραχύτητα τῇ μήτρᾳ τὸ σπέρμα, αὐτάρκη δὲ ἔχει τροφὴν, τὴν ὀλιγότητα τοῦ φερομένου αἵματος. Πρὸ δὲ τοῦ καιροῦ τῶν καταμηνίων οὐκ ἂν συλλάβοι ἡ γυνὴ, ὅτι καὶ τοῦ τρέφοντος ἐστέρηται τὸ σπέρμα, καὶ ποῦ προςφύεσθαι οὐκ ἔχει· [1]λεία γὰρ ἡ μήτρα τηνικαῦτά ἐστιν ἐπιμεμυκότων τῶν ἀγγείων, ὥστε διὰ τοῦτο [2]ἀποῤῥέειν τὸ σπέρμα ὥςπερ τὰ [3]χριστὰ ἀπὸ τῶν λειοτέρων [4]τοίχων· καὶ γὰρ [5]καὶ τοὺς τοίχους οἱ ἐπιχρίειν βουλόμενοι τραχύνουσι πρότερον, καὶ οὕτω κατέχεται τὰ [6]χριόμενα. Καταβληθὲν μὲν οὖν τὸ τοῦ ἀνδρὸς σπέρμα καὶ κατασχεθὲν ἐν τῇ μήτρᾳ, προςφύεται ταῖς [7]κοτυληδόσιν, εἴτε κατὰ τὸν δεξιὸν αὐτῆς κόλπον, εἴτε κατὰ τὸν εὐώνυμον· συνάγει δὲ [8]ἑαυτὴν ἡ μήτρα καὶ [9]περιπτύσσεται τὸ σπέρμα πανταχόθεν. Ἀρχὴ τοίνυν τῆς τοῦ [10]χορίου γενέσεως ταῦτα τὰ πέρατα γίνεται τῶν εἰς αὐτὴν διασπειρομένων ἀγγείων· ἐξ ἑκάστου γὰρ [11]ὠμίου οἷον ἀγγεῖον ἐκφύεται, ἀρτηρία μὲν ἐπὶ τῷ τῆς ἀρτηρίας στόματι, φλὲψ δὲ ἐπὶ τῷ τῆς φλεβός. Συνδεῖ δὲ ταῦτα τὰ ἀγγεῖα πρὸς ἄλληλα [12]ὑμὴν λεπτὸς μὲν ἰσχυρὸς δὲ περιφυόμενος ἔξωθεν ἅπασι· καὶ [13]οὕτω συνίστησι τὸ [14]χορίον, συνερχόμενα δὲ πάλιν ἀλλήλοις τὰ ἐν τῷ χορίῳ διεσπαρμένα ἀγγεῖα, ἀποτελεῖ δύο φλέβας καὶ δύο ἀρτηρίας. Αὗται δὲ ἐμφύονται κατὰ τὸ

---

[1] λίαν B. [2] ἀπορέσιν B. [3] χρηστὰ Codd. Sine dubio χριστά. Lob. [4] τοιχῶν B. [5] καὶ om. B. [6] χρημένα P. χρυομένα B. Scripsi χριόμενα. Lob. [7] κοτηλυδόσιν B. [8] αὐτὴν B. [9] περιπτύνεται P. B. Substitui περιπτύσσεται. Lob. [10] χωρίου B. P. [11] ὠμίου Codd. Fort. στομίου. Lob. [12] ὑμῶν Codd. praebere solent. Lob. [13] οὗτος P. [14] χωρεῖον, sicuti χωρείῳ in sqq., Codd.

μέσον τοῦ ἐμβρύου, περιλαμβάνουσαι πάντοθεν τὴν ἔκφυσιν τὴν ἐκ τοῦ ἐμβρύου ἐπὶ τὸν [1]ἀλλαντοειδῆ ὑμένα φερομένην, δι' ἧς ἐκκρίνεται τὸ οὖρον τοῦ ἐμβρύου, καὶ ἀθροίζεται ἐν τῷ ὑμένι, ὥςτε τὸ συγκείμενον ἐκ τῶν πέντε τούτων γίνεσθαι τὸν καλούμενον ὀμφαλόν. Μετὰ δὲ ταῦτα αἱ μὲν δύο φλέβες ἑνωθεῖσαι μίαν ποιοῦσι, καὶ αὐτὴ φερομένη διὰ τοῦ ὀμφαλοῦ [2]φύεται τοῖς [3]σιμοῖς τοῦ ἥπατος τοῦ [4]ἐμβρύου τῇ κοίλῃ λεγομένῃ φλεβὶ, καὶ διὰ ταύτης ἐκ τῆς μήτρας τὸ αἷμα εἰς τροφὴν τοῦ ἐμβρύου χορηγεῖται· δεχόμενον γὰρ τὸ τοῦ ἐμβρύου [5]ἢ παρὰ τὸ φερόμενον αἷμα, ἀναδίδωσιν εἰς ὅλον αὐτοῦ τὸ σῶμα. Αἱ δὲ προειρημέναι δύο ἀρτηρίαι αἱ κατὰ τὸν ὀμφαλὸν μίαν πάλιν καὶ αὗται ἀποτελοῦσιν ἀρτηρίαν, καὶ αὕτη φερομένη διὰ τῶν πλαγίων μερῶν τῆς κύστεως τοῦ ἐμβρύου ἐμφύεται τῇ μεγάλῃ [6]ἀρτηρίῃ τῇ κειμένῃ κατὰ τὴν ἀρχὴν αὐτοῦ, καὶ διὰ ταύτης τὸ ζωτικὸν πνεῦμα ἐκ τῶν ἐν τῇ μήτρᾳ [7]ἀρτηριῶν εἰς τὸ [8]ἔμβρυον μεταδίδοται. Κατὰ δὲ τὸν καιρὸν τῆς ἀποτέξεως, ὅταν τελειωθῇ τὸ ἔμβρυον καὶ μέγα γενόμενον, [9]περιτείνει πανταχόσε τὴν μήτραν, δηλονότι καὶ τὸ [10]χορίον τηνικαῦτα στενούμενον, ἀλλὰ μηδὲ [11]τῇ ἐκ τῆς μήτρας [12]αὐτῷ χορηγουμένῃ τροφῇ ἀρκούμενον τὸ ἔμβρυον σκιρτᾷ καὶ ἀποῤῥήγνυσι τοὺς περικειμένους ὑμένας, καὶ οὕτως ἀῤῥήτῳ λόγῳ ἀνοίγουσα ἑαυτῆς τὸ στόμιον ἡ μήτρα ἐκκρίνει τὸ [13]ἔμβρυον. Ταῦτα μὲν οὖν καθόσον [14]οἷόντε διαβραχέων σαφηνίσαι βουλομένοις εἰρήκαμεν· εἰ δέ τις βούλεται απαντα τὰ προει-

[1] ἀταλαντοειδῆ B. ἀλαντοειδῆ P. Scripsi ἀλλαντοειδῆ. Lob. [2] Scrib., ut infra, ἐμφύεται. Lob. [3] σεισμοῖς B. [4] ἐμβρίου Codd. ut etiam quater in sqq. [5] ἢ παρὰ] Fort. ἧπαρ. Lob. [6] pro ἀρτηρίῃ leg. ἀρτηρίᾳ. Lob. [7] ἀρτηρίων legebatur. Lob. [8] ἔμβριον B. et paullo post etiam P. [9] ἀποτείνει B. [10] χωρεῖον Codd. [11] τὸ Codd. mutavi in τῇ. Lob. [12] pro αὐτῶν, quod legebatur, dedi αὐτῷ. Lob. [13] ἔμβριον B. [14] οἷοντε Codd.

ρημένα ἀκριβέστατα θεάσασθαι, ἀνατεμνέτω αἶγα ἐγκύμονα μάλιστα ἢ βοῦν ἢ ἔλαφον ἢ δορκάδα, διαλύων πρότερον τὰ τῆς ἥβης ὀστᾶ, ἔπειτα ἀνασχίζων εὐφυῶς τὸ [1]δέρμα· φανεῖται γάρ σοι ταῦτα [2]ποιήσαντι σαφῶς ἡ πρὸς τὰ παρακείμενα μόρια τῆς μήτρας κοινωνία.

## κδ΄. Πρὸς τὰ γινόμενα ταῖς κυούσαις περὶ τοὺς πόδας οἰδήματα.

Πρὸς δὲ τὰ γινόμενα ταῖς κυούσαις περὶ τοὺς πόδας οἰδήματα ὄξει καὶ ῥοδίνῳ ἀνάτριβε, ἐνίοτε δὲ καὶ ἁλῶν, δι' ὧν συμπλέκονται νίτρον τε καὶ κιμωλία γῆ ἐπιχριομένη· ἀγαθὸν δὲ καὶ [3]τὸ ἐντὸς τῶν νίτρων ἀφέψημα καταντλούμενον.

## κε΄. Ὅπως δεῖ συνεργεῖν τῇ ἀποβολῇ τοῦ φθειρομένου [4]ἐμβρύου.

Δεῖ δὲ μετὰ τὸ ἀπολυθῆναι τὸ ἔμβρυον, εἰ ἐπέχοιτο ἐν τῷ τραχήλῳ τῆς ὑστέρας, [5]ἐγχυματίζειν κυπρίνῳ [6]συντετηκυῖαν [7]ἔχοντι τερεβινθίνην καὶ ὅλον τὸ σῶμα, μάλιστα δὲ τὰ [8]περὶ τὴν ὑστέραν, θερμαίνειν, καὶ μετὰ τὴν ἔκκρισιν [9]αὐτοῦ τοῖς [10]διὰ κυπρίνου ἐλαίου ἐγχυματισμοῖς χρῆσθαι· εἰ δὲ μὴ [11]ὑπακούοι, ἐγκαθίζειν εἰς [12]ἀφέψημα [13]ἀρωμάτων καὶ πταρμοὺς κινεῖν καὶ ὑποθυμιᾶν [14]ῥητίνην ξηράν, ἄσφαλτον, πρόπολιν, χαλβάνην, καρκίνους ποταμίους ξηρούς. Ταῦτα δὲ καὶ τοιαῦτα ποιητέον, εἰ μὴ φλεγμονὴ ἐπιγένοιτο· φλεγμονῆς γὰρ παρούσης, τοῖς χαλᾶν καὶ παρηγορεῖν δυναμένοις ἐγκα-

---

[1] θέρμα B. [2] ποιήσαντα Codd. ποιήσαντι ex Sched. [3] τοῦ Codd. Scripsi τὸ. Lob. [4] ἐμβρίου B. Mox deinde ἔμβριον Codd. [5] ἐγχιματίζειν B. [6] συντετοκυῖαν Codd. συντετηκυῖαν dedi. Lob. [7] ἔχοντα Codd. ἔχοντι ex Sched. [8] παρὰ B. [9] αὐτῆς Codd. Sine dub. αὐτοῦ. Lob. [10] διακυπρίνου Codd. [11] ὑπακούει P. [12] ἐφέψημα B. [13] ἀῤῥωστημάτων B. [14] ῥητήνην B.

θίσμασιν ἀρκεῖσθαι· εἰ δὲ διὰ τὴν [1]μύσιν τῆς ὑστέρας χωρὶς φλεγμονῆς ἐγκατέχεται τὸ ἔμβρυον, καὶ τοῖς [2]ἐσκελετευμένοις σπόγγοις ἢ παπύροις χρῆσθαι, καὶ πρῶτον μὲν [3]ἰσχνοτέροις ἐντιθέναι, ὕστερον δὲ [4]ἁδροτέροις [5]κεχρισμένων τῶν ἄκρων ὀποπάνακι ἢ τῇ ῥίζῃ αὐτοῦ μετὰ μέλιτος ἢ τερεβινθίνῃ μετὰ μέλιτος. Ἐκκριθέντος δὲ τοῦ [6]ἐμβρύου, εἰ μὴ [7]ἀπολελυμένον εἴη τὸ [8]χορίον, οὐ χρὴ βίᾳ ἀποσπᾷν, οὐδὲ μὴν ἀποκόπτειν τὸν ὀμφαλὸν, καὶ καταλιπεῖν τὸ χορίον· πνιγμοὶ γὰρ καὶ ἔσχατοι κίνδυνοι ἐπακολουθοῦσι τούτου γινομένου. Ἀλλ' εἰ χρονίζει, ἀποκόψαντα δεῖ τὸν ὀμφαλὸν [9]περὶ δεσμὸν αὐτὸν τῷ μηρῷ τῆς γυναικὸς, καὶ πάντα ποιεῖν πρὸς [10]τὴν ἔκπτωσιν τοῦ [11]χορίου, καθὼς ἐν τῷ [12]ἐμβρυοτομίας τόπῳ δηλωθήσεται.

## κϛ'. Περὶ τῶν δίμηνα καὶ τρίμηνα [13]φθειρόντων.

Ἱπποκράτης φησὶν, ὁκόσαι μετρίως [14]ἔχουσι τὸ σῶμα ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα [15]ἄτερ φανερῆς προφάσεως, ταύτῃσιν αἱ [16]κοτυληδόνες μύξης εἰσὶ μεσταὶ, καὶ οὐ δύνανται κρατεῖν τὸ [17]ἔμβρυον, [18]ἀλλὰ ἀποῤῥήγνυται. Θεραπεύειν οὖν χρὴ ταύτας, πᾶν [19]μὲν τὸ σῶμα [20]καθαίροντα τοῖς φλεγμαγωγοῖς φαρμάκοις· ὁ γὰρ πρὶν κενῶσαι τὸ πᾶν σῶμα καὶ [22]κωλῦσαι τὸ ἐπιῤῥέον

[1]μῦσιν B. [2]ἐσκελετευμένου B. [3]ἰσχνοτέροις Codd. Leg. ἰσχνοτέρους. Lob. [4]ὑδροτέροις B. [5]κεχρησμένων B. [6]ἐμβρίου B. [7]ἀπολυμένον B. [8]χωρεῖον, ut statim in sqq., Codd. [9]περὶ δεσμὸν Codd. Fort. περιδεσμεῖν. Lob. [10]τὴν om. B. [11]χωρείου B. [12]ἐμβριοτομίας B. [13]Scrib. φθειρουσῶν. Lob. [14]Scrib. ἔχουσαι. Lob. [15]ἄτε περὶ φανερῆς προτάσεως B. [16]Legebatur κοτηλυδόνες. μύξεις] Codd. μύξης ex Sched. [17]ἔμβριον, ut saepe Codd. [18]ἀλλὰ om. B. [19]γὰρ B. [20]pro καθαίροντες, quod Codd. praebent, καθαίροντα dedi. Lob. [21]κολῦσαι B.

ὑγρὸν [1]ἐπιχειρῶν δὲ εὐθὺς ἐξαρχῆς ἐν τῷ [2]τόπῳ κενῶσαι, [3]ὅμοιός ἐστι τῷ ὕδωρ ἀπὸ φρέατος ἀντλοῦντι, ἀέναον ἔχοντος τοῦ χορηγουμένου τὴν ἀνάβλυσιν· μετὰ δὲ τὴν τοῦ παντὸς σώματος κένωσιν τὴν ὑστέραν χρὴ κενοῦν τοῖς φλεγμαγωγοῖς ὁμοίως πεσσοῖς, τοῖς διὰ κολοκυνθίδος σκευαζομένοις, οἵτινες ἀναγραφήσονται πρὸς τὰς μὴ συλλαμβανούσας δι' ὑγρότητα πλείστην. Ἔστι δὲ [4]κλύσμα καθαρτικὸν ὑστέρας πρὸς [5]ἐκμοχλείαν τοῦ φλέγματος [6]τὸ τοιοῦτον· κολοκυνθίδα [7]λαβὼν εὐμεγέθη καὶ τὴν κορυφὴν τρήσας καὶ κενώσας ὅλον τὸ σπέρμα [8]καὶ βαλὼν ἐπὶ τῷ τόπῳ [9]τὴν ἐντεριώνην ἐλαίῳ ἰρίνῳ αὐτὴν [10]πλήρωσον· καὶ τῷ ἐξ αὐτῆς ἐκτμηθέντι [11]πώματι σκεπάσας ἔα ἡμέραν καὶ νύκτα, εἶτ' ἐπιθεὶς τὴν κολοκυνθίδα ἐπὶ [12]θερμοσποδίᾳ ἕψε ἐπὶ πολὺ, εἶτα [13]διαθήσας τὸ ἔλαιον διὰ ῥάκους ἐγχυμάτιζε διὰ [14]μητρεγχύτου τὴν μήτραν τῷ [15]ἐλαίῳ χλιαρῷ, μηδὲν καταλιμπάνων ἐξ αὐτοῦ. Τοῦτο πολλὰς ἀτόκους τοκάδας εἰργάσατο, ἀποξύσαν τοῦ πάθους τὸ [16]παρεμποδὼν γινόμενον τῇ κυήσει φλέγμα. Διαίταν δὲ θερμαίνουσαν καὶ ξηραίνουσαν [17]ἐγκρίνειν μετὰ γυμνασίων συμμέτρων καὶ τρίψεων· παραφυλακτέον δὲ πᾶσαν ψύξιν.

---

[1] ἐπὶ χειρῶν B. δὲ abundat. Lob. [2] ἐν τῷ τόπων Codd. Scripsi ἐν τῷ τόπῳ. Fort. ἐκ τῶν τόπων. Lob. [3] ὅμοιον B. [4] κλίσμα B. [5] A. est Codex 2193 Aetii Parisiensis isque non minoris momenti, qui inde per hoc caput adhibetur, sed de cujus quidem forma, conditione ac pretio in Dietzii MSS. nihil nobis occurrit. Lob. ἐκμοχλείαν] μοχλίαν P. μοχλιάν B. [6] τοῦ B. [7] λαβεῖν B. [8] καὶ βαλὼν] λαβὼν δὲ B. βαλὼν δὲ P. [9] τὴν ἐντεριώνην om. B. P. [10] πληρώσας B. P. [11] πώματι om. B. P. [12] θερμοσποδιὰν A. [13] διαθήσας τὸ ἔλαιον om. A. [14] μετρεγχύτου B. [15] ἐλαίῳ, χλιαρὸν B. [16] παῤ ἐμποδῶν B. παρεμποδῶν. P. A. [17] Contra A., in quo ἐγκρίνειν legitur, praebent B. et P. ἐκκρίνειν, quo sensus totius enuntiati convertatur in opposituum. Lob.

κζ'. [1]*Τίνα σημεῖα προηγεῖται τῆς μελλούσης γίνεσθαι κατὰ φύσιν ἀποτέξεως.*

*Εἰς προπαρασκευὴν τῶν εἰς τὴν ἀπότεξιν ἐπιτηδείων εὔχρηστον μαθεῖν τὰ σημεῖα τῆς μελλούσης ἀποκυήσεως. Παρέπεται δὲ ταῖς μελλούσαις ἀποτίκτειν περὶ τὸν ἕβδομον ἢ τὸν ἔνατον ἢ τὸν δέκατον μῆνα βάρος* [2]*ἤτρου καὶ ἐπιγαστρίου μετὰ πυρώσεως τοῦ γυναικείου αἰδοίου, ἄλγημα βουβώνων καὶ ὀσφύος, καὶ* [3]*δῆξις πρὸς τὸ ὑποκείμενον τῆς ὑστέρας. Ἥ τε ὑστέρα προςχωρεῖ τῷ αἰδοίῳ, ὥςτε ῥᾳδίως τὴν μαῖαν σημειουμένην ἅψασθαι αὐτῆς, καὶ διέστηκεν αὐτῆς τὸ στόμα μετὰ* [4]*εὐαφίας καὶ καθυγρασμοῦ· τὸ δὲ στόμιον αὐτῆς μετὰ* [5]*τρυφέρως* [6]*ἀναπίμπτεσθαι καὶ διεστὸς μετὰ* [7]*τοῦ ἐπινοτίζεσθαι. Πρὸς λόγον δὲ τοῦ* [8]*συνεγγισμοῦ τῆς ἀποτέξεως συμπίπτει μὲν τὰ ἰσχία καὶ τὸ ἐπιγάστριον, συνογκοῦται δὲ μετὰ βουβώνων ἐφήβαιον, καὶ συνεχὴς γίνεται πρὸς ἀπούρησιν προθυμία. Φέρεται δὲ ὑγρὸν γλίσχρον, εἶτα καὶ αἷμα ταῖς πλείσταις ῥηγνυμένων τῶν ἐν τῷ χορίῳ λεπτῶν ἀγγείων, τῷ δὲ* [9]*καθιεμένῳ δακτύλῳ εἰς τὸ γυναικεῖον αἰδοῖον περιφερὴς ὄγκος· ὑποπίπτει γὰρ παρομοίως ᾠῷ, καὶ* [10]*διαφθεγγομένην ὁ πόνος παρηκολούθησεν· διακριθήσεται δὲ τῷ μεμυκέναι τὸ στόμα τῆς ὑστέρας καὶ* [11]*ἀναξηρανθέν.*

---

[1] **Hujus Capitis titulus, qui ita, ut scripsi, constituendus videbatur, cum textu in utroque Codice manifesto intermixtus, in P. sic sese habet:** *Τίνα σημεῖα μελλούσης ἀποτέξεως· Τίνα σημεῖα προηγεῖται μελλούσης ἀποτέξεως γίνεσθαι τῆς κατὰ φύσιν.* **Sed B. inter** *γίνεσθαι* **et** *τῆς* **verba:** *εἰς προπαρασκευὴν τῶν εἰς τὴν ἀπότεξιν ἐπιτηδείων*, **ponit. Unde Dietzius concludit, esse Barberinum ex Parisiensi transscriptum. Lob.** [2] *ἴτρου* **P. B.** *ἤτρου*, **ut supra, scripsi. Lob.** [3] *ἧξις* **P.** *ἥξεις* **B. Sine dubio** *δῆξις*. **Lob.** [4] *εὐαφίως καὶ ὑγρασμοῦ* **B.** *εὐαφίας καθυγρασμοῦ* **P.** [5] *τριφέρως* **B.** *τριφερίας* **P.** [6] **Sic B.** *ἀναπέμπταισθαι* **P.** *ἀναπετάννυσθαι* **ex Sched.** [7] *τὸ* **B.** [8] *συνεγγυσμοῦ* **Codd.** [9] *καθισμένῳ* **B.** [10] *διαφθεγγομὲν* **B.** [11] *ἀναξηράνθαι* **B.**

### κη΄. Τίνα δεῖ παραινεῖν ταῖς κατὰ φύσιν τικτούσαις.

Παραινεῖν μὲν οὖν χρὴ [1]ταῖς τικτούσαις, κατέχειν μὲν [2]τὸ πνεῦμα, εἰς τοὺς κάτω δὲ τόπους τοῦτο διωθεῖν, μὴ κατὰ τὸν τράχηλον τοῦτο συνάγειν, ὡς ἔνιαι ποιοῦσι τῶν ἀπείρων· ἐκ τούτου γὰρ [3]πολλαῖς [4]βρογχοκοίλαι κατεσκευάσθησαν, ὅπερ ἐστὶν [5]ἀνεύρυσμα [6]τοπικόν· ἔστι δὲ ἀνίατος ἡ διάθεσις.

### κθ΄. Πότε δεῖ τὴν κύουσαν ἐπὶ τὸν δίφρον ἄγειν.

Εἰ γίνοιντο ὠδῖνες, οὐ δεῖ εὐθέως ἐπὶ τὸν δίφρον ἄγειν [7]τὴν κύουσαν, ἀλλὰ κατανοεῖν πρῶτον τὸ βάρος τοῦ ἐμβρύου, τίσι μέρεσιν ἐπίκειται· καὶ εἰ μὲν μετέωρον εἴη τὸ βάρος, ἀνιέναι τε καὶ κελεύειν ὑπτίαν κατακεῖσθαι διὰ τοὺς τόπους τὴν κύουσαν κεκολλημένην ἔχουσαν τοὺς μηροὺς τῷ ἐπιγαστρίῳ, αὐτὴν δὲ τὴν μαῖαν καθημένην εἰς εὐθυμίαν προτρέπεσθαι. Ἔπειτα ἀναχαλᾷν τοὺς τόπους ὑδρελαίῳ καὶ μὴ σπεύδειν ἐπὶ τὸν δίφρον ἄγειν, ἵνα μὴ ἐν τῇ [8]συνεχεῖ ἐξαναστάσει προδαπανηθῇ ἡ δύναμις τῆς κυοφορούσης. Ὅταν οὖν τὸ στόμα τῆς μήτρας διαστῇ καὶ [9]προκύψῃ τὸ λεγόμενον [10]πρόῤῥηγμα, ὅσον ὠῷ ὀρνιθείῳ ὅμοιον κατὰ μέγεθος, τότε δεῖ αὐτὰς ἐπὶ τὸν δίφρον ἄγειν καὶ παραγγέλλειν [11]διδόναι τὰς [12]ὠδῖνας· οὕτω γὰρ ἀνοχλήτως κυήσει.

### λ΄. Τίς ἐστιν ὠδίς.

Ἔνστασις πνεύματος εἰς τοὺς [13]ὑπὸ πόδας τόπους μετὰ φωνῆς.

---

[1]τῇ τικτούσῃ Codd. Dedi ταῖς τικτούσαις. Lob. [2]καὶ B. [3]πολλαὶ B. [4]Fort. βρογχοκῆλαι. Lob. [5]ἀνεύρισμα Codd. Scripsi ἀνεύρυσμα. Lob. [6]τυπικὸν B. [7]τὴν κυοῦσαν P. τὰς κυοῦσας B. [8]συνεχῇ B. [9]προκύψει Codd. mutavi in προκύψῃ. Lob. [10]πρόρηγμα P. [11]Fort. ἐπιδιδόναι. ex Sched. [12]ὠδίνας Codd. [13]ὑποπόδας B.

### λα'. Πῶς γίνονται ὠδῖνες.

Ὠθουμένου τοῦ πνεύματος καὶ ἐνισταμένου εἰς τοὺς λόγῳ [1]θεωρητοὺς πόρους τῆς μήτρας, [2]τότε συμβαίνει τὸ κατὰ τὴν ἀναπνοὴν προσιὸν, συνιστάμενον πρῶτον διὰ τὴν κατοχὴν τοῖς περὶ θώρακα τόποις [3]προωθεῖσθαι, ὡς ἔλεγον, εἰς τοὺς κατὰ μήτραν τόπους, ἔπειτα κωλύον ἐξιὸν τοῦτ' ἂν γένοιτο τὸ ἔμβρυον.

### λβ'. Πῶς δεῖ κατὰ φύσιν μαιοῦσθαι.

Περισσὸν μὲν ἡγοῦμαι τῶν κατὰ φύσιν ἐμβρύων τὰς κομιδὰς λέγειν, ἤδη γάρ τινες τῶν ἀπείρων μαιωτικῆς ταῦτα κομίζονται ὑπὸ τῆς φύσεως ἐκβαλλόμενα. Εἰ γὰρ ἐπὶ κεφαλὴν φέροιντο κατευθὺ τοῦ στόματος τῆς μήτρας, ὡς [4]ἐ.... τὰς χεῖρας πρὸς ταῖς ὑστέραις ἢ καὶ τοῖς μηροῖς ἀνατεταμένας, οὐδεμιᾶς βοηθείας δεόμενον· καὶ ἐπὶ πόδας δὲ [5]εἰ φέροιτο, τὰς χεῖρας ἔχον ἀνατεταμένας πρὸς τοῖς μηροῖς, ὁμοίως οὐ δεόμεθα ἑτέρας βοηθείας. Ἁπλῶς γὰρ ἐπισπώμεθα συνεργοῦντες τῷ φερομένῳ· ὡς γὰρ ἐλέγετο, ἡ δυστοκία [6]γίνεσθαι ἢ παρὰ τὰ ἔμβρυα ἢ παρὰ τὴν κύουσαν ἢ παρὰ τὰ ἔξωθεν, ὧν τὰς μεθόδους [7]παρεδώκαμεν.

### λγ'. Κατὰ πόσους τρόπους φερόμενα τὰ κατὰ φύσιν ἔμβρυα δυστοκεῖται.

Κατὰ τέσσαρας· ἢ γὰρ ἐπὶ κεφαλὴν τὸ [8]παράλλαγμα, ἢ ἐπὶ πόδας ὁμοίως, ἢ δεδιπλωμένα, ἢ πλάγια.

### λδ'. Κατὰ πόσους τρόπους τὰ παρὰ φύσιν φερόμενα κομιζόμεθα.

Κατὰ πολλούς· ἢ γὰρ ταῖς χερσὶ διορθούμεθα, ἢ ποιᾷ κατακλίσει, ἢ σεισμῷ τῆς κλίνης, ἢ ἀνασεισμῷ,

---

[1] θεωρητικοὺς B. [2] γὰρ add. P. [3] προωθεῖται B. [4] Lacuna verbi, quod in Cod. P. cum ἐ incipit. Conjicio ἔθος. Lob. [5] εἰςφέροιτο B. [6] Leg. γίνεται Lob. [7] Minime haec jam dixerat. Quid inde efficis? ex Sched. [8] παράγγελμα B.

ἢ ποιῷ σχήματι, ἢ παραγωγῇ τοῦ ἐμβρύου ἢ [1]ἀναπλώσει, ὡς [2]ἐφ' ἑνὸς ἑκάστου τῶν κατὰ μέρος ἐμβρύων παραστήσω.

### λέ. Κατὰ πόσους τρόπους τὰ [3]κυούμενα κομίζεται.

Κατὰ τρεῖς· ἢ γὰρ ταῖς χερσὶ [4]διορθούμεθα μόναις, ἢ τοῖς ἐμβρυούλκοις χρώμεθα, ἢ τοῖς ἐμβρυοτόμοις.

### λϛ'. Πῶς σημειούμεθα τὰς μέγα ἔμβρυον τικτούσας.

Ἐκ τοῦ καὶ πρὸ τῆς συλλήψεως [5]πολυαίμους αὐτὰς εἶναι καὶ ἐκ τοῦ τὰς λαγόνας ἔχειν εὐρυτέρας. Ὅσαις γὰρ [6]πολὺ αἷμα φέρεται, [7]ταυτὶ τὰ ἔμβρυά ἐστι τραχέα· καὶ ὅσαις [8]δὲ προϊόντος τοῦ χρόνου οὐ μόνον γαστὴρ ἐπαίρεται, ἀλλὰ καὶ ὅσαις καὶ ταύταις πλατύνεται, ταύταις τὰ ἔμβρυα μεγάλα ἐστὶ τῶν λοιπῶν.

### λζ'. Πῶς σημειούμεθα τὰς τέρατα τικτούσας.

Ἐκ τοῦ [9]κακόχρους αὐτὰς εἶναι καὶ τὴν [10]κίσσαν .... ραν, καὶ ἐκ τοῦ μηκέτι πολλὰ τὸ [11]ἔμβρυον ἔχειν, καὶ ἐκ τοῦ [12]ἀνήδονα γίνεσθαι καὶ ὡς [13]ἀν' ἐλιγμούς.

### λή. Πῶς σημειούμεθα τὰς [14]δίδυμα τικτούσας.

Ἐπειδὰν μὲν ἄῤῥεν [15]καὶ θῆλυ, σημειούμεθα ἐκ τοῦ τὸν δεξιὸν [16]μαστὸν ὑπερπεπληρῶσθαι ὅτι ἄῤῥεν, ἐκ δὲ τοῦ εὐωνύμου ὅτι θῆλυ· [17]ὑπερπεπληρωμένοι πάλιν δὲ ἑκάτεροι οἱ μαστοί.

---

[1]ἀναδιπλώσει. ὡς B. [2]ἀφ' B. [3]κυόμενα B. [4]διορθώμεθα P. [5]πολικίμους B. [6]πολύαιμα B. [7]ταῦτε P. Scrib. ταύταις. Lob. [8]δὲ om. B. [9]κακοχρόους B. [10]Lacunosum caput! κίσσαν: ῥὰν B. κίσσαν .... ραν, cum lacuna verbi, P. [11]ἔμβριον ἔχειν καὶ B. ἔμβρυον ἐ.....τρα καὶ P. Fort. ἔμβρυον ἔχειν ἐν τῇ μήτρᾳ καὶ etc. Lob. [12]Lacunam post ἀνήδονα notat P. [13]ἀνελιγμοὺς B. [14]δίδιμα B. [15]καὶ θῆλυ] καὶ .... λυτικῆς. P. [16]μασθὸν P. [17]ὑπερπεπληρωμένου P. —μένον B. Certe —μένοι. Lob.

### λθ'. Πῶς διακρίνομεν στομαχικὴν συνειληφυῖαν, πότερον κατὰ [1]τὸν κίσσης λόγον πάσχει, ἢ κατὰ [2]τὸν τοῦ προκειμένου πάθους λόγον.

Στομαχικὰ τοίνυν πάθη γίνεται περιοδικῶς, [3]διαλίμματα ἔχοντα, καί εἰσιν [4]ἐκβολῶν. Ἡ μὲν γνῶσις πρόδηλός ἐστι πρωτοπαθοῦντος τοῦ στόματος τῆς κοιλίας· [5]δυςέφικτος γὰρ ἡ ἔκλυσις. Ἀμυδρότης σφυγμῶν, [6]περιίδρωσις, ἄλγημα μεταφρένου, ταύτας συμβέβηκε στομαχικὰς εἶναι, εἰ καὶ ὑπὸ τῆς συλλήψεως οὐδὲν [7]κατὰ λόγον τῆς κίσσης διατίθενται. Αἷς γε ἐπιθυμία τινῶν, οὐκ ἄλγημα μεταφρένου καὶ ἀμυδρότης σφυγμῶν, ναυτίαι δὲ ἁπλῶς ταύταις καὶ ἡ κίσσα ἐστὶν ὀχληρὰ, οὐχ ἡ στομαχικὴ [8]διάθεσις.

### μ'. [9]Πῶς σημειούμεθα ἐφθαρμένας ἀπὸ ἐμμήνων ἢ ἀπὸ [10]ἀνδρῶν.

Ἐκ τῆς καθέσεως τοῦ δακτύλου τῆς γινομένης κατὰ περιστροφὴν ὁλοτελοῦς. Ἐὰν γὰρ μὲν ὑπὸ ἐμμήνων ἐφθαρμέναι ὦσι, τὴν τοῦ μικροῦ δακτύλου σκυταλίδα [11]παραδέχονται, ἐὰν δὲ ὦσιν ὑπέρακμοι τοῦ μεγάλου, οὐχ ὑπομένουσι δὲ τὴν περιστροφήν. Αἱ δὲ [12]ὑπὸ ἀνδρῶν ἐφθαρμέναι, ὅλον [13]δὲ τὸν δάκτυλον παραδέχονται, καὶ κατὰ περιστροφήν. [14]Αἰτία· αἱ μὲν ἀπὸ ἐμμήνων ἐφθαρμέναι [15]ξηροὺς καὶ θερμοὺς τοὺς τόπους ἔχουσιν ἄγαν· αἱ δὲ [16]ὑπὸ ἀνδρῶν ἀνίκμους μᾶλλον.

---

[1] τὸν utrumque om. B. κίσσας Codd. κίσσης dedi. Lob. [2] λόγου πάθους Codd. Scripsi πάθους λόγον. Lob. [3] διαλίματα B. διαλίμματα P. Proponam διαλείμματα. Lob. [4] ἐκβολλῶν P. [5] δυςέκφυκτος P. [6] περιΰδρωσις B. ταῦτα scribebatur. Lob. [7] καταλόγον B. [8] διάθεσις om. B. [9] Ut supra vitium divisionis. ex Sched. [10] διάθεσις add. B. [11] παρέχονται B. [12] ἀπὸ P. [13] τε ex Sched. [14] αἰτίαι μὲν, B. αἰτίααι μὲν, P. Scripsi αἰτία· αἱ μὲν etc. Lob. [15] Vitium. ex Sched. [16] ἀπὸ P.

### μά. Πῶς ἐλέγξομεν ἐπιτετηδευμένην παρθενίαν.

Εἰώθασιν ἔνιαι διαφθαρεῖσαι ὑπὸ ἀνδρῶν, εἰ [1]μέλλοιμεν αὐτὰς σημειοῦσθαι, χρῆσθαι προςκλύσμασιν [2]ἕως στίψῃ. [3]Οὕτως σίδια γὰρ καὶ [4]κηκίδας καὶ θηβαίαν ἀκακίαν καὶ [5]ὑποκυστίδα ἴσον [6]ἴσῳ λαμβάνουσαι, καὶ αἷμα ὀρνίθειον [7]συμπλέκουσαι προςκλύζονται· ἔπειτα συμβαίνει τοὺς τόπους ἐσφίχθαι ὑπὸ τῆς [8]στύψεως τοῦ προςκλύσματος. Ἔνιαι δὲ καὶ κακοτεχνέστερον [9]ὀξεῖαι μαλία λύσαι προστιθέντα [10]εὐφύσει· βραχυτάτην ὄρνιθος· οὕτω γάρ τινες εἰώθασιν ἄτρητα πάθη ἐπιτηδεύειν. Δεήσει οὖν ἐπὶ τῶν τοιούτων εἰς βαλανεῖον εἰςαγαγεῖν τὴν σημειουμένην, καὶ ἐγκαθίζειν αὐτὴν εἰς ὑδρέλαιον, ἔπειτα κελεύειν [11]ἀφελέσθαι· διὰ μὲν γὰρ τοῦ ὑδρελαίου τὰ [12]στύμματα λυθήσεται, διὰ δὲ τοῦ [13]ἅλματος τὸ ἐγκείμενον πεσεῖται. Οὕτω τε προκόψει ἡ σημείωσις ἀληθής.

### μβ΄. Ὁποῖον τόπον ἐκλεκτέον τῇ κυοφορούσῃ, καὶ τίνα δεῖ [14]ἐν ἑτοίμῳ ἔχειν.

Εἰ μὲν εἴη χειμέριον τὸ κατάστημα, ἐπὶ θερμῷ οἴκῳ καὶ σκοτεινῷ [15]κατακλίνομεν αὐτὴν, ἐὰν δὲ θερινὸν, ἐν εὐπνόῳ καὶ ἐπιτηδείῳ πρὸς τὰς ὑπηρεσίας, ὅπως ἔσται γε καλῶς ἔχειν. [16]Δεῖ ἐν ἑτοίμῳ ἀφέψημα τήλεως, [17]ᾠὰ κοχλίου, βολβοὺς, κηρωτὴν ὑγρὰν· πολλάκις γὰρ τοῦ προ-

[1] μέλλει μὲν Codd. Restitui μέλλοιμεν. Lob. [2] ἧς στίψιν superscript. in P. Fort. ἕως στύψεως. Lob. [3] οὕτω σίμα B. οὑτωσὶ μὲν ex Sched. [4] κικίδας Codd. mutavi in κηκίδας. In sqq. θηβαΐαν scribebatur. Lob. [5] Fort. ὑποκίστιδα. Lob. [6] ἰσολαμβάνουσαι B. [7] πλέκουσαι B. [8] στίψεως τοῦ προςκλύματος legebatur. Lob. [9] Locus mendosus! ὀξεῖαι μαλία P. ὀξεῖα μελία. ex Sched. [10] ἐνφύσει P. ἐμφυσᾷ ex Sched. ἄτρητα] Fort. ἀτήρητα. Lob. [11] Fort. ἀφάλλεσθαι propter sequens ἅλματος. Lob. [12] στόματα B. στύματα P. Sine dubio στύμματα. Lob. [13] αἵματος B. ὕδατος ex Sched. [14] ἐνετοίμως B. P. Videtur ἐν ἑτοίμῳ. Lob. [15] κατακλείομεν P. In sqq. ἔστι Codd. Desideratur ἔσται. Lob. [16] Interpunct om. B. P. ἐνετοίμῳ ἐφέψημα B. [17] ᾠὰ om. B. κοχλύου, ut etiam infra κοχλύων. B.

ῥήγματος ῥαγέντος ξηροὶ οἱ τόποι εὑρίσκονται, καὶ χρηστοῖς [1]γλισχράσμασι χρῆσθαι· ἤδη δὲ τὰ λευκὰ τῶν ᾠῶν μετὰ τῶν κοχλίων [2]συνλεανθέντα ἰσοδυναμοῦσι τέλει, ὄλισθον παρέχειν δυνάμενα. Καλὸν μὲν οὖν ἴσως ἑκάτερα σώζειν τῇ κυήσει· εἰ δὲ τοῦτο ἀδύνατον, φροντιστέον μᾶλλον τὴν τίκτουσαν σώζειν [3]ἤπερ τὸ κυούμενον.

### μγ΄. Τίνα δεῖ παρασκευάζειν πρὸς τὴν [4]ἀποκύησιν.

Ἐπὶ τῆς κατὰ φύσιν γενομένης ἀποκυήσεως προπαρασκευάζειν δεῖ ἔλαιον, ὕδωρ θερμὸν, θερμάσματα, σπόγγους τρυφεροὺς, ἔριον, ἐπιδέσμους, ὑποκεφάλαιον, ὀσφραντικὰ, δίφρον μαιωτικὸν ἢ [5]καθέδραν, [6]κλίνας δύο οἶκόν τε ἐπιτήδειον· ἔλαιον μὲν εἰς τοὺς ἐγχυματισμοὺς καὶ τὰς ἐπιβροχὰς, ὕδωρ δὲ θερμὸν χάριν τοῦ [7]ἀποπλυθῆναι τοὺς τόπους, θερμάσματα δὲ πρὸς τὴν παρηγορίαν τῶν ὠδίνων, σπόγγους τε πρὸς τοὺς ἀποσπογγισμοὺς, ἔρια δὲ πρὸς τὸ σκεπασθῆναι τοὺς τῆς γυναικὸς τόπους, ἐπιδέσμους δὲ πρὸς τὸ σπαργανωθῆναι τὸ ἀποτεχθὲν, ὑποκεφάλαιον [8]δὲ, ἵνα ἐπ' αὐτῷ τεθῇ τὸ ἔμβρυον ὑπὸ τὴν κύουσαν, ἕως ἂν κομισθῇ καὶ τὸ [9]χορίον, ὀσφραντικὰ δὲ, καθάπερ [10]γλίχωνα, γῆς [11]βῶλον, ἄλφιτόν τε καὶ [12]μῆλον καὶ κυδωνίαν ὁ καιρὸς ἐπιτρέπει, [13]κίτριον πέπον καὶ [14]σίκυον, [15]πᾶν τὸ ἐμφερὲς τούτοις, εἰς ἀνάκτησιν τῆς ἀποκυούσης, δίφρον δὲ μαιωτικὸν, ἵνα ἐπὶ τού-

[1]γλισχράμασι P. [2]συνλεαθέντα B. [3]ὑπὲρ P. [4]κύησιν B. [5]καθέδρα Codd. Requiritur καθέδραν. Lob. [6]κλίναι B. [7]ἀποπλιθῆναι B. [8]δὲ om. B. [9]χωρεῖον, ut fere semper, Codd. [10]Fort. γλήχωνα. Lob. [11]βοῦλον B. [12]μῆλον καὶ κυδωνίαν ὁ καιρὸς ἐπιτρέπει etc. B. μῆλον καὶ κυδωνία ἂν ὁ καιρὸς ἐπιτρέπῃ, etc. P. μῆλον καὶ κυδωνίαν, εἰ δὲ ὁ καιρὸς ἐπιτρέπῃ etc. ex Sched. Fort. μῆλον κυδώνιον, ἐὰν ὁ καιρὸς ἐπιτρέπῃ, etc. Lob. [13]κιτρίνον πέπονα B. κιτρίον πέπονα P. Leg. aut κίτριον πέπον καὶ σίκυον, aut κίτριον καὶ σίκυον πέπονα. Lob. [14]συκίον B. σικύον P. Certe σίκυον. Lob. [15]Leg. καὶ πᾶν etc. Lob.

του σχηματισθῇ ἡ τίκτουσα. Δεῖ δὲ κατὰ τὴν μεσότητα τοῦ δίφρου καὶ καθὸ μέρος ἐπικουφίζουσι, μηνοειδῶς σύμμετρον εὐρυχωρίαν ἐκκεκόφθαι [1]πρός τε μήτε μείζονος αὐτῆς ὑπαρχούσης μήτε μικροτέρας μέχρι τῶν ἰσχίων καταφέρεσθαι, μήτε τοὐναντίον στενὴν εἰς τὸ μὴ πιέζεσθαι τὸ γυναικεῖον αἰδοῖον, ὅπερ χαλεπώτερον. Τὴν γὰρ πλατυτέραν ἔκτρησιν [2]δέχεται πρὸς ἐκπληροῦν ῥάκη παραβάλλουσαν, τοῦ δὲ ὅλου δίφρου τὸ σύμπαν πλάτος ἱκανὸν ἔστω πρὸς τὸ καὶ τὰς εὐσαρκοτέρας χωρεῖν γυναῖκας, σύμμετρον δὲ καὶ τὸ ὕψος· ταῖς γὰρ μικρομεγέθεσιν ὑποπόδιον [3]ὑποτιθέμενον ἀναπληροῖ τὸ ἐλλεῖπον. Τῶν δὲ ἀπὸ τῆς ἕδρας πλευρῶν τὰ μὲν ἐκ πλαγίων [4]θλᾶ...σανίσι σκεπάσθω, τὸ δὲ ἔμπροσθεν καί τὸ ὄπισθεν ἀνεῴχθη πρὸς τὴν λεχθησομένην ἐν ταῖς μαιώσεσι χρείαν· ἐκ δὲ τῶν ἄλλων μερῶν κατὰ μὲν τὰ πλάγια μέρη δύο εἴδη τυγχάνει τῷ [5]διαπήγματι πρὸς τὸ κατὰ τὰς ἐνστάσεις ἐπ' αὐτὰς τὰς χρείας ἐντερίζειν· ἐξόπισθεν δὲ ἀνάκλιτον, ὥςτε καὶ τὴν ὀσφὺν καὶ τὰ ἰσχία τὸ ἀντιβαῖνον ταῖς ὑπαναχωρήσεσιν ἔχειν. Εἰ γὰρ καὶ γυναικὸς ἐξόπισθεν [6]ἐξώσης ἀνακλισθὲν ἐν τῷ ἀνωμάλῳ σχηματισμῷ παραποδίζουσι τὴν [7]εὐπάθειαν τοῦ ἐμβρύου φοράν. Ἔνιοι δὲ κατὰ τὰ κάτω μέρη τοῦ δίφρου ἐκθετὸν ἄξονα προςβάλλουσιν ἐξ ἑκατέρου μέρους [8]περιαγωγὰς ἔχοντα καὶ τύλον, ἵνα ἐν ταῖς ἐμβρυουλκίαις περιτιθέναι βρόχους, [9]ἢ παρὰ [10]κυκλοτεροῦς τοῖς βραχίοσιν ἢ ἄλλοις μέρεσιν τοῦ ἐμβρύου καὶ τὰ ἄκρα [11]ἀποδησαμένων πρὸς τὸν τύλον τῆς περιαγωγῆς τὴν ὁλκὴν ποιήσονται, μὴ συνιέντες τὸ

---

[1]Fort. πρὸς τὸ. Lob. [2]Fort. ἐνδέχεται. Postea εὐσαρκωτέρας legebatur. Lob. [3]ὑποτιθέμενον om. B. [4]Post θλᾶ lacunam trium literarum notat P. σκεπέσθω P. In sqq. scrib. ἀνεῴχθω. Lob. [5]διαπτήγματι B. [6]Leg. ἑστώσης ἀνακλιθὲν. Lob. [7]Ita Codd. εὐθεῖαν ex Sched. [8]περὶ ἀγωνὰς B. [9]ἤπαρ ὠὰ B. ἢ παρῴὰ sic! P. ἢ παρὰ ex Sched. [10]κυκλοτέρους B. —τερούς P. [11]ἀποδησαμένων B. ἀποδήσαν P. ἀποδήσαντες ex Sched.

κοινὸν, ὅτι τὴν ἐμβρυουλκίαν ἐπὶ [1]κατανειμένης δεῖ γίνεσθαι τῆς δυςτοκούσης. Δεῖ δὲ τοιοῦτον εἶναι δίφρον, οἷον εἰρήκαμεν, ἢ καθέδραν ἔμπροσθεν ἢ καὶ ὄπισθεν [2]ἐκτετμημένην, ἐκ [3]κοίλου δὲ γενομένης. Ἡ [4]γεγονυῖα ἔτι ἐξόπισθεν προςτίθενταί τε ὡς συνήθως τοῖς δέρμασι [5]κατεῤῥαμμένης. Κλίνας δὲ δύο, τὴν μὲν τρυφερῶς ἐστρωμένην πρὸς [6]τὴν μετὰ τὸ τεκεῖν ἀνάπαυλαν, τὴν δὲ σκληρὰν πρὸς τὴν ἐν ταῖς ἀποτέξεσι [7]κατάκλισιν, ὥςτε μὴ [8]κατατετρυμένης κλίνης [9]ἐν ὑπτίῳ τῷ σχήματι. Συνηγμένων μὲν τῶν ποδῶν, διεστώτων δὲ τῶν μηρῶν [10]προυποκειμένου δὲ τοῖς ἰσχίοις τινὸς, ὥςτε [11]κατωφερὲς γενέσθαι τὸ γυναικεῖον αἰδοῖον, τοὺς δὲ πόνους, τὸ μὲν πρῶτον τῇ [12]διὰ θερμῶν τῶν χειρῶν προςαφῇ πραΰνειν, τὸ δὲ μετὰ ταῦτα βρέχειν ῥάκη ἐλαίῳ [13]γλυκεῖ καὶ θερμῷ καὶ ἄνωθεν ἐπιῤῥίπτειν, κατ' ἐπιγαστρίου τε καὶ πτερυγωμάτων καὶ συνεχέστερον τῷ θερμῷ καταβρέχειν ἐλαίῳ, παρατιθέναι δὲ καὶ [14]κύστην ἐλαίου πεπληρωμένην θερμοῦ δεῖ, ἱσταμένου δὲ τοῦ στόματος τῆς ὑστέρας, ἢ καὶ θερμῷ ἐλαίῳ προλιπάνασα τὰς χεῖρας, τὸν τῆς εὐωνύμου χειρὸς λιχανὸν δάκτυλον [15]ἀπωνυχισμένον καθιείτω, πρᾴως τῇ προςαγωγῇ προδιαστέλλουσα τὸ στόμιον, ὥςτε τὸ πρόχειρον τοῦ [16]χορίου μέρος ἐπιπροπίπτει, τῇ δεξιᾷ δὲ χειρὶ τοὺς τόπους, [17]ἐλαιοχυτήτῳ φυλασσομένη τὸ ἐκ τῆς ἑψήσεως κεκνισμένον ἔλαιον, τοῦ [18]πρόρου

[1]Scrib. κατακειμένης. Lob. δυςτοκούσης] δυςτοκ. B. [2]ἐκτετμημένης Codd. Sine dubio ἐκτετμημένην. Lob. [3]κοιλοῦ δὲ γενομένης. Codd. Leg. κοίλου δὲ γενομένην. Lob. [4]γεγονεῖσα P. [5]κατεῤῥαγμένης B. [6]τὸ, quod inter πρὸς et τὴν in Codd. invenitur, delevi. Lob. [7]κατάκλησιν Codd. Scripsi κατάκλισιν. Lob. [8]κατατρυμένης Codd. Leg., ut dedi, vel κατατετρυχωμένης, vel κατατετριμμένης. Lob. [9]ἐνυπτίῳ B. [10]προὐκειμένου B. [11]Ita P. κατωφερῆ B. [12]διαθερμῶν B. [13]γλυκὺ Codd. γλυκεῖ ex Sched. [14]κύστειν ἐλαίου πεπληρωμένας P. [15]ἀπονυχισμένον Codd. mutavi in ἀπωνυχ. Lob. [16]χωρείους μέρους Codd. Videtur χορίου μέρος. Lob. [17]ἐλαιοχυτίτω P. [18]Sic! ex Sched.

δὲ τὸ μέγεθος, [1]λαμβάνοντος ὑπὸ τὸ στόμιον τῆς ὑστέρας. Εἰ μὲν ἀσθενὴς εἴη ἡ κυοφοροῦσα καὶ ἄτονος, τὴν μαίωσιν ἐπὶ κατακειμένης αὐτῆς ποιητέον· [2]ὃν ἀσκυλότερος οὗτος ὁ τρόπος καὶ ἀφοβώτερος. Εἰ δ' εὔτονος τυγχάνει, διαστατέον αὐτὴν κατὰ τοῦ μαιωτικοῦ [3]λεγομένου δίφρου, [4]καθιστέον θερμοῦ ἐλαίου καὶ κατακεχλιασμένου ἐγχυματιστέον πρὸς τὸ τῆς κυοφορούσης ἄψυκτον· ὑποτιθέσθω δὲ καὶ τοῖς ποσὶν αὐτῆς σκέπης ἕνεκεν. Τρεῖς δὲ γυναῖκες ὑπηρέτιδες ἔστωσαν [5]προςηνῶς δυνάμεναι τὸ δειλὸν παραμυθῆσαι τῆς κυοφορούσης, κἂν μὴ πεπειραμέναι τῶν τοκετῶν τυγχάνωσιν, ὧν δύο μὲν ἑκατέρωθεν, μία δὲ ἐξόπισθεν διακρατοῦσα πρὸς τὸ μὴ διὰ πόνους τὴν κύουσαν παρεγκλίνειν, μὴ παρόντος δὲ τοῦ μαιωτικοῦ δίφρου καὶ ἐπὶ μηροῖς γυναικὸς καθεζομένης, ὁ αὐτὸς δύναται γενέσθαι σχηματισμός. Δεῖ δὲ τὴν γυναῖκα τυγχάνειν [6]εὔτονον καὶ τὸ βάρος [7]ἐνέγκαι τῆς ἐφεδραζομένης γυναικὸς, [8]ἵνα παρὰ τὰς ὠδίνας [9]κατέχειν αὐτὴν δύνηται. Λοιπὸν δὲ ἡ μαῖα περιζωσαμένη κοσμίως ἄνωθεν καὶ κάτωθεν καθεζέσθω μὲν ἄντικρυς τῆς ἀποτικτούσης ταπεινοτέρα, δεῖ γὰρ ἐξ ὑπερκειμένων εἰς τὰ ὑποκείμενα τὴν ἐξολκὴν γίνεσθαι τοῦ [10]ἐμβρύου. Τὸ δὲ εἰς τὸ γόνυ καθίζειν αὐτὴν ὡς ἐδοκίμασάν τινες μετὰ τοῦ δυςέργως καὶ ἀσχημόνως, ὡςαύτως δὲ καὶ τὸ [11]ἔστωσαν ἐν βόθρῳ χάριν τοῦ μὴ [12]ἐξ ὑπερκειμένου τὰς χεῖρας ἐπιβαλεῖν, ὡς ἠξίωσεν [13]Ἥρων· τοῦτο γὰρ οὐ μόνον ἀπρεπὲς, ἀλλα καὶ ἀδύνατον. Ἐπὶ τῶν [14]δυςτέγων οἴκων καθεζέσθω τοίνυν ἡ μαῖα, διεστῶτας τοὺς μηροὺς ἔχουσα, καὶ μικρὸν τὸν εὐώνυμον

[1] Lacuna verbuli est in P. [2] ὃν abundat. Fort. ἀσκυλτότερος. Lob. [3] λεγομένης Codd. [4] καθιετέον ex Sched. [5] προςηνῶς] τέρασιν ὡς B. [6] εἶναι Codd. delevi. Lob. [7] ἐνέγκει P. [8] καὶ B. [9] παρέχειν B. [10] ἐμβρίου B. [11] ἑστῶσαν P. Leg. ἑστῶσαν. Lob. [12] ἐξυπερκ. B. [13] ἥρων P. [14] δυςέργων B.

[1]προςκεκλιμένον πρὸς τὸ [2]εὐεργὲς τῆς εὐωνύμου χειρὸς ἔμπροσθεν ὡς εἴρηται τῆς ἀποτικτούσης· τοὺς μὲν γὰρ πλαγίους τοῦ δίφρου πόδας, ἀποπεπράχθαι παραινουμένου· τὰ δὲ ἐξόπισθεν, εἰς ἀναγκαίαν κατέχεται χρείαν ὑπὸ τῆς ὑπηρετούσης. Εἰς πτύσματος γὰρ ὑπόθεσιν τὸν δάκτυλον αὐτῆς ἀποκρατεῖν δὲ διὰ τὰς ἐν τῇ ἐντάσει γινομένας προπτώσεις καὶ ῥήξεις, εἶτα καλὸν καὶ τὴν ὄψιν τῆς κυοφορούσης φαίνεσθαι, τῇ μαίᾳ τις παραμυθείσθω τὸ δειλὸν [3]αὐτῆς εὐαγγελιζομένη τὸ ἄφοβον καὶ τὴν [4]εὐτοκίαν· εἶτα [5]δὲ ἐγκόπτειν εἰς τὴν λαγόνα τῷ πνεύματι παραινεῖν, τὸ δίχα κραυγῆς, μετὰ στεναγμοῦ δὲ μᾶλλον καὶ κατοχῆς πνεύματος. Ἔνιαι γὰρ [6]τῶν μᾶλλον ἀπείρων τοῖς ἄνω μέρεσι ἐντεινόμεναι τὸ πνεῦμα καὶ μὴ ἀπωθούμεναι πρὸς τὸ κάτω, [7]βρογχοκήλας ἐποίησαν ἔνθεν εἰς τὴν ἀκώλυτον δίοδον τοῦ πνεύματος· λύειν τε τὴν ζώνην προςῆκεν αὐτῶν καὶ τὸ στῆθος πάσης ἐλευθεροῦν περιειλήσεως, [8]οὐ κατὰ τὴν ἰδιωτικὴν πρόςληψιν κάθηνται. [9]Γυναικία δεσμὸν οὐδένα βούλεται τυγχάνειν· διὰ τοῦτο δὲ τὰς τρίχας λύειν· διὰ δὲ τὴν προειρημένην αἰτίαν τάχα δὲ καὶ ἡ λύσις τῶν τριχῶν εὐτονίαν ἀποτελεῖ τῆς κεφαλῆς. Παραινετέον οὖν συνεντείνειν αὐταῖς τὸ πνεῦμα, καὶ μὴ ἀποφεύγειν τὰς ὠδῖνας· ἀλλ' ὅτε πάρεισιν [10]αὗται, τότε μάλιστα προςβιάζεσθαι. Φυλασσέσθω δὲ ἡ μαῖα τὸ εἰς γυναικείους κόλπους τὸ πρόςωπον τῆς τικτούσης ἐνατενίζειν, ὅπως μὴ αἰδουμένης συσταλῇ τὸ σῶμα, δακτύλῳ δὲ [11]κυκλοτερῶς διαστελλέτω,

---

[1]προςκεκλιμένουσα Codd. Fort. ἔχουσα antea delendum et post προςκεκλιμένον, ut scripsi, repetendum. Lob. [2]εὐαγὲς B. [3]αὐτῆς om. B. [4]εὐτοκείαν P. [5]δὲ om. B. [6]τῶν om. P. [7]βρογχηκοίλας B. βρογχηκήλας P. Dedi βρογχοκ. Lob. [8]Fort. οὐ. ex Sched. [9]γυναικία δεσμὼν etc. P. Fort. γυνὴ καὶ δεσμὸν οὐδένα etc. Lob. [10]αὐταὶ B. [11]κυκλωτερῷ Codd. Scripsi κυκλοτερῶς. Lob.

τὸ δὲ στόμιον ὑστέρας τὰ πτερυγώματα, [1]καὶ ἀνατρέχει τὸ στόμιον αὐτῆς, ποτὲ δὲ καὶ προκύπτει. [2]Πειθηνίους οὖν δεῖ καθιστάναι τοὺς δακτύλους ἐν τῷ καιρῷ τῆς διαστολῆς καὶ τὸ ἔμβρυον ἐπισπᾶσθαι, προςενδιδοῦσαν μὲν [3]ὅτε εἰς αὐτὴν ἡ μήτρα συνέλκεται, προςηνῶς δὲ ἐπισπωμένην [4]ὅτε διαστέλλεται. Τὸ γὰρ ἐν [5]τῷ καιρῷ τῆς συστολῆς τοῦτο ποιεῖν, φλεγμονῆς, ἢ αἱμοῤῥαγίας, ἢ [6]κατασπασμοῦ τῆς μήτρας ἀποτελεστικὸν, χερσὶ δὲ τὸν ὄγκον. Ἐκ πλαγίων οὖν [7]ὑπηρέτιδες ἑστῶσαι πρὸς τοὺς κάτω τόπους [8]πρᾴως ἐρεθίσθωσαν· λοιπὸν δὲ ἡ μαῖα δι' ἑαυτῆς ἀποδεχέσθω τὸ ἔμβρυον, προϋποβεβλημένου ῥάκους κατὰ τῶν χειρῶν, ἢ ὡς [9]αἱ ἐν Αἰγύπτῳ ποιοῦσι, λευκῆς παπύρου ξεσμάτων, πρὸς τὸ μήτε ἀπολισθαίνειν [10]αὐτὸ μήτε θλίβεσθαι, τρυφερῶς δὲ [11]ἐφεδρᾶσθαι. Συναποκριθέντων μὲν οὖν καὶ τῶν δευτέρων, τὰ ἑξῆς ποιητέον· εἰ δ' [12]ὑπομένοι τὸ [13]χορίον, κατακειμένης μὲν τῆς τικτούσης πλησίον θετέον τὸ [14]βρέφος.

## μδ'. Πῶς δεῖ [15]προςφέρειν τὰς χεῖρας ἐπὶ τῇ κομιδῇ τοῦ [16]ἐμβρύου.

Δεήσει παρὰ πυρὶ διαθερμαίνοντα τὰς χεῖρας [17]καὶ τοὺς δακτύλους ἀνατρίψαντα ὑγρᾷ κηρωτῇ [18]ὠνυχισμένους, καθιέναι πρῶτον τὸν λιχανὸν δάκτυλον, εἶτα τὸν

---

[1] Lacunam semipaginae notat P. Videtur nihil deesse. ex Sched. [2] πειθινόων οὖν δεῖν B. πειθηνίως οὖν δεῖ P. πειθηνίους οὖν δεῖ videtur. Lob. [3] ὅτι B. [4] τε Codd. Scripsi ὅτε. Lob. [5] τῷ om. B. [6] κατὰ σπασμοῦς B. κατασπασμοῦς P. κατασπασμοῦ repetitur. Lob. [7] ἐρετύδας B. ἐρετύδαις P. Dedi ὑπηρέτιδες. Lob. [8] πρᾴως Codd. αἱρεθίσθωσαν P. Haereo, utrum ἠρεθίσθωσαν patiatur sensus. Lob. [9] αἱ om. B. [10] αὐτὸ om. B. [11] ἐφιδρᾶσθαι Codd. ἐφιδροῦσθαι ex Sched. Scripsi ἐφεδρᾶσθαι. Lob. [12] ὑπομένει B. [13] χωρεῖον Codd. [14] Lac. duarum paginarum et dimidiae sequitur in P. Lob. [15] κομίζειν B. [16] ἐμβρίου B. [17] καὶ om. B. [18] ὠνυχισμένον B.

μέσον, καὶ ὑγρᾷ κηρωτῇ [1]χρίοντα τὸ στόμιον τῆς μήτρας, ἐνεργεῖν [2]δεῖ.

## μέ. [3]Περὶ φύσεως καὶ θέσεως ἀνθρώπου καὶ σχήματος ἐμβρύου.

### Τί ἐστιν [4]ἄνθρωπος; καὶ περὶ τοῦ κεφαλὴν κατ' εὐθὺ φερομένου.

[5]Ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ζῶον μὲν, ὅτι καὶ ὁ ἄνθρωπος οὐσία ἔμψυχος αἰσθητικὴ, οὗτος γὰρ ὅρος ζώου· λογικὸν δὲ, ἵνα χωρισθῇ τῶν ἀλόγων, καὶ θνητὸν, ἵνα διαστῇ τῶν ἀθανάτων λογικῶν ἤγουν τῶν ἀγγέλων· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὅτι δια μαθήσεως προςγίνονται ἡμῖν αἱ τέχναι καὶ ἐπιστῆμαι· εἰ γὰρ δεκτικὴν ἔχομεν δύναμιν, ἀλλὰ τὴν ἐνέργειαν ἀπὸ τῶν μαθημάτων κτώμεθα. Τὸ δὲ ἄνθρωπος ὄνομα παρὰ τὸ ἔναρθρον ἔχειν φωνὴν, τῶν ἄλλων ἁπάντων ζώων ἀνάρθρως καὶ ἀσήμως φωνούντων· τινὲς δὲ παρὰ τὸ ἀθρεῖν καὶ λογίζεσθαι ἃ ὄπωπε, τουτέστι παρὰ τὸ βλέπειν κατὰ νοῦν καὶ διαλογίζεσθαι τὰ δέοντα, τῶν ἄλλων ζώων μὴ προνοουμένων ἢ λογιζομένων· ἄλλοι δὲ, παρὰ τὸ ἄνωθεν τὸν ὀφθαλμὸν ἤγουν ἄνω αἴρειν, ἢ παρὰ τὸ δρῶ τὸ βλέπω, ἄνδρωπος καὶ ἄνθρωπος, ἢ παρὰ τὸ ἄνω ῥέπειν, ἀναῤῥοπός τις ὤν. Τὰ μὲν γὰρ τετράποδα, φησὶν ὁ μέγας [6]Βασίλειος, ἐπὶ τὴν γῆν βλέπει καὶ πρὸς τὴν γαστέρα νένευκεν· ἀνθρώπου

---

[1] χρείοντα Codd. χρίοντα ex Sched. [2] Post δεῖ lacunam paginae habet P. Conjicio et paginas vacuas antecedentes aliquot figuris fuisse dicatas foetuum positionumque omissarum. ex Sched. Quae nunc sequuntur capita, omnia in Cod. Barb. desunt. Lob. [3] Numero capitis ommisso P. ita pergit, sed in Indice praefixo aliter, ut loco suo commemorabitur. Lob. [4] Spatium vacuum invenitur post ἄνθρωπος. [5] Cf. alibi definitionem illam, quae Aristotelis est. E christiano esse sumta videntur. ex Sched. [6] Sorani non est. ex Sched.

δὲ ἀνάβλεψις ἄνω πρὸς τὸν οὐρανὸν, ὥστε μὴ σχολάζειν γαστρὶ μηδὲ τοῖς [1]ὑπογαστρίοις πάθεσιν. [2]Γνώριμον δὲ ὅτι καὶ τοῖς ἐμψύχοις ὁ ἄνθρωπος κοινωνεῖ, καὶ τῆς τῶν λογικῶν μετείληφε νοήσεως. Εὐθὺς γὰρ ἐν τῇ πρώτῃ [3]σπορᾷ, τῇ καταβολῇ τοῦ σπέρματος ἐν τῇ μήτρᾳ, τὸ προςπεσὸν τοῖς ἀψύχοις ἐστὶ σώμασι παραπλήσιον, ὡς ἐκ τῶν δ' στοιχείων ἔχον τὴν [4]κρᾶσιν, πλὴν ὡς ἐκ ζώντων ἀποκρινόμενον, ζῶσαν δεικνύει καὶ τὴν ἐνέργειαν τῶν φυσικῶν δυνάμεων ἐν αὐτῷ ἀναφαινομένων. Μικρὸν γάρ τινα χρόνον ἐμμεῖναν τῇ μήτρᾳ, ἐκεῖσε πεσὸν καί τινος φυσικῆς ἰκμάδος ἐκζέσεως προςλαβόμενον, τοῖς ζωοφύτοις ἐξομοιοῦται κατὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν δύναμιν· καὶ γὰρ τρέφεται καὶ αὔξεται τὸ ἀνθρωπόφυτον τοῦτο καὶ εἰς μέρη καὶ μέλη ἀποτυποῦται· πάλιν δὲ κατ' ὀλίγον [5]ἁδρυνόμενον ζωοῦται ἐκεῖ, καὶ αἱ ζωτικαὶ ἐν αὐτῷ ἐνεργοῦσι δυνάμεις. Ἀλλὰ καὶ τοῖς ἐναλίοις ζώοις ἐστὶ παραπλήσιον· [6]διὸ καὶ ἔμβρυον λέγεται διὰ τὸ ἔσω βρύειν καὶ τρέφεσθαι καὶ αὔξεσθαι, ἢ διὰ τὸ ἔνδοθεν τὴν βρῶσιν ἔχειν, ἢ διὰ τὸ ἔνδον εἶναι βροτοῦ. [7]Καλεῖται δὲ ἡ μήτρα παρὰ τὸ μήτηρ εἶναι τοῦ γεννωμένου. Λέγεται δὲ καὶ νηδὺς καὶ δελφύς· νηδὺς μὲν, ὅτι μεθ' ἡδύτητος ἐνεργεῖ, ἢ ἀπὸ τοῦ διανενῆσθαι, ὅ ἐστι σεσωρεῦσθαι καὶ πεπληρῶσθαι τραχύτητος· καὶ γὰρ ἡ φύσις τραχεῖαν ταύτην ἐποίησε καὶ κοτυληδόνας ἔχειν μετὰ φλεβῶν καὶ ἀρτημάτων τινῶν, ἵνα μὴ ὁ σπόρος ἐξολισθαίνῃ διὰ λειότητος καὶ ἄκαρπος ἡ τίκτουσα διαμένῃ, ἢ ὅτι ἡ [8]παράδοσις τῆς τροφῆς τοῦ ἐμβρύου ἀπ'

---

[1]ὑπογάστροις P. Certe ὑπογαστρίοις. Lob. [2]Lacuna! [3]ἐν τῇ πρώτῃ σπορᾷ καταβολῇ τοῦ σπ. P. ἐν τῇ πρώτῃ σπορᾷ, τῇ καταβολῇ etc. Lob. [4]κράσιν P. [5]ἀνδρυνόμενον P. Scripsi ἁδρυνόμενον. Lob. [6]πόθεν ἔμβρυον; in marg. P. [7]πόθεν μήτηρ; in marg. P. [8]παράδευσις P. παράδυσις ex Sched. Dedi παράδοσις. Lob.

αὐτῆς γίνεται· νέειν γὰρ τὸ ῥέειν· ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ δυς μόριον, ὅτι καὶ παιδοποιίας στερεῖται καὶ δυστοκίας ὑφίσταται. Δελφὺς δὲ, ὅτι ἀδελφοποιός ἐστι, καὶ ἀδελφὰ ποιεῖ τὰ τικτόμενα· ἀδελφὸς γὰρ ὁ ἐκ τῆς [1]αὐτῆς δελφύος ἤγουν μήτρας, καὶ ὁμόδελφος ὁ αὐτάδελφος. Ὑστέρα δὲ, ὅτι ὕστερον τῶν ἄλλων πάντων μορίων τὰς ἐνεργείας αὐτῆς ἐπιδείκνυται, ἤγουν τὴν ἑλκτικὴν, τὴν καθεκτικὴν, [2]τὴν ἀλλοιωτικὴν καὶ ἀποκριτικὴν κατὰ τὸ βρεφουργεῖν, ἢ ὅτι ἐσχάτη τῶν μετὰ τὴν γαστέρα κεῖται. [3]Τρέφει δὲ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ καὶ ἀναπνεῖ, οὐκ ἐκ τοῦ στόματος, ἀλλ' ἐκ τοῦ ὀμφαλοῦ ἐξ αἱματικῶν μητρώων περιττωμάτων, ὅθεν καὶ ὁ ὀμφαλὸς παρὰ τὸ ἐμπνεῖν εἴρηται· ἔστι δὲ τὸ μέσον τοῦ σώματος. Ἐν δὲ τῇ γενέσει τοῦ λόγου λέγεται πρῶτον πήγνυσθαι ὑμένα τινὰ λεπτὸν, ὃν καλοῦσι [4]χορίον ὡς περιέχοντα τὸ ἔμβρυον ἢ ὡς χωρίον αὐτοῦ ὄντα ἢ χορηγὸν τῶν διατρεφόντων αὐτό. Εἶτα ἡ καρδία πρώτη καταβληθεῖσα παρὰ τῆς φύσεως ἀναλογοῦσαν τοῖς μέλεσι λαμβάνει καταβολὴν παρὰ τῆς φύσεως· διὸ καὶ συμμέτρως ταῖς οἰκείαις ἀρχαῖς ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ, περιυφαινομένου τοῦ σώματος, ἀπαρτίζεται κατὰ τὴν σύνθεσιν. Ἐσχημάτισται δ' ἐν τῇ μήτρᾳ τὰ μὲν τετράποδα τῶν ζώων, ἐκτεταμένα κεῖσθαι, τὸν δὲ ἄνθρωπον τὴν μὲν [5]ῥῖνα μέσον τῶν γονάτων ἔχειν, τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ τοῖς γόνασι, τὰ δὲ ὦτα ἐκτός· καὶ ὅταν τὸν τεταγμένον τῆς [6]κινήσεως ἐκπληρώσῃ χρόνον πρὸς ὄγκον ἡ [7]γαστὴρ διεγειρομένη, ὠθεῖ τὸ ἔμβρυον εἰς τὰ ἔξω. Καὶ πρῶτον τῆς κεφαλῆς ἀπολυομένης, ῥέπει κατὰ τὴν κίνησιν τὰ

---

[1]Legebatur *αὐτοῦ*. Lob. [2]*καὶ* ante *τὴν* delevi. Lob. [3]*τρέφειν* P. [4]Recte *χορίον* hic habet P. [5]Scribebatur *ῥίνα* Lob. [6]Fort. *κυήσεως*. Lob. [7]*ἡ γαστέρα* P. *ἡ γαστὴρ* ex Sched. Fort. *ἡ ὑστέρα*. Lob.

βαρύτερα καὶ ὀγκωδέστερα, τοῦ σώματος ἐπισυρομένου· ταῦτα δέ ἐστι τὰ τῶν ὤμων μέρη καὶ θώρακος. Καὶ αὕτη ἐστὶν ἡ ἐπὶ τῆς κατὰ φύσιν τικτομένης ἐπ' εὐθείας ὁδός· τοὺς γὰρ παρὰ φύσιν τόκους ἢ δυςτοκίας εἰς τὸ ἑξῆς μεταληπτέον. Μετὰ γοῦν τὴν χειρουργίαν τοῦ ὀμφαλοῦ μεγάλη ἡ τροφὴ καὶ ἡ ἀναπνοὴ ἐν τῷ στόματι· ἡ δὲ μετὰ ταῦτα τροφὴ τοῦ βρέφους δῆλόν ἐστι τὸ καλὸν δηλονότι γάλα εἰς ἀνατροφὴν αὐτοῦ. Ἔστι δὲ γάλα αἷμα λευκαινόμενον ἐν τοῖς μαστοῖς τῶν μητέρων περὶ τὰς φλέβας τὰς ἀπὸ τῆς μήτρας τὸ αἷμα δεχομένας. Μαστοὶ δὲ κυρίως ἐπὶ τῶν γυναικῶν λέγονται, οἷον μασητοί· οὗτοι γὰρ ἄλλοις τροφή· ἢ ἀπὸ τοῦ τὴν [1] μάσταλα, τουτέστι τὴν τροφὴν, τοῖς γεννωμένοις παρέχειν, ἀφ' ἧς καὶ τὸ μάσημα· ἢ ἀπὸ τοῦ προςμέτεσθαι καὶ προςφύεσθαι τούτοιν τοῖν μαστοῖν πρότερον τὰ βρέφη, ἢ ἀπὸ τοῦ ὑπὸ τᾶν θηλαζομένων βρεφῶν ἐπισπᾶσθαι, ἢ παρὰ τὸ μαίω τὸ ζητῶ· ἐπιζητοῦσι γὰρ τοὺς μαστοὺς τὰ βρέφη, ἐξ οὗ καὶ μήτηρ ἡ παρ' αὐτῶν δηλονότι ἐπιζητουμένη, ἢ ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσιν, ἢ ὅτι φυσικῶς αὐτὰ μαστεύει καὶ ζητεῖ· ὅτι δὲ μαίω τὸ ζητῶ ἐστι, φησὶν Ὅμηρος· μαιομένη κευθμῶνα. Ἐκ τούτου καὶ μαία, ἡ κατὰ τοὺς τόκους ἐν τῇ γαστρὶ τῆς γυναικὸς ζητοῦσα τὰ [2] βρέφη.

### *Περὶ τοῦ ἐπὶ κεφαλὴν φερομένου βρέφους καὶ ποσῶς ἐνηλλαγμένου.*

Τοῦ βρέφους ἐπὶ κεφαλὴν φερομένου κατὰ φύσιν, περιττὸν ἂν εἴη γράφειν τὴν κομιδήν· ἔσθ' ὅτε γὰρ καὶ δίχα ἰατρικῆς ἐνεργείας κομίζεται. Εἰ δὲ δοκοῦν ἐπὶ

[1] μάσταλα] Fort. μάστακα, et in sqq. προςμάττεσθαι. Lob. [2] Deinde sequitur spatium vacuum, sed nihil deest, quum figuris relictum videatur esse. Totum hoc caput an figurarum margini adsutum sit, Soranine sit genuinum, haereo. ex Sched. cf. Addend. Lob.

κεφαλὴν φέρεσθαι κατ' εὐθὺ πλάγιον φέρηται, προςήκει ταῖς χερσὶν διορθοῦσθαι τό τε κεφάλαιον εἰς τὸ κατ' εὐθὺ τοῦ στομίου τῆς μήτρας ἄγοντα. Εἰ μὴ δύναιτο δὲ διὰ μόνης τῆς χειρὸς γενέσθαι διόρθωσις, [1] εἰ δεήσεις καὶ τὸ ποιὸν σχῆμα τῆς κατακλίσεως ἐπιλαμβάνειν· ἐὰν γὰρ ἡ παραγωγὴ τῆς κεφαλῆς τοῦ ἐμβρύου εἰς τὰ δεξιὰ τῆς μήτρας ᾖ, κατακλινοῦμεν τὴν γυναῖκα ἐπὶ τὴν εὐώνυμον πλευρὰν, εἰ δὲ τοῖς εὐωνύμοις, ἐπὶ τὴν δεξιὰν, καὶ ἰσάσαντες τὸ πρῶτον διορθούμεθα, καὶ εἰς τὸ κατευθὺ τῆς μήτρας ἄγοντες κομιζόμεθα. Εἰ δὲ μὴ δύναιτο τῷ ῥηθέντι τρόπῳ ὑπακούειν, δεήσει τὸ ἀνασκευασμῷ τῆς κλίνης χρησάμενον κομίζεσθαι· εἰ δὲ κατευθὺ μὲν φέροιτο, ξηροὶ δὲ εἴησαν οἱ τόποι, ὑγραῖς κηρωταῖς χρηστέον ὀλισθόν τινα [2] παρέχοντας.

## μϛ΄. Περὶ ἐγκατεχομένων δευτέρων.

Μετὰ δὲ τὴν ἔκδοσιν τοῦ ἐμβρύου πολλάκις ὑπομένει τὸ [3] χορίον, ὃ καὶ δεύτερον καλεῖται καὶ δυςχερείας ἐπιφέρει, μεταβάλλον καὶ συστρέφον περὶ αὐτὸ τὴν ὑστέραν, καὶ διὰ τοῦτο πόνους κεφαλῆς καὶ [4] ἤτρου καὶ συνολκὰς ἢ πνιγμοὺς ἀποτελεῖ, ποτὲ μὲν ἔτι [5] σώζων τὴν πρὸς τὸν ὀμφαλὸν τοῦ ἐμβρύου συνέχειαν, ποτὲ δὲ ἀπεσπασμένον ἀπροόπτως τοῦ ἐμβρύου κατενεχθέντος, ἢ τῆς μαίας ἀπείρως τὸν ἀποτιλμὸν ἐργασαμένης, καί ποτε μὲν ἀποκεκρυμμένον, ποτὲ δὲ ἀπὸ μέρους προκύπτον, καὶ ἤτοι τὴν πρὸς τὴν ὑστέραν συνέχειαν ἢ προσάρτησιν ἔτι σῶζον ἢ ἀπολελυμένον, ποτὲ μὲν ἐπιμεμυκότος, ποτὲ δ' ἑστῶτος ἀκμὴν τοῦ στομίου τῆς ὑστέρας, καὶ ἤτοι χωρὶς φλεγμονῆς ἢ σὺν φλεγμονῇ. Ἱπποκράτης μὲν οὖν πταρμικοῖς χρῆται καὶ συνάγει τὰ πτερύγια τῆς ῥινὸς, ἵνα διὰ τῆς

[1] Sic! ex Sched. [2] Postea lacuna paginae dimidiae. ex Sched. [3] χορεῖον P. [4] Legebatur ἴτρου. Lob. [5] Leg. σῶζον. Lob.

τοῦ πνεύματος εἰς τὸ βάθος ἐμπτώσεως ἐκπέσῃ τὸ χορίον. Εὐρύφων δὲ ὁ [1] Κνίδιος οὐραγωγοῖς χρῆται ποτίσμασι τοῖς ἀπὸ δικτάμνου καὶ ἐλελισφάκου, καὶ πεσσοῖς τοῖς αἱμαγωγοῖς διὰ στρουθίου καὶ Ἰλλυρικῆς ἴρεως καὶ κανθαρίδων καὶ μέλιτος, καὶ κατασεισμῷ τῷ διὰ τῆς κλίμακος [2] προςδεδομένης τῆς καμνούσης. [3] Εὐήνωρ δὲ καὶ Σῶστρος καὶ Ἀπολλώνιος ὁ Προυσιεὺς ἐπιλαμβάνεσθαί φασι δεῖν τοῦ προέχοντος καὶ οὕτως ἐξέλκειν. Δίων δὲ καὶ τοῖς δι' ἐλελισφάκου χρῆται καὶ σμύρνης καὶ [4] σελήνης σπέρματος ποτίσμασι. Τινὲς δὲ ὑποθυμιῶσιν οἷον ἄσφαλτον, τρίχας [5] ἀνθρωπίας, κέρας ἐλάφειον, χαλβάνην, μελάνθιον, [6] ἀρτεμισίαν. Στράτων δὲ ὁ Ερασιστρατεῖος εἰς χύτραν ἀργυρὰν ἢ χαλκὴν κασιτέρῳ περικεχυμένην, ἀρώματα [7] βάλλει, νάρδον, κασσίαν, ἔτι δὲ πράσιον, ἀρτεμισίαν, δίκταμνον, σούσινον, ῥόδινον, μέλι, καὶ κρατήσας τὸ πωμάτιον, αὐλίσκον περιτίθησιν, οὗ τὸ ἕτερον πέρας εἰς τὸ γυναικεῖον ἁρμόζει αἰδοῖον καὶ πυριᾷ τοὺς τόπους δι' ὀλίγου πυρὸς, ἀναθερμαίνων τὰ ἀγγεῖα. [8] Μαντίας δὲ [9] παρακατακλίνει τὸ βρέφος τοῖς μηροῖς τῆς κυούσης, ἵνα διὰ τῆς οἰκείας φύσεως καὶ κινήσεως τούτου ἐφέλκηται τὸ χορίον· μὴ σωζομένης δὲ τῆς πρὸς τὸ βρέφος τοῦ χορίου συνεχείας, μολίβδου μέγεθος ἐκ τοῦ προσέχοντος [10] ἀποκρεμάσαι, ἵνα τῷ βάρει κατασπασθῇ τὸ χορίον· πάντα δὲ μοχθηρὰ τὰ προειρημένα. Διὰ μὲν γὰρ τῶν πταρμικῶν ὁ πλείων σπαραγμὸς παραυτίκα μὲν τὸν ἐξ αἱμοῤῥαγίας, ὕστερον δὲ τὸν ἐκ νευρικῆς συμπαθείας ἀποτελεῖ φόβον· τὰ δὲ [11] ποτίσματα κακοῖ τὸν στόμαχον

---

[1] Legebatur *Κνίδειος*. Lob. [2] Fort. *προςδεδεμένης*. Lob. [3] *Εὐήνορ* P. Scripsi *Εὐήνωρ*. Lob. [4] Fort. *σελίνου* Lob. [5] Leg. *ἀνθρωπείας*. Lob. [6] *ἀρτεμησίαν* et infra *Ἐρασιστράτιος* erat. Lob. [7] *βάλλειν* P. Scripsi *βάλλει*. Lob. [8] Dedi *Μαντίας* pro *Μαντείας*. Lob. [9] *παρακατακλίνειν* P. *παρακατακλίνει*. Lob. [10] *ἀποκριμνήσοι* P. *ἀποκριμνήσαι* ex Sched. *ἀποκρεμάσαι* videtur. Lob. [11] *ποτίματα* P. Scripsi *ποτίσματα*. Lob.

καὶ ἀνατρέπει· τὰ δὲ αἱμαγωγὰ πεσσάρια, δάκνοντα καὶ ἀνελκοῦντα, σπασμοὺς καὶ συνολκὰς καὶ συμπαθείας παρασκευάζει· πλήσσει δὲ βιαίως καὶ ὁ κατασεισμός· τὸ δὲ ὁπωςοῦν ἐπισπᾶσθαι τὸ χορίον διὰ τὸν σπαραγμὸν, φλεγμονὴν ἐπιφέρει καὶ ἀδύνατον, ὅπου μέμυκε τὸ στόμιον καὶ οὐδὲν προπίπτει τοῦ χορίου μέρος· τὰ δὲ ὑποθυμιάματα δριμύτητι τὴν φλεγμονὴν αὔξει καὶ συμπληροῖ τὴν κεφαλήν. Διὰ δὲ τὸν αὐτὸν λόγον ἡ ἀπὸ τῶν ἀρωμάτων πυρία περίεργός ἐστιν, καὶ ὁ κατὰ τὸ ἕτερον πέρας τιθέμενος εἰς τὸ γυναικεῖον αἰδοῖον αὐλίσκος τῇ διαδόσει [1]πυρούμενος περιφλέγει τοὺς τόπους. Πολέμιον δὲ καὶ τὸ διὰ τῆς ἐξαρτήσεως τοῦ μολίβδου βιαίως τὴν ἔκφυσιν ἀποσπᾷν καὶ μᾶλλον ἤδη φλεγμονῆς ὑπαρχούσης· ἤτοι τοῦ [2]χορίου διὰ τοῦ λίνου [3]σφίγξασα, ἄτονος μὲν οὖσα περιολισθήσει πάντως, εὔτονος δὲ συμπάθειαν οἴσει καὶ λιποθυμίαν, ἀλλ' [4]οὐδὲ πάντοτε προςέχει τοῦ χορίου· καὶ τὸ διὰ τῆς κινήσεως τοῦ βρέφους ἐπιβλαβές. Δεῖ γὰρ ἐμπείρως τὴν ὁλκὴν γίνεσθαι· διὸ σωζομένης τῆς πρὸς τὸν ὀμφαλὸν αὐτοῦ συνεχείας, ἐπὶ χειρῶν μιᾶς [5]ὑπηρέτιδος δεῖ τιθέναι τὸ βρέφος [6]ὑπεστρωμένου ῥάκους· εἶτα διὰ τοῦ συμπεφυκότος οὐραχοειδοῦς ἐντέρου τῷ ὀμφαλῷ τρόπον τινὰ ὁδηγούμενον ἐπικαθιέναι δεῖ τὴν χεῖρα πειθηνίως διὰ τῆς ἐφ' ἑκάτερα τὰ μέρη [7]συνεντεινομένης ἅμα τῆς κυούσης, ἄνευ σπαραγμοῦ τε καὶ ἀποσπασμοῦ κομίζεσθαι τὸ χορίον. Εἰ δὲ πλείονος χρεία εἴη διατριβῆς, τὸ βρέφος ἀπολύειν τῆς πρὸς τὸ κρατοῦν συνεχείας καὶ ταῦτα ποιεῖν ἀεὶ· καὶ εἰ μὴ ὅλως [8]ἐμπεφύκει,

---

[1] Legebatur πυρούμενον. Lob. [2] Antea semper χορεῖον et χορείου, hic χωρίου P. [3] σφίξασα P. Dedi σφίγξασα. Lob. Videtur supra deesse. ex Sched. [4] εἰ δὲ ex Sched. [5] ὑπεστρομένου P. Scripsi ὑπεστρωμένου. Lob. [6] συνεντεινομένην P. συνεντεινομένης quadrat. Lob. [7] Scrib. ἐνεπεφύκει. Lob.

τὸ ἔμβρυον ἔδει παραλαβεῖν κατασχεῖν, παραρμόσει τὸ [1]ὑπερέχειν καὶ ἠρέμα παράγειν, ἐπανιέντα ὅτε συστέλλεται τὸ στόμιον, ἐφελκόμενον δὲ ὅτε διίσταται, μηδενὸς προκόπτοντος μέρους. Ἐν διαστάσει δὲ τοῦ στομίου μένοντος, λελιπασμένην τὴν χεῖρα καθιέναι, καὶ εἰ μὲν ἀπολελυμένον τῆς πρὸς [2]τῆς μήτρας συμφύσεως τὸ χορίον καὶ εἰς αὐτὸ [3]συνεστραμμένον, ἢ ἐπισπᾶσθαι λαβόμενον· εἰ δὲ συμπεφυκὸς, ἁπλώσαντα τοὺς δακτύλους ἔνδοξον πειρᾶσθαι διὰ τῆς ἐξ ἑκατέρου μέρους ἀντιπεριαγωγῆς ἀπολύειν αὐτὸ πειθηνίως. Οἱ γὰρ ἀπείρως κατ᾽ εὐθὺ τείνοντες καὶ τὴν ὑστέραν ἐπεσπάσαντο πολλάκις εἰς ἐκστροφήν· μὴ ἐπακούοντος δὲ τοῦ δευτέρου πρὸς τοὺς ἠρεμοτέρους ἐπισπασμοὺς, ἢ καὶ μεμυκότος τοῦ στομίου καὶ φλεγμαίνοντος, [4]καταλίπειν αὐτὸ καὶ δικαίως φλεγμονὴν θεραπεύειν δι᾽ ἐγχυματισμοῦ, καὶ καταπλασμάτων [5]μυρίων, καὶ θερμῆς τροφῆς. Ἀνιεμένης δὲ τῆς φλεγμονῆς, ἀπολύεται τὸ ἀλλότριον καὶ κατὰ διαμύδησιν ἐκπίπτει, καθ᾽ ὃν τρόπον καὶ ἐνιάκις συναπέπλευσε τοῖς ὑγροῖς, καὶ κῶλον ἔξαρθρον μετὰ φλεγμονὴν καταρτισμοῖς [6]ἐπηκολούθησεν. Χωρὶς [7]ἡ μὴ βάσις μὲν χοιράδων προςφυεῖς καταλίπουσί τινες, ὡς διαμύδησιν γενομένην· τὸ δὲ χορίον [8]ἐμπεφυκὸς κατηγγιωμένως σπλάγχνῳ, μετὰ βίας [9]ἀποσπάσαι δεῖ καὶ μὴ καταλίπειν τῷ χαλασμῷ δυνάμενον πειθηνίως περιμυδῆσαι. Διεστῶτος μὲν οὖν τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ χορίου ἀπολελυμένου καὶ περί τι μέρος τῆς μήτρας σφαιροειδῶς συνεστραμμένου, [10]ῥάκειν ἐστὶν ἡ κομιδή· τὴν γὰρ ἀριστερὰν χεῖρα θερμὴν λελι-

[1] ὑπερέχων P. Certe ὑπερέχειν. Lob. [2] τῆs μήτραs P. Sic! ex Sched. [3] Fort. συνεστραμμένον ᾖ, ἐπισπᾶσθαι λ. Lob. [4] Fort. καταλιπαίνειν. Lob. [5] Fort. μύρων vel τῶν μορίων. Lob. [6] ἐπεκολούθησεν erat. Lob. [7] εἰ μὴ βάσεις ex Sched. [8] ἐμπεφυκὼς P. Scripsi ἐμπεφυκὸς. Lob. In sqq. fort. κατηγγισμένως. Lob. [9] Legebatur ἀπεσπάσαι. Lob. [10] Fort. ῥᾴστη. Lob.

πασμένην εἰς τὸ βάθος δεῖ καθιέναι καὶ ὑποπεσὸν τὸ χορίον ἐκλαβεῖν. Εἰ δὲ προςπεφυκὸς εἴη τῷ τῆς ὑστέρας πυθμένι, καθιέναι μὲν ὁμοίως δεῖ τὴν χεῖρα θερμὴν καὶ λελιπασμένην, συλλαβόντα δὲ τὸ χορίον ἕλκειν μὴ ἐπ' εὐθείας διὰ τὸν τῆς προπτώσεως φόβον τῆς μήτρας, ἀλλὰ μηδὲ μετὰ βίας ἰσχυρᾶς, πειθηνίως δὲ, καὶ τὸ μὲν πρῶτον [1]ἀνιέμενον μετάγειν εἰς τὰ πλάγια, τῇδε κἀκεῖσε παραφέροντα, εἶτα καὶ εὐτονώτερον ποσῶς ἐφέλκειν· ὑπακούει γὰρ τούτῳ τῷ τρόπῳ καὶ ἀπολύεται τῆς προςφύσεως. Εἰ δὲ μεμυκὸς εὑρεθείη τὸ στόμα τῆς ὑστέρας, ἐγχυματισμῷ χρῆσθαι, καὶ πειρᾶσθαι διὰ τῶν δακτύλων τῆς ἀριστερᾶς χειρὸς πραότερον διανοίγειν καὶ διαστέλλειν κατ' ὀλίγον. Εἰ δὲ μὴ ὑπακούοι, κατακλίνειν τὴν γυναῖκα καὶ καταπλάσσειν ὠμῇ λύσει τὸ ἦτρον, καὶ πάλιν ἐγχυματίζειν καὶ ἐπάνωθεν λιπάσμασι καὶ θερμάσμασι χρῆσθαι. Εἰ δ' εὔτονος εἴη τὴν δύναμιν ἡ πάσχουσα, ἀποπειρᾶσθαι χρὴ κατὰ τοῦτον τὸν καιρὸν καὶ πταρμικὸν ταῖς ῥισὶ προςάγειν διὰ καστορίου καὶ [2]πεπέρεως ἴσον ἑκάτερα, καὶ ταῦτα ἐπὶ μίαν ἢ δευτέραν ποιεῖν· χρῆσθαι δὲ καὶ ὑπατμισμοῖς διὰ χύτρας ἀρώματα ἐχούσης ἡψημένα οἷον [3]κασίας, νάρδου, σχοίνου [4]ἄνθους, ἀρτεμισίας, ἴρεως, βράθυος, δικτάμνου, γλήχωνος καὶ τὰ παραπλήσια, ὑποτιθεμένης τῆς χύτρας τῷ μαιωτικῷ δίφρῳ πάντοθεν [5]ἱμάτια περισκέποντες αὐτήν· μετὰ δὲ ταῦτα σημειοῦσθαι, καὶ [6]ἢν μὲν διεστὼς εὑρεθῇ τὸ στόμιον τῆς μήτρας, καθιέναι τὴν χεῖρα καὶ, ὡς προείρηται, πειρᾶσθαι ἐξέλκειν. Εἰ δὲ μὴ [7]οὗτος ὑπακούοι, οὐ προςήκει ταράσσεσθαι· μετὰ γὰρ ἡμέρας ὀλίγας [8]μυδῆσαν

---

[1] ἀνιέμενος P. ἀνιεμένως ex Sched. Aptum videtur ἀνιέμενον. Lob. [2] πέπεριν P. Dedi πεπέρεως. Lob. [3] Debebat esse κασσίας. Lob. [4] ἄνθος P. Sine dubio ἄνθους. Lob. [5] Fort. ἱματίοις. Lob. [6] ἡ P. ἢν ex Sched. In sqq. fort. scribendum διεστὸς. Lob. [7] Leg. τοῦτο. Lob. [8] μυδήσον P. Scripsi μυδῆσαν. Lob.

καὶ διαλυόμενον εἰς ἰχῶρας ἐκπίπτει. Ἐπειδὴ δὲ [1]δυςωδίας παρέχει πολλὰς ὥςτε τὴν κεφαλὴν σφηνοῦν καὶ στόμαχον ἀνατρέπειν, ὑποθυμιατέον κάτωθεν συνεχῶς τὰ εὐώδη καὶ δυνάμενα ταῖς τοιαύταις ἀποφοραῖς ἀπομάχεσθαι, καὶ τὸ χορίον κατάγειν. Δεδοκίμασται δὲ πρὸς τοῦτο, τό, τε καρδάμωμον καὶ αἱ ἰσχάδες [2]ἐπιτηδείως ὑποθυμιώμενα, καὶ τὸ βδέλλιον κατὰ βράθυος, καὶ λιβανωτὸς μετὰ στύρακος, καὶ ὄνυξ ἀρωματικὸς καὶ τὸ λάδανον. Πότιζε δὲ αὐταῖς καὶ καστορίου ∠ά μετὰ [3]γλήχωνος ἴσον ἐν μελικράτῳ, καὶ τὰ ἁπλούστερα τῶν καταμήνια ἀγόντων.

## μζ΄. Περὶ [4]δυςτοκιῶν. Τί ἐστι δυςτοκία.

Οἱ [5]Ἡροφιλεῖοι καὶ μάλιστα Δημήτριός φασιν, δυςτοκίαν εἶναι δυςχερῆ τόκον· κατὰ δέ τινας δυςτοκία ἐστὶν ἡ μετὰ [6]δυςεργείας ἀποκύησις· [7]ἐπιλιπεῖς δέ μοι δοκοῦσιν οἱ ὅροι εἶναι, ὅθεν αὐτός φησιν δυςτοκίαν εἶναι δυςχέρειαν τῶν κυουμένων [8]παρά τινα αἰτίαν γινομένην.

## μη΄. Τίς αἰτία δυςτοκίας, καὶ κατὰ πόσους τρόπους γίνεται δυςτοκία ἐπὶ τῶν παρὰ φύσιν γεννωμένων.

Ὁ [9]Καρύστιος Διοκλῆς ἐν τῷ δευτέρῳ τῶν γυναικείων λέγει, δυςτοκεῖν τὰς πρωτοτόκους καὶ νέας· εὐτοκεῖν δὲ τὰς πολλάκις τετοκυίας φησίν. Αἴτιον δὲ εἶναι δυςτοκίας τὸ μὴ κατ' εὐθὺ εἶναι τὸ στόμιον τῆς ὑστέρας, ἢ ἀποσκληρυνθὲν μεμυκέναι καὶ μὴ ῥᾳδίως εἴκειν·

[1] δυςωδίαν P. δυςωδίας requiritur. Lob. [2] ἐπιτηδεῖος P. ἐπιτηδείως ex Sched. [3] Legebatur γλίχωνος. Lob. [4] Continuo in sqq. δυςτοκεία pro δυςτοκία obviam fit. Lob. [5] Ἡρόφιλοι P. Dedi Ἡροφιλεῖοι. Lob. [6] δυςεργίας legendum est. Lob. [7] ἐπιλειπῆς P. ἐπιλειπεῖς ex Sched. Scripsi ἐπιλιπεῖς. Lob. φησιν] Aptius φημι. Lob. [8] παρά τι αἰτίαν P. παρά τινα αἰτίαν. ex Sched. [9] Καρίστιος P. Melius Καρύστιος. Lob.

φησὶ δὲ καὶ τὰ μεγάλα τῶν ἐμβρύων αἰτίαν εἶναι. Ἐν μέντοι τῷ τρίτῳ τῶν γυναικείων λέγει, αἰτίαν εἶναι τὰ εὔτροφα τῶν βρεφῶν καὶ τὰ τεθνηκότα· φησὶ δὲ δυςτοκεῖν τὰς καθύγρους καὶ θερμάς. Ἁμαρτάνει δὲ μὴ ἐπιὼν τὰς αἰτίας, δι᾽ ἃς εὐτοκοῦσιν· πῶς δὲ οὐκ ἔστι γελοῖον λέγειν, δυςτοκεῖν ἐν τῇ κυοφορήσει, μήτρας τὴν σύγκρισιν; Ὁ δὲ Κλεόφαντος ἐν τῷ ἑνδεκάτῳ τῶν γυναικείων εἰπὼν τὰς πρωτοτόκους δυςτοκεῖν, ἐπιλέγει καὶ, ὅσαι δὲ ἀπὸ τῶν ὤμων ἔχουσι πλήθη, ἀπὸ δὲ τῶν ἰσχίων οὐκ εἰσιν εὐογκότεραι, αὗται δυςτοκοῦσιν· [1]ταύταις φησὶν οὐδὲ ἐῤῥάγη πρὸ τοῦ τὰ σώματα καὶ τὰς ὠδῖνας ἐπισχεῖν [2]δυςτοκίαν γίνεσθαι. Παρασημειωτέον δὲ ὅτι ὕδρωπα λέγει τὸ πρόῤῥηγμα. Καὶ ὅσαις δὲ τὰ ἔμβρυα μὴ ἐπὶ κεφαλὴν φέρεται, ἀλλ᾽ ἐπὶ πόδας ἢ διπλᾶ, ἐπὶ τὰ ἰσχία ἢ πλάγια, ἢ τὴν κεφαλὴν ἔχει πρὸς τοῖς βουβῶσι, χεῖρα δὲ μίαν ἢ τὸ ἓν σκέλος [3]πρὸς ...... καὶ τὰ στήθη ξέει ..... δερος ἢ ἀργοὺς βίου ....... φησὶ δυςτοκεῖν. Ἡ γὰρ [4]ἀργεία [5]δυςτοκίας αἰτία, τὰ δὲ γυμνάσια εὐτοκίας καὶ [6]τῆς κατὰ γαστρὸς εὐτροφίας. Ἁμαρτάνει δὲ καὶ οὗτος, μὴ πάντα τὰ αἴτια ἀναγράψας. Ἡρόφιλος δὲ ἐπὶ τῷ μαιωτικῷ λέγει δυςτοκεῖσθαι γοῦν, ὡς γὰρ Σίμωνος τοῦ Μάγνητος πολλάκις [7]ὡράθη, ὅτι τρεῖς ἀναπέντε [8]ἐκύησαν ἐργώδως. Γίνεται δὲ δυςτοκία πλαγίου γεννωμένου τοῦ ἐμβρύου, ἢ τοῦ αὐχένος τῆς μήτρας ἢ καὶ τοῦ στόματος οὐχ ἱκανῶς διεστῶτος, ἢ τοῦ ὑμένος τοῦ περιέχοντος τὸ ἔμβρυον, ὅπου τὸ ὕδωρ συλλέγεται, παχυτέρου ὄντος καὶ μὴ δυναμένου πρὸς τοῦ τόκου ῥαγῆναι. Ἑωρᾶσθαι δέ φησιν ἔμβρυα προπεπτωκότα ἄνευ τοῦ τὸν

---

[1] Fort. ταύταις φησὶν, εἰ καὶ ἐῤῥάγη, πρὸ τοῦ τὰ σώματα τὰς ὠδῖνας etc. Lob. [2] Ita recte P. [3] Locus lacunosus! [4] Scrib. ἀργία, Lob. [5] δυςτοκείας P. [6] τῶν P. τῆς ex Sched. [7] ἑωράθη ex Sched. [8] ἐκύησεν P. ἐκύησαν ex Sched.

ὑμένα ῥαγῆναι· τὰ δὲ τοιαῦτα, ἔτι ἐργώδως τίκτεσθαι δὲ [1]δυςτοκίᾳ, καὶ παρὰ τὸ ἀτονεῖν τὴν μήτραν ἢ τὸ στόμα· ἀπορία δέ ἐστι τοῦ ἀτονεῖν τὴν μήτραν ἐν τῷ σώματι. Καὶ παρὰ τὰ ἔξωθεν δὲ προςπίπτοντα καὶ προςφερόμενα καὶ ποιούμενα καὶ τὰ ἐκ τοῦ σώματος ἐκκρινόμενα αἱματώδη πλείονα ὑγρά [2]δυςτοκία γίνεται καὶ παρὰ τὸ διατεθῆναι ὑπο τοῦ ἐμβρύου τὴν μήτραν, ἢ διὰ τὸ τίκτειν γίνεται δυςέργεια, παρὰ τὸ [3]ψύχος, ἢ καῦμα, ἢ φύμα, ἢ ἀπόστημα ἐν τοῖς ἐντέροις, ἐν ἐπιγαστρίῳ· καὶ τὸ ἐν ὀσφύϊ δὲ καὶ ῥάχει γινόμενον κοίλωμα αἴτιον δυςτοκίας γίνεται· καὶ διὰ πιμελῶδες ἐν ἐπιγαστρίῳ καὶ ἐν ἰσχίῳ [4]δυςτοκία γίνεται, ὡς ἂν ἀποπιεζομένης τῆς μήτρας, καὶ διὰ τὸ τεθνηκέναι τὰ ἔμβρυα. Καὶ τοσαῦτα μὲν Ἡρόφιλος. Ὁ δὲ Ἀνδρέας ἐν τῷ πρὸς Σώβιον· ἔστι δὲ [5]ὑποστολικὸν τοῖς ὑπὸ Ἡροφίλου· συντέθειται μόνον προςθεὶς τὸ παραλελυμένον ἔμβρυον καὶ ἰσχνόν· τὰ γὰρ τοιαῦτά φησι βάρος μὴ ἔχοντα δυςτοκίαν ἐργάζονται. Ὁ δ' [6]Ἡρόφιλος Δημήτριος ἀντιδιαστέλλεται τοῖς ῥηθεῖσι λέγων· τὰ αἴτια τῆς δυςτοκίας τὰ μὲν παρ' αὐτὴν εἶναι τὴν τίκτουσαν, τὰ δὲ παρ' αὐτὸ εἶναι τὸ τικτόμενον, τὰ δὲ παρὰ τὸ, δι' οὗ ἡ ἔκτεξις γίνεται. Καὶ δὴ παρὰ τὸ [7]τεκὸν δυςτοκία γίνεται, ὅταν ἐν ψυχικῇ δυνάμει ᾖ τὸ αἴτιον, ἢ ἐν τῇ ζωτικῇ ἤγουν τοῖς σώμασιν. Καὶ ψυχικῇ μὲν δυνάμει γίνεται, ὅταν λύπη, χαρὰ, φόβος, δειλία, ἔκλυσις, [8]ὡς μὴ γένηται, τρυφὴ ὑπερτεταμένη. Ἔνιαι γάρ εἰσιν [9]σπαταλώδεις καὶ οὐκ ἐντείνονται, καὶ παρὰ ἀπορίαν τε τοῦ τίκτειν γίνεται συνεργεῖν τῇ ὠδῖνι· καὶ δι'

---

[1] δυςτοκίαν P. δυςτοκίαι ex Sched. Certe δυςτοκίᾳ. Lob. [2] Post ὑγρὰ interpungebatur. Lob. [3] Leg. ψῦχος et postea φῦμα. Lob. [4] δυςτοκυῖα P. [5] Fort. ἐπιβολικὸν. Lob. [6] Fort. Ἡροφιλεῖος. Lob. [7] τικὸν P. Scripsi τεκὸν. Lob. [8] Sic! ex Sched. [9] σπαταλώδης P. Dedi σπαταλώδεις. Lob.

ἐποχὴν δὲ διανοίας γίνεται, ἀμαυρᾶς [1] γὰρ γινομένης τῆς ἀλγηδόνος. Τοῦτο δ' ἄν τις εἴποι ἐπὶ τῶν ἀποπληκτικῶν γυναικῶν καὶ ληθαργικῶν· καὶ διὰ ὑπόνοιαν δὲ τοῦ μὴ συνειληφέναι δυστοκία γίνεται. Αἴτια δὲ τῆς ζωτικῆς δυνάμεως τῆς ἐν τοῖς σώμασι ταῦτα· ἀπειψία, ἀνορεξία, ἀτροφία, δύσπνοια, ὑστερικὴ πνίξ· ἐν δὲ τῇ δυνάμει τοῦ γενομένου αἰτίου ἀποτελεῖσθαι. Πάθη δυστοκιῶν· ὅταν λιπαρὸν ᾖ τὸ σῶμα ἄγαν, οὐ γὰρ [2] δύναται συμπαθεῖν διὰ τὴν ἀτονίαν, ἢ ὅταν πολλὴ [3] ἡ σὰρξ, τότε γίνεται δυστοκία· στενοῦνται γὰρ οἱ πόροι. Καὶ παρὰ τὸ ὑπερδιαφορεῖσθαι τὰ ὑγρὰ, ἀραιῶν ὄντων τῶν σωμάτων, γένοιτο δ' ἂν δυστοκία, καὶ παρὰ τὸ στενοῦσθαι τοὺς πόρους καὶ τὰ ὑγρὰ ἐπέχεσθαι. Καὶ αἱ ὑψηλαὶ δὲ γυναῖκες δυστοκοῦσιν, καὶ ὅσαι ἄνωθεν μὲν πλατεῖαί εἰσι, κάτωθεν δὲ στεναί. Ταῦτα λέγει Δημήτριος ὁ Ἡροφίλου. Οὐ γὰρ ἔχουσι τὸ φυσικὸν [4] ἄνιγμα τῶν σωμάτων. Καὶ παρὰ τὸ νοσεῖν δὲ τὸ σῶμα τῆς μήτρας δυστοκία γίνεται, οἷον εἰ εἴη ἐκ πυρὸς ἢ φλεγμονὴν ἔχον, ἢ ἔκκαυσιν, ἢ παράλυσιν, ἢ σπᾶται, ἢ [5] ναρκᾷ. Ταῦτα δὲ λέγει σωματικὰ, ἐπεὶ περὶ τοῖς σώμασι πλείω γίνεται· βαρυνόμενα γὰρ φύσει τὰ σώματα ὑπὸ τῶν ὑγρῶν ἀτονεῖ, καὶ θλιβόμενα στενοῖ τοὺς πόρους, δι' ὧν ἡ ἔκτεξις γίνεται. Καὶ δριμέα δὲ ὑγρὰ μὴ ἀμβλέα· μὴ κεντρίζοντα τὰ σώματα, ἢ καὶ τὸ ἀνάπαλιν, καὶ τὰ παχέα ὑγρὰ ὁμοίως [6] δυστοκίαν ποιεῖ, ἃ μὲν ἐν τῷ φέρειν πνεῦμα, ἃ δὲ ἐν τῷ ὀλίγον. Καὶ παρὰ μὲν τὴν κύουσαν τοσαῦτα ἂν γένοιτο αἴτια δυστοκίας· παρὰ δὲ τὸ κυούμενον, ὅταν ἢ ὑπερμέγεθες ὅλον ᾖ, ἢ κατὰ μέρος, οἷον εἰ ἔχει μεγάλην κεφαλὴν ἢ

[1] Deleatur γὰρ. Lob. [2] δύνασθαι P. Certe δύναται. Lob. [3] Fort. ἡ. ex Sched. [4] αἴνιγμα ex Sched. Fort. σχῆμα. Lob. [5] Legebatur ναρκῷν. Lob. [6] δυστοκία P. δυστοκίαν ex Sched.

θώρακα ἢ κοιλίαν ἐμπεπλησμένην, ὡς ἐπὶ [1]ὑγροκεφάλων. Οὐ γὰρ μόνον τὰ κατὰ φύσιν μεγάλα γίνεται ὅλῳ τῷ σώματι ἢ μέρεσιν, ἀλλὰ καὶ τὰ παρὰ φύσιν. Καὶ παρὰ πλῆθος δὲ δυςτοκία γίνεται, ὅταν ἤτοι δύο ἢ καὶ τριῶν καὶ ἀθρόως ἀμφότερα ἐρχόμενα τῷ τραχήλῳ τῆς μήτρας [2]σφηνοῦσθαι· ἢ παρὰ τὸ ἀποτεθνηκέναι τὸ ἔμβρυον καὶ μὴ συνεργεῖν τῇ ἀποτέξει, ἢ καὶ ἀποθανόντα διοιδηκέναι, ἢ παρὰ τὸ παρὰ φύσιν ἐσχηματίσθαι. [3]Τὸ γὰρ κατὰ φύσιν σχῆμα τοῖς γεννωμένοις τὸ ἐπὶ κεφαλήν ἐστι, παρατεταμένων τῶν χειρῶν τοῖς μηροῖς καὶ ἐπ' εὐθὺ φερομένου τοῦ ἐμβρύου· [4]τὸ δὲ παρὰ φύσιν, ἢ [5]παρακεκλιμένα τῇ κεφαλῇ εἰς τὰ δεξιὰ ἢ ἀριστερὰ μέρη τῆς μήτρας ἐρείδεται, ἢ μία χεὶρ ἔξω [6]ἐμπίπτει ἢ αἱ δύο, τὰ δὲ σκέλη ἔνδον [7]διεστήκασιν ἀπ' ἀλλήλων. Τῶν δὲ [8]σχηματισμῶν ἀμείνων ὁ ἐπὶ πόδας τέ ἐστι καὶ μάλιστα, ὅταν ἐπ' εὐθεῖαν φέρηται, τῶν χειρῶν παρὰ τοὺς μηροὺς παρατεταμένων· [9]τὸ δὲ, εἰ ἔν τινι τῶν σκελῶν προβεβληκότα, τὸ δ' ἕτερον, ἔνδον ἔχοντα ἢ δεδιπλωμένα ἢ ἐνερείδοντά τινι μέρει τῆς ὑστέρας διορθώσεως χρήζει, καὶ [10]τὸ τὰς χεῖρας ἀνατεταμένας ἔχειν. Τῶν δὲ λοιπῶν δύο σχηματισμῶν ἀμείνων ὁ πλάγιος· τρεῖς γάρ εἰσι πλάγιοι σχηματισμοὶ, ὅ,τε ἐπὶ [11]πλευρὰν ὁποτέραν καὶ ὁ ἐπὶ [12]σκολιάν. Ἀμείνων δὲ ὁ ἐπὶ πλευράν· τόπον γὰρ δίδωσι τῇ χειρὶ τῆς μαίας εἰς τὸ μετασχηματίσαι ἢ ἐπὶ κεφαλὴν ἢ ἐπὶ πόδας. Τὰ δὲ δεδιπλωμένα φερόμενα χείριστα

[1] Sic! ex Sched. Fort. ὑδροκεφάλων. Lob. [2] Leg. σφηνῶται. Lob. [3] cf. Aet. XVI, 23. ex Sched. [4] Legebatur τὰ. Lob. [5] Scrib. παρακεκλιμένη ἡ κεφαλὴ. Lob. [6] Fort. ἐκπίπτει. Lob. [7] In ora invenitur figura haec:  [8] Pro σχημάτων, ut P., malui σχηματισμῶν. Lob. [9] τὰ δὲ ἢ P. Scripsi τὸ δὲ, εἰ. Tum fort. προβεβηκότα. Lob. [10] τὸ τ. χ. ἀ. ἔχειν.] Leg. τὰ τ. χ. ἀ. ἔχοντα. Lob. [11] ἔμπροσθεν super πλευρὰν, ὄπισθεν super ὁποτέραν et τὰ πλάγια super ἐπὶ σκολιὰν in P. superscriptum est. [12] Fort. κοιλίαν, quod nobis statim infra se praebet. Lob.

πάντων τῶν σχηματισμῶν ἐστιν, καὶ τούτων ὅσα ἐπὶ τὰ ἰσχία φέρεται· τριχῶς δὲ καὶ τὰ δεδιπλωμένα σχηματίζεται, ἢ γὰρ πρὸς τῷ στόματι τῆς ὑστέρας, τά τε σκέλη καὶ ἡ κεφαλὴ ὑπάρχει, ἢ τὸ ἐπιγάστριον ἢ τὰ ἰσχία. Ἄμεινον δὲ τὴν κοιλίαν ἔχειν πρὸς τὸ στόμα τῆς ὑστέρας· διελόντων [1]γὰρ ἡμῶν τὸ ἐπιγάστριον καὶ κομισαμένων τὰ ἐντοσθίδια, συμπεσόντος τοῦ σώματος, εὐχερὴς γίνεται ὁ μετασχηματισμός. Γίνεται δυςτοκία καὶ παρὰ τὸ τερατῶδες κυίσκεσθαι, καὶ παρὰ τὸ γεγυμνῶσθαι δὲ τὸ ἔμβρυον, καὶ νυσσομένης τῆς μήτρας ὑπὸ τοῦ ὀστέου· γυμνοῦται δὲ τὸ ἔμβρυον τοῦ ὀστέου, [2]μυδούσης τῆς σαρκός· τοῦτο δὲ σπανίως γίνεται, ἢ πολλάκις ἀπείρως ἐμβρυουλκουμένου τοῦ ἐμβρύου ἀποσπῶνται σάρκες, καὶ τὰ γυμνούμενα ὀστέα νύσσει τὴν μήτραν. Παρὰ δὲ τὰ, δι᾽ ὧν ἡ ἔκτεξις, δυςτοκία γίνεται, ὅταν ἡ μήτρα [3]ἢ στενόστομος ἢ μικρόστομος ἢ μικροτράχηλος, ὡς ἐπίπαν δὲ αἱ μικρομεγέθεις τὴν ἡλικίαν καὶ τὴν μήτραν ἀναλογοῦσαν τοῖς λοιποῖς μέρεσι κέκτηνται. Γίνεται δὲ δυςτοκία καὶ παρὰ τὸ σκολιὸν ἔχειν τὸν τράχηλον τῆς μήτρας, ἢ παρὰ τὸ σάρκα παρὰ φύσιν ἐπιπεφυκέναι τῷ τραχήλῳ ἢ τῷ στόματι τῆς ὑστέρας, ἢ παρὰ τὸ φλεγμονὴν ἢ ἀπόστημα ἢ σκίῤῥον ἔχειν, ἢ παρὰ τὸ ἰσχυρὸν ὄντα τὸν τοῦ προῤῥήγματος χιτῶνα μὴ ἰσχύειν τὸ ἔμβρυον τοῦτον ἀποῤῥῆξαι· ἢ ἐκκριθέντος τοῦ ἠθροισμένου ἐν τῇ μήτρᾳ ὑγροῦ πρὸ τοῦ δέοντος καιροῦ, ἄνικμοι καὶ κατάξηροι μένουσιν οἱ τόποι κατ᾽ αὐτὸν τὸν χρόνον τῆς ἀποκυήσεως, ὅτε χρεία τούτου τοῦ ὑγροῦ, ὄλισθον καὶ εὐπετῆ διέξοδον παρέχοντος τοῦ ἐμβρύου. Ταῦτα δὲ γίνεται [4]τῷ εἶναι μικρόστομος ἢ μικροτράχηλος διὰ πολλὰς αἰτίας· ὅταν γὰρ πρόωροι γαμηθεῖσαι συλλάβωσι καὶ

[1] παρ᾽ P. γὰρ Act. ex Sched. [2] Scrib. μυδήσης. Lob. [3] Leg. ἢ. Lob. [4] τὸ P. τῷ ex Sched.

τίκτωσι, μηδέπω τῆς μήτρας τέλεον ηὐξημένης, μηδὲ τοῦ πυθμένος [1]ἀστέρος διεστῶτος. Ἤδη δὲ καὶ παρὰ τὴν φυσικὴν [2]ἰδιοσυστασίαν ἢ συγκρισίαν παρέπεται δυςτοκία· ἤδη γὰρ ἔνιαι φύσει τὴν μήτραν ἔχουσι μικρὰν ὡς καὶ ἄλλο τι μέρος τοῦ σώματος, ἢ [3]δὲ ἔτι καὶ τὸ ἀπὸ χηρείας πολυχρονίου συνειληφέναι· ἔνιαι δὲ καὶ διὰ τὸ [4]βεβηκέναι τῇ ἡλικίᾳ ἀτονοῦσαι· ἕτεραι δὲ διὰ τὸ [5]πρῶτον τίκτειν καὶ ἀγωνιᾷν καὶ ἀπείρως ἔχειν σχηματίζειν τὸ σῶμα. Ταῦτα πάντα αἴτια δυςτοκίας. Καὶ παρὰ τὸ πιέζεσθαι ὑπὸ κοπρίων ἢ ὑπὸ οὔρων, καὶ παρὰ τὸ λίθον ἔχειν ἐν τῇ κύστει τὴν τίκτουσαν, καὶ τῇ θλίψει τοῦ τραχήλου τῆς ὑστέρας δυςεργία γίνεται, ἢ παρὰ τὰ ἐν τῷ σώματι ἢ ἐντὸς ἢ ἐκτὸς, ἤγουν παρὰ τὸ κατάσαρκον καὶ καταπίμελον εἶναι τὴν τίκτουσαν, ἢ ὁ περιέχων ὑμὴν δυςδιαίρετος ἢ μὴ ἔχων ὑγρὸν εἰς ὄλισθον αὐτάρκη, ἢ τῶν τῆς ἥβης ὀστῶν ἀλλήλοις συμπεφυκότων, ὡς μὴ ἰσχύειν ἐν τῷ τόκῳ διάστασιν δέχεσθαι· καὶ γὰρ ἐπὶ τῶν γυναικῶν οὐχ ὥςπερ ἐπὶ τῶν ἀνδρῶν καθ᾽ ἁρμονίαν συμπεφύκασι [6]τὰ τῆς, ἀλλὰ σύνδεσμος ἰσχυρὸς ταῦτα πρὸς ἄλληλα συνδεῖ· καὶ παρὰ τὸ κοιλότερον εἶναι τὸν κατὰ τὴν ὀσφὺν τόπον, καὶ παραπιέζειν τὴν μήτραν. Τὰ δὲ ἐκτὸς τοῦ σώματος, οἷον [7]παρὰ τὸ μὴ προηγήσασθαι τὸ γυναικεῖον, ἢ ἐν μέθαις [8]ἠθῆσται, ἢ ἀγρυπνίαις, ἢ τὸ ὑπέρψυχρον καὶ χειμερινὴν εἶναι τὴν ὥραν, καὶ διὰ τοῦτο πυκνοῦσθαι τοὺς πόρους, ἢ τὸ ὑπέρθερμον καὶ ἐκλυτικὴν, ἢ ἀπειρίᾳ μαίας ἢ ἰατροῦ. Ἤδη δὲ καὶ παρὰ τὰς ὠδῖνας γίνεται, ὅταν γὰρ καὶ διατεινομένης σφόδρα ἢ [8]ἀποσπωμένου τοῦ

[1]Fort. ὑστέρας Lob. [2]διοσυστασίαν P. διασυστασίαν ex Sched. ἰδιοσυστασίαν dedi. Lob. [3]δὲ videtur abundare. Legebatur χηρίας. Lob. [4]Leg. προβεβηκέναι et statim ἀτονοῦσι. Lob. [5]πρώτερον P. πρῶτον ex Sched. [6]Sic P. Ex antecedentibus apparet, restituendum esse τὰ τῆς ἥβης ὀστᾶ. Lob. [7]παιδία P. παρὰ ex Sched. [8]εἰθίσθαι ex Sched. [9]ἀποσπωμένη P. Scripsi ἀποσπωμένου. Lob.

χορίου ἀπὸ μήτρας, ἢ κατὰ μέρος τὴν μήτραν θλίβοντος· ἢ γὰρ ἀθρόως προσιόντος, καὶ παρὰ τὸ μὴ καταφέρεσθαι τὸ αἷμα διὰ τῆς μήτρας εἰς τὸ χορίον, ἀλλ' ἐν αὐτοῖς εἰς τὴν μήτραν διαπεφυκόσι φλεβώδεσι καὶ ἀρτηριώδεσι μένοντος καὶ διατείνοντος τὰ ἀγγεῖα. Ἐπεὶ καὶ παρὰ τὴν ἄλλην ἀλγηδόνα γίνεται, ὡς ἐλέγομεν, δυςτοκία· ἀλγηδὼν δὲ ὁτὲ μὲν [1] μετὰ πνεύματος ὁτὲ δὲ μετὰ πνεύματος συμβαίνει καὶ τὰς ὠδῖνας γίνεσθαι. Τούτων οὖν ῥηθέντων τῶν αἰτίων, οὐδείς ἐστι ὁ [2] ἀντεῤῥήσας αὐτῷ καὶ ἀντειπὼν, ἀλλὰ καὶ μαρτυρήσας καὶ στηρίξας αὐτὸν, ὡς ἀληθῶς ἄρα καὶ λέγοιτο, εἰ μὴ ἄρα καὶ δικαίως ἐν τούτῳ μεμψαίμεθα τοὺς [3] Ἡροφίλους, ἐπεὶ δυνάμεις [4] ἐπιτεθιυίας φαμὲν ἐν τῷ περὶ νοσημάτων τόπῳ ὑπόστασιν μὴ ἔχειν· οὐδὲ γὰρ αὐτοὶ τὴν οὐσίαν αὐτῶν ὁμολογοῦσιν.

## μθ'. Πῶς σημειούμεθα τὰ αἴτια τῆς δυςτοκίας.

Τῶν ῥηθέντων αἰτίων τῆς δυςτοκίας ἃ μὲν ἐξ αὐτῶν ἐστι καταληπτέα, ἃ δὲ οὔ. Λύπη μὲν γὰρ ἂν ὑπερτεταμένη, [5] χαλᾷ καὶ ἀνίησι κατὰ τὰ ψυχικὰ αἴτια [6] ἐξ ἀνακρίσεως ἀνεληµφθῇ ὡς μὴ συνεργοῦντα τῇ εὐτοκίᾳ· κάρος δὲ καὶ λήθαργος πρόδηλά ἐστι· ἔτι δὲ τούτων σημεῖα ἐν τῷ περὶ ὀξέων μετάγεται [7] τόπῳ. Ἤδη δὲ καὶ τὸ μέγεθος τοῦ ἐμβρύου, δυςτοκίαν ποιοῦν, σημειούμεθα ἐκ τοῦ ὄγκου τῆς κοιλίας· ἐὰν γὰρ προπεσὸν μὴ κατὰ λόγον [8] κουφίζῃ τὴν κοιλίαν, ὑποληπτέον, πολλὰ εἶναι τὰ κυούμενα. Ἤδη δὲ καὶ τὰ πλάγια καὶ τὰ προβάλλοντα τὰς χεῖρας ἤτοι ἐσχηματισμένας ταῖς καθέσεσι τῶν δακτύ-

---

[1] ἄνευ ex Sched. [2] Sic! ex Sched. [3] Scrib. Ἡροφιλείους. Lob. [4] Fort. ἐπιτετακυίας. Lob. [5] χαλᾷν P. χαλᾷ ex Sched. [6] ἐξανακρίσεως ἀνεληµφθῇ P. [7] τόπου P. Scripsi τόπῳ. Lob. [8] Legebatur κουφίζοι. Lob.

λων σημειούμεθα αὐτάς· ἐὰν γὰρ ζῶον, ὠδίνει ἡ κύουσα καὶ ἐντείνουσα θερμόν τε αὐτῆς [1]τοῦ δακτυλίου καὶ αὐτὸ τὸ ἔμβρυον εὐανθὲς ὁρᾶται· ἐὰν δὲ ᾖ νεκρὸν, οὐχ οὕτως ὠδίνει ἡ κύουσα, τό, τε ἐπιγάστριον αὐτῆς ψυχρὸν γίνεται τῇ καθέσει τῶν δακτύλων, οὔτε θερμὸν ὑποπίπτει τὸ ἔμβρυον, οὔτε [2]ἀσθένον· ἐάν τε καὶ προπέσῃ τι μέρος, τοῦτο μέλαν καὶ νεκρῶδες εὑρίσκεται. Τὴν δὲ μήτραν πεπονθυῖαν σημειούμεθα ἐκ τῆς ἁφῆς, μετάγοντες τὰ ἐπὶ τῶν παθῶν ῥηθέντα σημεῖα· ἐὰν δὲ τῷ τόκῳ πάσχῃ, τὰς κινδυνευούσας ἐν τῷ τίκτειν σημειούμεθα ἐκ σφυγμοῦ, ἐξ ἀναπνοῆς· τὰς δὲ [3]ἀπολλυμένας, ἐκ τῆς ἀσφυξίας καὶ ἐκ τοῦ θανάσιμα ἔχειν τὰ σημεῖα.

## ν΄. Πῶς θεραπεύσομεν δυςτοκίαν κοινότερον καὶ ἐπιμέλεια δυςτοκίας.

Ἐπὶ τῶν δυςτοκουσῶν χρὴ τὸν ἰατρὸν [4]ἐπερωτᾷν τὴν μαῖαν, [5]εἴτε διὰ στέγνωσιν καὶ συναίρεσιν τῶν διοδευθησομένων ὑπὸ τοῦ ἐμβρύου χορίων, εἴτε διὰ ψύξιν τοῦ περιέχοντος ἢ θέρμην, εἴτε διὰ σκληρίαν τοῦ σώματος, εἴτε διὰ τὸ [6]κοίλην εἶναι τὴν ὀσφὺν, ἢ φύσει μικρομεγέθη τὴν ὑστέραν, ἢ πρόωρον σύλληψιν, ἢ πιμελῆς βάρος, ἢ θλίβοντας ὄγκους, ἢ λύπην, ἢ φόβον, ἢ τραχήλου σκολίωσιν, ἢ φλεγμονὴν, ἢ ξηρασίαν, ἢ ὁποιανδήποτε πρόφασιν [7]ἄλλην· τῇ ἀνέσει καὶ τῷ χαλάσματι δεῖ πρῶτον συνεργεῖν, καὶ μήτε εὐθέως ἐγχειρεῖν τῇ χειρουργίᾳ, μήτε ἐπὶ πολὺ συγχωρεῖν τῇ μαίᾳ διασπαράττειν τὴν μήτραν. Εἰ μὲν οὖν διὰ τὸ κοίλην ἔχειν τὴν ὀσφὺν τὴν τίκτουσαν ἡ δυςτοκία γίνοιτο, σχηματίζειν αὐτὴν

---

[1]Leg. τὸν δάκτυλον. Lob. [2]Sic! ex Sched. [3]ἀπολυμένας P. ἀπολλυμ. ex Sched. [4]ἐπωρωτᾷν P. Certe ἐπερωτᾷν. Lob. [5]εἴτε hic additur ex Sched. [6]κοινὴν P. κοίλην ex Sched. [7]ἄλλην τὴν ἄνεσιν P. Placuit ἄλλην· τῇ ἀνέσει etc. Lob.

χρὴ ἐπὶ τὰ γόνατα, ἵνα ἡ ὑστέρα μεταπεσοῦσα εἰς τὸν κατὰ τὸ ἐπιγάστριον τόπον κατ' εὐθὺ σχηματισθῇ τῷ τραχήλῳ, ὁμοίως δὲ καὶ τὰς πιμελώδεις καὶ κατασάρκους σχηματιστέον. Εἰ δὲ τὸ στόμιον τῆς ὑστέρας μέμυκε, τοῖς λιπάσμασι μαλάσσειν καὶ ἀναχαλᾷν, ἤγουν ἐγχυματίζειν συνεχῶς ἐλαίῳ γλυκεῖ τε καὶ θερμῷ, ἢ σὺν [1]ἀφεψήματι τήλεως ἢ μολόχης ἢ λινοσπέρμου, ποτὲ δὲ καὶ τῶν ὠῶν· [2]οὔτε γὰρ παρηγορεῖται εἰς [3]ἄνεσιν μὲν τὸ θλῖβον, νοτίζεται δὲ εἰς ὄλισθον τὸ δυςοδοῦν. Μετὰ δὲ ταῦτα καὶ καταπλάσσειν λινοσπέρμῳ ἢ [4]τήλει δι' ἐλαίου καὶ ὑδρομέλιτος τὸ ἐφήβαιον, ἐπιγάστριον, ὀσφύν· [5]ἐγκαθίζειν τε λιπαρῶς καὶ πυριᾷν διὰ σπόγγων, ῥάκεσιν συντόμως [6]ἀφαρπαζομένης τῆς ὑγρασίας. Ταῖς δὲ ἐν ὀδύνῃ καὶ κύστει ἐπιβάλλειν ἐλαίου θερμοῦ καὶ [7]μαρσίπου ὠμήλυσιν θερμὴν ἔχοντος· εἰ δὲ μή, καὶ διὰ [8]φορείου κινεῖν ἐν αέρι συμμέτρως θερμῷ μετεωροτέραν τὴν κεφαλὴν ποιήσαντες τῆς καμνούσης· λεληθυῖα γὰρ κίνησις, [9]ὑπομιμνήσκει τὴν ἔκκρισιν. Ἔνιοι δὲ καὶ κατασεισμοὺς εὐτόνους παρέλαβον· οἱ μὲν γὰρ μετεωρίσαντες τοὺς περὶ τὴν κεφαλὴν τῆς κλίνης πόδας, τὴν δὲ κάμνουσαν διὰ [10]κηρίας ἐν τοῖς [11]ὀνηλάτοις τῷ θώρακι προςκαταλαβόντες προςέταξαν [12]ὑπηρέτιδι τὰ πρὸς τοῖς ποσὶ τῆς κλίνης μέρη διὰ χειρῶν [13]παίρειν τε καὶ ἀφιέναι κατὰ [14]τοὺς ἐλάφους τὸ κλιμάκιον ἐδοκίμαζον· οἱ δὲ περιπατεῖν ἠνάγκαζον· οἱ δὲ κλίμακας ἀναβαίνειν

---

[1]ἀποψήματι P. ἀφεψήματι videtur. Lob. [2]οὕτω ex Sched. [3]ἀνάνεσιν P. ἄνεσιν ex Sched. [4]τήλι legebatur. Lob. [5]ἐγκαθίζει P. ἐγκαθίζειν ex Sched. [6]ἀπαρπαζομένης scribebatur. Lob. [7]π' ὠμὴ λύσει P. Dedi ὠμήλυσιν. Lob. [8]φορίου P. Scripsi φορείου. Lob. [9]ὑπομνήσκει P. ὑπομιμνήσκει ex Sched. [10]καιρίας ex Sched. [11]Leg. ἐνηλάτοις. Lob. [12]ὑπηρετεῖ P. ὑπηρέτιδι. Lob. [13]ἐπερεῖν P. Sine dubio ἐπαίρειν. Lob. [14]τοὺς ἐλάφους P. Fort. τοῦ ἐδάφους. Lob.

καὶ καταβαίνειν· οἱ δὲ κατόπιν στάντα τινὰ τῆς τικτούσης καὶ ὑπολαβόντα ταῖς μασχάλαις τὰς χεῖρας [1]ἐξᾶραι ἢ καὶ εὐτόνως κατασεῖσαι. Πάντας δὲ τοὺς τοιούτους κατασεισμοὺς ἀποδοκιμαστέον· πληττομένη γὰρ ἡ μήτρα πλήξεις καὶ συμπαθείας ἐπιφέρει· χρηστέον δὲ τοῖς ἔμπροσθεν ὑποδειχθεῖσι, καὶ τὴν μὲν ὠδινοῦσαν ἐπιθαῤῥεῖν [2]παραινετέον ὡς ἐν ἀκινδύνῳ τυγχάνουσαν, τὴν δὲ ἄπειρον ὠδίνων διδακτέον ἐν τοῖς τόποις μάλιστα τὸ πνεῦμα κατέχειν καὶ πρὸς τὴν λαγόνα συνωθεῖν, τὴν δὲ λειποθυμοῦσαν τοῖς ἀπλήκτοις ἀναληπτέον, οἷον ἄρτῳ, [3]σικύῳ πέπονι, ἀλφίτῳ νενοτισμένοις, μήλῳ, πᾶσι τοῖς παραπλησίοις, τὴν δὲ ἄτονον μὲν διὰ μακρὰς ἀσθενείας, [4]βραχέος κουφισμοῦ παρεμπεσόντος, θρεπτέον ὀλίγῃ καὶ ἁπλῇ τροφῇ· φόβος γάρ ἐστι μὴ διὰ τὴν ταραχὴν, ἢ πλείω φθαρῇ καὶ [5]μεταλάβῃ. Τούτων οὖν γινομένων [6]εἰ τὸ μεμυκὸς διὰ τῶν μαλακτικῶν καὶ λιπασμάτων ἀνοίγειν καὶ ἀπευθύνειν τὸν τράχηλον, εἰ σκολιός ἐστιν, παραστέλλειν δὲ μετὰ λιπασμοῦ τὸν ὄγκον, εἰ παρακείμενος εἴη· εἰ δὲ μὴ, διὰ χειρουργίας ἐκκόπτειν, εἴτε θύμος ἐστὶν, εἴτε κόνδυλος ἀπὸ [7]ἐπαναστάσεως, εἴτε διαφράττων ὑμὴν, ἢ σαρκὸς περίφυσις, ἢ ἄλλο τι τῶν τοιούτων ἐμποδίζον. Τῶν [8]περίττωμα δὲ κατεχομένων ἐκβαλεῖν [9]σκύβαλον διὰ κλυστῆρος ὑδρελαίου ἢ ὑδρομέλιτος ἐνεθέντος· τὸ δὲ οὖρον κομιστέον διὰ τοῦ καθετῆρος, εἰ πεπληρωμένη ἡ κύστις οὔρου εἴη. Λίθου δὲ αἰτίου ὄντος ἐσφηνωμένου, διώσασθαι χρὴ τὸν λίθον καθετῆρι ἐκ τοῦ τραχήλου τῆς κύστεως καὶ εἰς τὸ κύτος ἀπωθεῖν· χορίον δὲ μὴ

---

[1] ἐξέραι P. Scripsi ἐξᾶραι. Lob. [2] παραινεκτέον P. παραινετέον videtur. Lob. [3] Interpungebatur inter σικύῳ et πέπονι. Lob. [4] βραχέως et mox ὀλίγου erat in P. Lob. [5] μεταβάλῃ ex Sched. [6] ἢ ex Sched. Fort. δεῖ. Lob. [7] ἐπαναστάσεις P. —σεως ex Sched. [8] Fort περιττωμάτων. Lob. [9] σκυβάλων P. Desideratur σκύβαλον. Lob.

ἀναστομούμενον [1]κατιᾶ δεῖ προςεχόντως διαιρεῖν τῷ δακτύλῳ προςκοιλαίνοντά τι μέρος· προεκκεκριμένου δὲ τοῦ ὑγροῦ, διὰ κλυστηριδίου τι τῶν λιπαρῶν ὑγρῶν εἰς τὸν γυναικεῖον ἐνιέναι κόλπον. Παρὰ φύσιν δὲ ἐσχηματισμένου τοῦ ἐμβρύου, τὸν κατὰ φύσιν ἀποδιδόναι σχηματισμὸν· καὶ εἰ μὲν ἐπὶ κεφαλὴν ἐνεχθὲν παρεγκέκλιται, [2]καθεῖναι τὴν εὐώνυμον χεῖρα λελιπασμένην, ὠνυχισμένων τῶν ἄκρων εἰς τὸ μὴ νύσσειν ἐκτεταμένων τῶν δακτύλων κατὰ τοὺς ῥῶγας, [3]συμβεβλημένον ἀλλήλοις μυούρου χάριν [4]σχηματισμοῦ εἰς τὸ ἀσκυλτότερον τῆς καθέσεως, καθ' ὃν καιρὸν φυσικῶς τὸ τῆς ὑστέρας διαστέλλεται στόμιον, εἰς τὸ μὴ [5]συνιόντος αὐτοῦ καὶ συστελλομένου μετὰ σκληρᾶς ἀντιβάσεως γίνεσθαι τὴν ἔνθεσιν τοῦ ἐμβρύου· λαβόμενον κατ' εὐθὺ τοῦ στόματος τῆς ὑστέρας, παράγειν αὐτὸ συνεργοῦντα τῇ μεταθέσει καὶ διὰ τῆς ἀκολούθου κατακλίσεως· ἐπὶ γὰρ τὸ ἀντικείμενον μέρος ἐσχηματίσθαι δεῖ τὴν κάμνουσαν, ἐπὶ δεξιὰν μὲν εἰ τύχοι πλευρὰν, εἰς τὰ εὐώνυμα τοῦ ἐμβρύου παρεγκεκλικότος· ἐπὶ δὲ τὴν ἀριστερὰν, ἐπὶ τὰ δεξιὰ τοῦ ἐμβρύου τὴν ὁρμὴν λαβόντος. [6]Ὑπτίαν δὲ κατωφερῆ τὴν θέσιν ἔχουσαν, εἰς [7]τὰ ἔνδον καὶ ὡς ἐπ' ὀσφὺν τοῦ ἐμβρύου παρεγκλίνοντος, [8]πρηνῆ δὲ ἐπὶ γονάτων, εἰς τὰ ἔμπροσθεν καὶ ὡς πρὸς τὸ ἐπιγάστριον τοῦ βρέφους παρεγκλίναντος· εἰ δὲ καὶ μετὰ σφηνώσεως γέγονεν ἡ παρέγκλισις, ἀναβιβάζειν πρότερον τὸ ἔμβρυον καὶ μετεωρίζειν, ὥςτε ἀπὸ τοῦ στομίου τῆς ὑστέρας ἀποστῆναι, καὶ οὕτως ἀπευθύνειν· εἰ δὲ καὶ χεῖρα προβέβληκεν, μὴ ἐπισπᾶσθαι, λαβόμενον αὐτῆς· μᾶλλον γὰρ ἐπισφηνοῦται, προςανακλω-

---

[1] κατιᾶ P. κατιάδι ex Sched. Fort. καθετῆρι. Lob. [2] καθῆναι legebatur. Lob. [3] Ut hodie. ex Sched. [4] σχηματισμὸν P. —μοῦ ex Sched. [5] συνιέντος P. συνιόντος ex Sched. [6] ὑπτία legebatur. Lob. [7] τὰς ἔνδων P. Dedi τὰ ἔνδον. Lob. [8] πρινὴ P. πρηνῆ ex Sched.

μένης ἢ ἐπινευούσης τῆς κεφαλῆς, ἢ ἔξαρθρον γίνεται· ποτὲ δὲ ἀποῤῥήγνυται κατὰ τοὺς ὤμους· τοὺς δακτύλους ἄκρως [1]ἐπερείσαντας προανωθεῖν αὐτὸ κἂν τῷ κύτει γενόμενον, ἀπευθύνειν κάμψαντα τὸν ἀγκῶνα καὶ οὕτως [2]πλευρᾷ τε καὶ μηρῷ παρατείναντας τὴν χεῖρα πρὸς τὸ ἀπαραπόδιστον τῆς ἀποτέξεως· εἰ δὲ ἀμφοτέρας προβέβληκεν τὰς χεῖρας, κατὰ τῶν δυοῖν ὤμων ἄκρως ἐρείσαντας τοὺς δακτύλους, ἀνωθεῖν αὐτὸ, κἄπειτα τοὺς βραχίονας ἀπώσαντα, κάμψαντα δὲ τοὺς ἀγκῶνας, ἐπὶ πλευρὰν παρατείναντα τὰς χεῖρας τοῖς μηροῖς, καὶ τοῦ κεφαλίου λαβόμενον, ἐξέλκειν ἠρέμα. [3]Ὡς εἰ δὲ μικροῦ τοῦ κεφαλίου τυγχάνοντος τὰς δύο προβέβληκε χεῖρας, ἀνευθύνειν μὲν τὸ κεφάλιον ἀνακεκλασμένον, συλλαμβανόμενον δὲ τῶν χειρῶν ἐπισπᾶσθαι· διὰ γὰρ τὴν μικρότητα τοῦ κεφαλίου σφήνωσις ἐνιάκις οὐ γίνεται. Εἰ δὲ ἐπὶ πόδας ἐνεχθὲν παρεγκέκλικεν εἴς τι μέρος, μετακτέον αὐτὸ καὶ ἐπευθυντέον τῷ ἐπὶ κεφαλὴν παραπλησίως· εἰ δὲ τὸν ἕτερον πόδα προβέβληκε, πάλιν μὲν οὐ δεῖ τοῦτον λαβόμενον ἕλκειν· μᾶλλον γὰρ σφηνοῦται τὸ ἔμβρυον τοῦ ἑτέρου συγκαμπτομένου· τοὺς δακτύλους δὲ ἄκρους κατὰ τὸν [4]περὶ τὸν κίου τόπον ἐρείδειν καὶ εἰς τὸ κύτος ἀπωσάμενον ἀπὸ τῆς μήτρας, εἶτα καθέντα τὰς χεῖρας τὸ ἕτερον σκέλος ἁπλοῦν [5]καὶ τῷ ἑτέρῳ παρεκτείνειν. Εἰ δὲ τοὺς δύο πόδας προβέβληκε τῆς ἑτέρας χειρὸς ἀνακεκλασμένης ἢ καὶ τῶν δυοῖν πάλιν ὡσαύτως ἀνωθεῖν τὸ ἔμβρυον καὶ τὰς χεῖρας καταστέλλειν. Εἰ δὲ [6]διαστῆσαν τοὺς πόδας διαφόροις μέρεσι τῆς ὑστέρας [7]ἐνειρήκει

---

[1] ἐπερίσαντας P. Substitui ἐπερείσαντας, quod deinde invenitur. Lob. [2] Erat πλευράν. Lob. [3] Leg. Ὅσα. Lob. [4] περίνεον ex Sched. [5] Legebatur καὶ τῷ ἑτέρῳ, παρεκτείνειν δὲ τοὺς etc. Sine dubio scribendum: καὶ τῷ ἑτέρῳ παρεκτείνειν. Εἰ δὲ τοὺς etc. Lob. [6] Scrib. διέστησαν. Lob. [7] καὶ ex Sched. Fort. Εἰ διέστησαν —ὑστέρας, ἐνείρειν καὶ ζευγνύειν τούτους καὶ etc. Lob.

ζευγνύειν τούτους κατ' εὐθὺ τοῦ στομίου τῆς ὑστέρας τάσσειν. Εἰ δὲ ἐπὶ γόνατα τὴν ὁρμὴν εἴληφεν, [1]ἀνωθεῖν αὐτὸ, καὶ οὕτως τῶν σκελῶν ἁπλωθέντων ἐπὶ πόδας ἐξέλκειν. Εἰ δὲ ἐπὶ πυγὴν ἐνήνεκται, καὶ τοῦτο ἀναβιβάζειν, εἶτα τὰ σκέλη ἐξαπλοῦν, τὰς χεῖρας δὲ παρατείναντα τοῖς μηροῖς, ἐπὶ πόδας ἐξέλκειν· [2]εἶτα πλάγιον ἐπικείμενον, εἰ μὲν πρηνὲς ὕπτιον πράως αὐτὸ διὰ τῶν δακτύλων ἐπὶ πλευρὰν στρέφειν, ὅπως εἰς κάθεσιν τῇ χειρὶ γένηται τόπος. Εἰ δὲ αὐτόθεν ἐπὶ πλευρὰν ἐσχηματισμένον ὑπάρχει, [3]παρενίραντα τὴν χεῖρα πράως ἀνατρέπειν αὐτό· πλὴν ἀνίσου μὲν τοῦ πλαγιασμοῦ τυγχάνοντος κατὰ τὰ μᾶλλον ἀποκεκρυμμένα τοῦ σώματος [4]ἢ κατὰ τοὺς πόδας· [5]ἀμείνων γὰρ ὁ ἐπὶ κεφαλὴν σχηματισμὸς, προδιοδευθέντων τῶν πλατυτέρων, μὴ προςαναπλωμένων τῶν χειρῶν. Εἰ δὲ διπλοῦν εἴη τὸ ἔμβρυον, ἄνω μὲν τοῦ διπλώματος ὑπάρχοντος, ἐξίσου δὲ τῶν ἄκρων ἀλλήλοις παρακειμένων, ἁπλοῦντες [6]αὐτὸ προςανωθοῦντες τοὺς κατὰ σκέλη τόπους· ἀνίσου δὲ τοῦ διπλώματος ὄντος, στρέφειν αὐτὸ πρῶτον καὶ τὸ δίπλωμα πρὸς τὸν πυθμένα ποιεῖν· εἶτα ἁπλοῦν ἀνατρέποντα καθάπερ εἰρήκαμεν. Εἰ δὲ πλέον τοῦ ἑνὸς ἐμβρύου καταφέροιτο, πάλιν [7]ἀνωθεῖν αὐτὰ καὶ ἀνατρέπειν ὡς ἐπὶ τὸ κύτος ἢ καθ' ἓν κομίζεσθαι. Πάντα δὲ ποιεῖν ἠρέμα καὶ ἀπεριθλάστως καὶ συνεχῶς ἐλαιοχυτοῦντα τοὺς τόπους, ὥςτε καὶ τὴν κύουσαν ἀσυμπαθῆ καὶ τὸ κυούμενον σῶον διαφυλάξαι· πολλὰ γὰρ οὕτως [8]δυςτοκηθέντα βιώσαντα βλέπομεν. Εἰ δὲ μὴ ἐπακούοι πρὸς τὴν διὰ τῶν χειρῶν [9]ἐπολκὴν, διὰ μέγεθος ἢ νέκρω-

---

[1] ἄνωθεν P. ἀνωθεῖν ex Sched. [2] εἴτε πλάγιον ἢ ὑποκείμενον ex Sched. [3] Leg. παρενείραντα. Lob. [4] ὁ P. Posui ἢ. Lob. [5] ἀμείνους P. Dedi ἀμείνων. Lob. [6] πρὸς τὸ ex Sched. [7] ἄνωθεν ut antea offendebat. Lob. [8] δυςτοκυιθέντα legebatur. Lob. [9] Leg. ἐφολκήν. ex Sched.

σιν ἢ καθ' οἱονδηποτοῦν τρόπον σφήνωσιν, ἐπὶ τοὺς εὐτονωτέρους τρόπους δεῖ μετελθεῖν, τὸν τῆς ἐμβρυουλκίας καὶ τῆς ἐμβρυοτομίας· καὶ γὰρ εἰ τὸ κυηθὲν διαφθείρει, τὴν κυοφοροῦσαν τηρεῖν ἀναγκαῖον. Διόπερ τὸν μὲν ἐπικείμενον δεῖ προλέγειν κίνδυνον, πυρετῶν ἐπιγινομένων καὶ νευρικῆς συμπαθείας, ἔσθ' ὅπου δὲ καὶ φλεγμονῆς ὑπερβαλλούσης· [1]καὶ γάγγραινα μάλιστα ὑποφαίνειν, ὀλίγας ἐλπίδας ἔχειν· ἐφ' ἧς ἔκλυσις, περιίδρωσις, περίψυξις, σφυγμῶν ὑπόδυσις, πυρετὸς ὀξὺς, παρακοπή τε καὶ σπασμός· μὴ ἀφίστασθαι δὲ ὅμως βοηθείας.

## να΄. Περὶ ἐμβρυοτομίας καὶ ἐμβρυουλκίας.

Προσήκει τὸν ἰατρὸν πρότερον ἐπὶ τούτων σημειοῦσθαι, εἴτε [2]περιεστικῶς ἔχοιεν, εἴτε καὶ μὴ, καὶ ἤτοι ἐγχειρῆσαι ἢ ἀπαγορεῦσαι. Αἱ μὲν οὖν ὀλεθρίως διακείμεναι καταφέρονται ληθαργωδῶς, καὶ ἐμπύρετοί εἰσι καὶ σχεδὸν [3]ἄφωνοι, κἂν ἀνακλιθῶσι πρὸς τὰς ἐκβοήσεις ἀσθενῶς ἀποκρινόμεναι, πάλιν καταφέρονται· τινὲς δὲ καὶ συνέλκονται σπασμωδῶς ἢ τρέμουσιν, ὁ δὲ σφυγμὸς πυκνότατος καὶ ἀσθενέστατος καταλαμβάνεται· αἱ δὲ σωθησόμεναι οὐδὲν τοιοῦτον πάσχουσι. Κατακλινέσθω τοίνυν ἐπὶ τῆς κλίνης ὑπτία καὶ μᾶλλον κατάῤῥοπος· πᾶσαν σχηματίζειν καταφερῶς, [4]ἀντιβατικώτερον ἐστρωμένης, ὡς μὴ πρὸς τὸ εἶκον ἐνδιδόναι, τὴν ὀσφὺν, διεστώτων δὲ τῶν μηρῶν καὶ [5]συνηγμένων πρὸς τὸ ἐπιγάστριον τῶν ποδῶν, ἐπὶ τοῦ ἐνηλάτου στηρίζειν, εἶτα ἑκατέρωθεν δι' ὑπηρετῶν τὸ σῶμα κατέχειν, ἢ γυναῖκες ἔμπειροι καὶ ἰσχυραὶ ἑκατέρωθεν· εἰ δὲ μὴ [6]παρήεισαν, διὰ

---

[1] Fort. κἂν — ὑποφαίνῃ. In sqq. περίψυξις σφυγμῶν, ὑπόδυσις interpungebatur. Lob. [2] περιεστηκῶς P. Certe περιεστικῶς Lob. [3] ἄφωναι P. Scripsi ἄφωνοι. Lob. [4] ἀντιβαθυκώτερον P. Sine dubio ἀντιβατικώτερον. Lob. [5] συνειγμένων P. Rectius συνηγμ. Lob. [6] Scrib. παρείησαν. Lob.

[1]κηρίας τῷ κλινιδίῳ τὸν θώρακα προςλαμβάνειν, ὥςτε μὴ πρὸς τοὺς ἐπισπασμοὺς τοῦ ἐμβρύου [2]ἐπακολουθεῖν τὸ σῶμα τῆς καμνούσης, τὸν τῆς ὁλκῆς τόνον [3]ὑπεκλύσαι. Καθίζειν δὲ [4]αὐτὸ ἀντικρὺς ὀλίγον ταπεινότερον πρὸς τὸ τὰς χεῖρας ἐπίσης τοῖς ποσὶν τῆς καμνούσης ὑπάρχειν, καὶ παραστελλομένων τῶν πτερυγωμάτων ἑκατέρωθεν δι' ὑπηρετῶν πάλιν, τὴν εὐώνυμον χεῖρα διὰ τὸ καὶ προςηνεστέραν εἶναι τῆς δεξιᾶς καὶ μετ' εὐπρεπείας [5]εὐεργέστερον καθίεσθαι, συνηγμένων κατὰ κορυφὰς εἰς μείουρον τῶν δακτύλων καὶ λελιπασμένων, καθιέναι καὶ διεστῶτος τοῦ στομίου τῆς ὑστέρας, εἰ δὲ μὴ, θλίψιν καὶ σύσχεσιν ἐλαιοχυτήσεσι [6]προςαναχαλασθέντος. Ἔπειτα πειρᾶσθαι τὸ παρεγκεκλικὸς, [7]εἰ δυνατὸν, ἀπευθύνειν καὶ ζητεῖν τόπον εἰς κατάπαρσιν ἐμβρυούλκου, πρὸς τὸ μὴ ἐκπεσεῖν ῥᾳδίως. Ἐπιτήδειοι δὲ πρὸς καταπαρμὸν τόποι [8]τῷ μὲν ἐπὶ κεφαλὴν, ὀφθαλμοὶ καὶ ἠνίον καὶ στόμα πρὸς οὐρανίσκον, καὶ κλεῖδες καὶ οἱ ὑπὸ πλευρὰν τόποι· μασχάλαι δὲ οὐδαμῶς· ἐν γὰρ ταῖς διολκαῖς ἐπιδιισταμένων τῶν βραχιόνων εἰς σφήνωσιν [9]ἡ τοῦ ἐμβρύου πλατύνεται περιοχή· ἀλλ' οὐδὲ οἱ ἀκουστικοὶ πόροι δυςπαράδεκτοι διὰ σκολιότητα καὶ στενοὶ λίαν· τῶν δὲ ἐπὶ πόδας, τὰ ὑπὲρ τῆς ἥβης ὀστέα, καὶ [10]μεσοπλεύρια καὶ [11]κατακλίδες. Ὅταν δὲ τῶν εἰρημένων μηδεὶς εὑρίσκηται τόπος, εἰς [12]κατάπαρσιν ἑτοιμάζεται [13]πάθη διαίρεσις. Θερμῷ δεῖ ἐλαίῳ προκεχλιασμένον τὸν ἐμβρυοῦλκον τῇ δεξιᾷ χειρὶ κατέχειν, τὴν καμπὴν δὲ αὐτοῦ τοῖς δακτύλοις κρύψαντας, τῇ εὐωνύμῳ χειρὶ πράως συνεις-

[1]Fort. melius κειρίας. Lob. [2]μὴ hoc loco iteratum delevi. Lob. [3]ὑπ' ἐγκλύσῃ P. ὑπεκλύσαι ex Sched. [4]αὐτὸν ex Sched. [5]ἐνεργέστερον ex Sched. [6]Fort. προαναχαλ. Lob. [7]Scribebatur ἢ. Lob. [8]Leg. τῶν, et pro ἠνίον fort. ἰνίον. Lob. [9]Legeb. ἢ. Lob. [10]μεπλεύρια P. μεσοπλεύρια ex Sched. [11]Fort. κατακλεῖδες. Lob. [12]κατάπαλσιν P. Certe κατάπαρσιν. Lob. [13]ποθ' ἡ ex Sched. Fort. ποιὰ. Lob.

φέρειν καὶ καταπείρειν εἴς τινα τόπον ἄχρι κενεμβατήσεως [1]εἰρήκαμεν· καταπείρειν δὲ καὶ ἀντίθετον τούτων [2]δεύτερον, ὅπως ἰσόῤῥοπος καὶ μὴ ἑτεροκλινὴς ἐπισπασμὸς [3]ἐπιτελῆται, καὶ διὰ τοῦτο τοῦ μέρους παρεγκλίνοντος σφήνωσιν ὑπομένῃ τὸ ἔμβρυον· εἶτα διδόναι τοὺς ἐμβρυούλκους ἐμπείρῳ τινὶ κατέχειν καὶ παραινεῖν, ὅπως πειθηνίως δι' αὐτῶν [4]ἐφέλκηται τὸ ἔμβρυον, μήτε σπαράττων ἐν τοῖς ἐπισπασμοῖς, μήτε πάλιν ἀνιείς. Ἀνατρέχει γὰρ τὸ προκύψαν ἀνεθὲν, ἀλλ' ὅταν δέῃ τὴν ἐφολκὴν ἐπισχεῖν, ἐν τῇ προϋπαρχούσῃ [5]τάσει φυλάσσων τοὺς ἐμβρυούλκους, μήτε μόνον ἐπ' εὐθείας [6]ἐπισπώμενος, ἀλλὰ καὶ εἰς τὰ πλάγια παρεγκλίνων, ὃν τρόπον ἐν ταῖς κομιδαῖς γίνεται τῶν ὀδόντων· οὕτω γὰρ ὑπὸ τῆς [7]μοχλείας μετασχηματιζόμενον τὸ ἔμβρυον τούς τε τόπους [8]ἀνευρύνει καὶ εὐκόμιστον γενήσεται. Τούτῳ δὲ τῷ τρόπῳ δεξιῶς ὑπηρετούμενον καθιέμενον τὸν λιχανὸν δάκτυλον μεταξὺ τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ ἐσφηνωμένου σώματος [9]περιάγειν κυκλοτερῶς, οἱονεὶ περιδέροντας καὶ εὐθύνοντας τὸ ἑτεροκλινῶς φερόμενον, καὶ τοὺς τόπους ἐλαίῳ θερμῷ διαβρέχειν, ἤ τινι τῶν εἰρημένων γλίσχρων ἀφεψημάτων. Κατὰ μέντοι [10]τὸν τῶν ἐμβρυούλκων ἐπισπασμὸν μὴ εὐθέως ὑπακούοντος εἰς ἐξολκὴν τοῦ ἐμβρύου, κατ' ὀλίγον δὲ καὶ πρὸς λόγον τῆς ἐξολκῆς ἐπακολουθοῦντος [11]τὸν μὲν πρῶτον ἐμβρυοῦλκον, ὅντινα μεταπείρειν εἰς τὰ ὑπερκείμενα δεήσει, κἄπειτα τὸν δεύτερον καὶ τοῦτο κατὰ τάξιν, ἕως ἂν ὅλον τὸ τοῦ ἐμβρύου σῶμα διοδεύσῃ· ὡσαύτως δὲ ἐνεργεῖν, κἂν ἐπὶ πόδας φέ-

[1] εὑρήκαμεν ex Sched. Fort. ὡς εἰρήκαμεν Lob. [2] δεύτερος P. δεύτερον ex Sched. [3] ἐπιτελεῦται P. Dedi ἐπιτελῆται. Lob. [4] Offendebat ἐφέλκυται. Lob. [5] τάσσει P. τάσει ex Sched. [6] ἐπισμώμενον P. Scripsi ἐπισπώμενος. Lob. [7] μοχλίας P. Posui μοχλείας. Lob. [8] ἀνευρύνειν P. ἀνευρύνει debet esse. Lob. [9] περιάγει P. —άγειν ex Sched. [10] τὸ P. τὸν ex Sched. [11] τὸν add. ex Sched.

ρηται. [1]Προβεβλημένου δὲ τῇ χειρὶ, ὡς καὶ ἀνατρέπεσθαι μὴ δυναμένου διὰ τὴν ὑπερβάλλουσαν σφήνωσιν, ἢ καὶ ἀποτεθνηκότος ἤδη τοῦ ἐμβρύου, καθὼς συμβάλλομεν ἐκ τοῦ μήτε ἐνερευθὲς εἶναι τὸ μέρος, μήτε θερμὸν, μήτε [2]σφύζειν, πελιὸν δὲ καὶ ψυχρὸν καὶ ἄψυκτον, περιβάλλοντα δεῖ ῥάκη εἰς τὸ μὴ ὀλισθαίνειν ποσῶς ἐπισπᾶσθαι· κατασχόντα δὲ πρὸς τὰ ἐμφανέστερα γενέσθαι τὰ ὑπερκείμενα ἀποκόπτειν ἀπὸ τοῦ κατὰ τὸν ὦμον ἄρθρου· τὸ δὲ αὐτὸ ποιεῖν καὶ σκέλους προπεσόντος· εἶτα τοῖς δακτύλοις ἀναστρέψαντα τὸ ἄλλον σῶμα διὰ τῆς [3]καταπάρσεως τῶν ἐμβρυούλκων κομίζεσθαι. Τῶν δυοῖν δὲ χειρῶν προβεβλημένων καὶ μήτε ἀνατρέπεσθαι δυναμένων, μήτε παρακούεσθαι, τοῖς σπασμοῖς, εἰς τὴν μίαν καὶ τὰς δύο διὰ τῆς παρὰ τοῖς [4]ἀκρωμίοις περικοπῆς [5]ἀναιρεῖν· εἰ δὲ μείζονος τοῦ κεφαλίου ὑπάρχοντος ἡ σφήνωσις ἀποτελοῖτο, διὰ τοῦ ἐμβρυοτόμου ἢ τοῦ πολυπικοῦ σπαθίου κρυπτομένου μεταξὺ λιχανοῦ καὶ τοῦ μικροῦ δακτύλου κατὰ τὴν ἔνθεσιν, εἰ μὲν ὑγροκέφαλον εἴη τὸ βρέφος, διαιρεῖν, ἵνα τοῦ ὑγροῦ κενωθέντος ἡ περιοχὴ συμπέσῃ τῆς κεφαλῆς, εἰ δὲ φυσικῶς ἁδροκέφαλον, τῇ χειρὶ συνθλάσαντα τὴν κεφαλὴν, συνήκει εὐμαρῶς, ἁπαλῶν ἔτι τῶν σωμάτων ὄντων, εἰ δὲ μὴ, τῷ σπαθίῳ καὶ τὸ κρανίον διαιρεῖν καλόν, [6]ἢ κατὰ τὸν τοῦ βρέγματος τόπον, εἰ δὲ μὴ, καθ' οἱονδήποτε [7]τόπον. [8]Προεκκριθέντος γὰρ [9]τοῦ ἐγκεφάλου, συμπίπτει τὸ κεφάλιον, τὰ χείλη δὲ τῆς διαιρέσεως [10]ἀποστρέφειν καὶ συνθραύειν τὰ ὀστάρια

---

[1]προβεβλημένον, quod praebet P., mutavi in προβεβλημένου. Deleatur sequens ὡς. Lob. [2]σφίζειν P. σφύζειν ex Sched. [3]καταπάλσεως P. Scripsi, ut antea. Lob. [4]ἀκρωμένοις P. ἀκρωμίοις ex Sched. [5]ἐνερείνει δὲ P. ἀναιρεῖν· εἰ δὲ ex Sched. [6]εἰ P. ἢ ex Sched. [7]τρόπον P. Certe τόπον. Lob. [8]προκριθέντος P. Probatur προεκκριθέντος Lob. [9]τοῦτ' erat. Lob. [10]ἀποστρέφῃ P. ἀποστέφειν ex Sched.

[1] διδόντα γράσιος· [2] τὰ γράση δὲ [3] διὰ μέγεθος τοῦ ὅλου σώματος· [4] εἰ μηδὲ οὕτως ἑλκόμενον ὑπακούοι, τῶν δὲ ὤμων [5] ἐρειδομένοις τοῖς πλαγίοις μέρεσι τῆς μήτρας, καὶ εἰς τὰς σφαγὰς βαπτίζειν τὸ σπαθίον μέχρι κενεμβατήσεως εἰς τὸ ἔμβρυον· ἀποκριθέντος γὰρ τοῦ αἵματος ἰσχνὸν γίνεται τὸ σῶμα. Μετὰ δὲ ταῦτα, ὅλον τὸ κεφάλιον διαιρεῖν, καὶ τὰ μεσοπλεύρια διακόπτοντα, καὶ πνεύμονα· πληρωθεὶς γὰρ πολλάκις ὑγρῶν καὶ αὐτὸς ἐπλάτυνε τὸν θώρακα· λύειν δὲ καὶ συνδεδεμένα μέρη τοῦ στήθους διὰ τῶν δακτύλων ἀποσπῶντα τὰς [6] κατακλεῖδας ἀπὸ τῶν ἀντιστέρνων ἡκόντων ἀποῤῥηγνύναι. Συμπίπτει γὰρ τὰ περὶ τὸ στῆθος μηκέτι διερειδόμενα ταῖς λεγομέναις κλεισίν· εἰ δὲ μηδ' οὕτως [7] ὑπείκοι, τὸ ὑπογάστριον [8] διὰ ῥινῶν· ὡσαύτως κἂν ὑδρωπικὸν ᾖ τὸ ἔμβρυον· [9] κενωθέντος γὰρ τοῦ ὑγροῦ, συμπίπτει πρὸς ἴσχνωσιν ἡ περιοχὴ τοῦ σώματος. Εἰ δὲ καὶ τὰ ἔντερα παρέχει τῷ ἐπιγαστρίῳ τινὰ διόγκωσιν, καὶ ταῦτα πρότερον ἕλκειν καὶ τὰ λοιπὰ τῶν παρακειμένων σπλάγχνων, οὕτως τε τὴν ὅλην ἐξενεγκεῖν σύγκρισιν· τὰ δ' αὐτὰ ποιεῖν, κἂν ἐπὶ πόδας φέρηται. Προςανακεκλασμένας δὲ τὰς χεῖρας ἀποκόπτειν· καὶ τὸ κεφάλιον εὐμεγεθέστερον ὑπάρχον, πάλιν θλᾶν, ὅπερ δυςχερέστερον ἐπὶ τοῦδε τοῦ σχήματος διὰ τὸ ἄνω τὸ κεφάλιον ὑποκεκρύφθαι. Δεήσει δὲ τῇ δεξιᾷ τῶν ποδῶν λαβόμενον ἐξέλκειν, τῇ εὐωνύμῳ δὲ τὸ κεφάλιον ἀπευθύνειν ἔνδοθεν· ἀνακλασθέντα δὲ εἰς τὸν αὐχένα τῆς ὑστέρας ἀποσπᾶται πολλάκις. Ἐργῶδες δὲ τὸ καθ' ὑπονοεῖν, τὴν εὐώνυμον χεῖρα πρὸς τὰς ἐξολ-

[1] διδόντα γράσιος] δι' ὀδοντάγρας ex Sched. [2] Hic, si prior conjectura medicis accipitur, leg. ἡ ὀδοντάγρα. Lob. [3] κατὰ ex Sched. [4] εἰ add. ex Sched. [5] Scrib. ἐρειδομένων. Lob. [6] Legebatur καταχλίδας, et in sqq. κλισίν pro κλεισίν. Lob. [7] ὑπήκοιτο P. Sine dub. ὑπείκοι. Lob. [8] διαρινῶν ex Sched. Fort. διαιρεῖν. Lob. [9] καινοθέντος P. Substitui κενωθέντος. Lob.

κὰς ἔχειν οἰκειότητα τῷ καὶ τοὺς [1]ὄφεις διὰ τῆς αὐτῆς ἕλκεσθαι· ψευδῆ γὰρ ἀμφότερα· ἰδίᾳ δὲ εἰς κάθεσιν κεχρησίμευκεν, ὡς ἔμπροσθεν ὑπεδείξαμεν. Ἐπὶ δὲ τῶν πλαγίων καὶ διπλῶν ἐμβρύων, εἰ μὴ ἀπευθύνοιτο, τὰ ὑποπίπτοντα τρωτέον, [2]ἐφ' ὧν μὲν τὸ ἐπιγάστριον, ἐφ' ὧν δὲ τὰς μασχάλας καὶ τὰ μεσοπλεύρια καὶ τὰ παρὰ τοῖς νεφροῖς ὡς ἐπὶ λαγόνα· εἰ δὲ νεκρὸν καὶ ὑπερμέγεθες ὑπάρχοι, τὸ μὲν ὅλον ἔνδον αὐτὸ κατατέμνειν, ἐπισφαλές· ἄμεινον δὲ τὸ [3]πρόπαλες ἀεὶ γενόμενον, οἷς γίνονται ἀποκοπαὶ κατ' ἄρθρα· διὰ γὰρ τὰ ὀστᾶ καὶ πέρας ῥᾳδίως ἀπὸ τῆς συνόδου λύεται. Συντιθέναι δὲ τὰ κομισθέντα καὶ ἐπιβλέπειν μὴ παραλέλειπται· πολλάκις δὲ διὰ τὴν ἐπὶ πόδας ἄπειρον ὁλκὴν ἀποσπᾶται τὸ κεφάλιον καὶ δύςληπτόν ἐστι διὰ τὴν περιφέρειαν καὶ τὸ προςανατρέχειν [4]καὶ τὴν εὐρυχωρίαν τῆς μήτρας. Ὁπότε Σώστρατος μὲν, ὡς ἐπὶ τῶν λίθων, εἰς τὴν ἕδραν καθιστῶν τῆς εὐωνύμου χειρὸς δάκτυλον, τῇ δεξιᾷ δὲ πιάζων τὸ ἐπιγάστριον, πειρᾶται τὸ κεφάλιον κατάγειν, οὐχ ὁρῶν ὡς ἐν τῷ ἀπευθυσμένῳ δάκτυλος οὐ δύναται τῆς κεφαλῆς ἐφικέσθαι. [5]Προχειροτέρας γὰρ οὔσης τῆς κύστεως, πολὺ προςανακεχώρηκεν ἡ ὑστέρα, καθάπερ ἔμπροσθεν ὑπεδείξαμεν· διόπερ καθέντα τὴν χεῖρα καὶ ψαύσαντα τοῦ κεφαλίου προβιβάζειν αὐτὸ κατ' ἐπικυλισμὸν ἄχρι τοῦ τραχήλου τῆς ὑστέρας· εἶτα δι' ἐμβρυούλκου καταπάρσεως κομίζεσθαι. Μεμυκότος δὲ τοῦ στομίου ταῦτα ποιεῖν, ἅπερ ἐπὶ τοῦ φορίου διδάσκειν μέλλομεν, μετὰ τὴν ἐμβρυουλκίαν καὶ ἐμβρυοτομίαν, ὡς ἤδη φλεγμαίνοντος τοῦ τόπου διὰ τὸν ἐπιγινόμενον [6]σκυαμὸν διὰ τῶν ἐμβροχῶν ἀνιέναι καὶ παρηγορεῖν· αἱμοῤῥαγίας δὲ γενομένης, τοῖς

---

[1] Scribebatur ὄφις. Lob. [2] Scrib. ἐπὶ τῶν μὲν — ἐπὶ τῶν δὲ. Lob. [3] Sic! Fort. προπετὲς. Lob. [4] εἰς ex Sched. [5] προχειρότερα P. προχειροτέρας ex Sched. [6] σκυλμὸν ex Sched.

πρὸς αὐτὴν χρῆσθαι καταλλήλοις. Τὸ δὲ [1]οὐκυτοκῦιαν [2]προςαναγράφειν, ὡς ἄλλοι καὶ [3]οἱ περὶ τὸν Ἱπποκράτην ἐποίησαν, σχεδιάζοντος ἐστίν. Οὔτε γὰρ δάφνης φύλλα ξηρὰ μετὰ θερμοῦ ὕδατος, οὔτε δίκταμνον ἢ ἀβρότονον καὶ κεδρίαν καὶ ἄνισον μετὰ γλυκέος καὶ παλαιοῦ ἐλαίου [4]τε καρπὸς ἀγρίου σικύου κηρωτῇ προςπλασσόμενος φοινικίνῳ, καὶ ὀσφὺϊ περιαπτόμενος, [5]ὠκυτοκυίαν παρασκευάζει· τὰ δὲ προειρημένα βοηθήματα, λύοντα τὸ πάθος, καὶ τὴν ἐξ αὐτοῦ δυςεργείαν λύει.

## νβ'. Ὅσα δεῖ ποιεῖν πρὸ τοῦ τὴν ἐμβρυουλκίαν ἐργάσασθαι.

Προδιδόναι δεῖ τῇ πασχούσῃ ψωμοὺς δύο ἢ τρεῖς οἴνῳ βεβρεγμένους διὰ λειποθυμίαν καὶ συνεχῶς ἐν τῇ χειρουργίᾳ οἴνῳ τὸ πρόσωπον καταῤῥαντιζέσθω· ὁ δὲ χειρουργὸς διὰ τῆς διόπτρας πρότερον κατανοήσας, ὁποῖόν ἐστι τὸ δυςτοκίας αἴτιον, οἷον θύμων ἐκφύσεις ἢ τυλώδεις ὑπεροχαὶ ἢ ἕτερόν [6]τι τῶν προειρημένων, ταῦτα τῷ ἀγκίστρῳ ἀνατείνοντα, ἀφαιρεῖν τῷ [7]πολυτόμῳ, [8]καθὼς ἐν τοῖς πρὸ τούτου [9]ἐλέχθη. Εἰ δὲ ὑμὴν ἐμφράττει τὸ τῆς μήτρας στόμιον, καὶ τοῦτον διαιρεῖν, καθὼς ἐν τῷ περὶ ἀτρήτων δηλωθήσεται· εἰ δὲ ὁ τοῦ προῤῥήγματος χιτὼν στεῤῥὸς εἴη, [10]ἀνατείνειν τῷ ἀγκίστρῳ· εἰ ἐνδέχοιτο, τότε διαιρεῖν αὐτὸν [11]σκολόπῳ μαχαιρίῳ ἤ τινι τῶν ὁμοίων· διαιρεθέντος δὲ τοῦ χιτῶνος, διαστέλλειν τοῖς δακτύλοις καὶ τόπον αὐτάρκη ποιεῖν πρὸς τὴν [12]ἐλ-

---

[1]Fort. ὠκυτόκια. Lob. [2]πρὸς ἀναγραφὴν P. προςαναγράφειν ex Sched. [3]Indene efficitur, Hippocratis Gynaecea esse a discipulis ejus confecta? Legebatur Ἱππην. ex Sched. [4]καὶ ex Sched. [5]Leg. ὠκυτοκίαν. Lob. [6]τι addidi. Lob. [7]Fort. πολυποτόμῳ. Lob. [8]Sic! ex Sched. [9]Inveniebatur ἐλέχθην. Lob. [10]ἀνατείνων P. ἀνατείνειν. ex Sched. [11]Leg. σκολοπομαχαιρίῳ. Lob. [12]Fort. ἔκληψιν. Lob.

ληψιν τοῦ ἐμβρύου· τῆς δὲ κεφαλῆς τοῦ ἐμβρύου ἐσφηνωμένης, μεταστρέφειν δεῖ ἐπὶ πόδας καὶ οὕτως αὐτὸ κομίζεσθαι· ἰσχυρῶς δὲ ἐσφηνωμένης καὶ μὴ εἰς τὸ βάθος ἀπωθεῖσθαι δυναμένης, καταπείρειν δεῖ τὴν τοῦ ἐμβρυουλκοῦ καμπὴν εἰς ἕνα τῶν ὀφθαλμῶν ἢ τὸ στόμα ἢ τὸν ἀνθερεῶνα καὶ οὕτως ἐξέλκειν· εἰ δὲ ὑπερβάλλοι τῷ μεγέθει ἡ κεφαλὴ, διελόντα αὐτὴν τῷ [1]πολυπικῷ σπαθίῳ ἢ τῷ κοινῷ [2]σμιλίῳ καὶ τὸ βρέγμα συνθλάσαντα [3]τὰ ὀστᾶ τοῖς δακτύλοις· εἰ δέ τι ἐξέχοι τῶν ὀστῶν, ὀστάγρᾳ ἢ ῥιζάγρᾳ ἑλκύσαντα, τότε καταπείρειν τὸν ἐμβρυουλκὸν καὶ [4]ἐξέλκειν τὸ ἕλκος· προβιβασθείσης δὲ τῆς κεφαλῆς, ἐὰν κατὰ τὸν θώρακα σφήνωσις γένηται, [5]τὸ σκολοπομαχαίριον ἢ τὸ πολυποτόμον κρύψας μέσον τῶν δύο δακτύλων, δίελε τοὺς [6]κατὰ κλεῖς τόπους μέχρι βάθους, ἵνα τῶν ὑγρῶν ἐκκριθέντων συμπέσῃ τὸ τοῦ θώρακος μέγεθος καὶ οὕτως ἐξέλκειν, [7]ὡς ἤδη πολλάκις εἴρηται, κομισθῇ τὸ ἔμβρυον. Μετὰ δὲ τὴν ἐμβρυοτομίαν συντιθέναι χρὴ τὰ μέλη πάντα τοῦ ἐμβρύου, καὶ ἐπισκέπτεσθαι ἀκριβῶς, εἰ πάντα κεκόμισται καὶ μηδὲν ἔνδον ὑπολέλειπται· κἄπειτα καὶ τὸ χορίον εὐθὺς ἐκλαμβάνειν, ὡς καὶ [8]προείρηται.

### νγ'. Ἐπιμέλεια μετὰ τὴν ἐμβρυοτομίαν.

Ἀποδοθέντος δὲ τοῦ [9]χορίου [10]εἶτα εὐθὺς μετὰ τὴν τοῦ ἐμβρύου κομιδὴν, [11]μηδενὸς ἐν τῇ μήτρᾳ περιτ-

---

[1] πολυπείκῳ P. Scripsi πολυπικῷ. Lob. [2] Legebatur σμηλίῳ. Lob. [3] Fort. inserendum καὶ. Lob. [4] ἐξαίρειν τὸ βρέφος· Aet. ex Sched. [5] τῷ σκολόπῳ μαχαίριον ἢ τὸ πολύτομον P. Dedi τὸ σκολοπομαχαίριον ἢ τὸ πολυποτόμον. Lob. [6] κατακλεῖς P. Scripsi κατὰ κλεῖς. Fort. κατὰ τὰς κατακλεῖς. Lob. [7] ὡς ἤδη πολλάκις εἴρηται, κομισθῇ etc. P. Fort. ὅπως, ὡς — εἴρηται, κομισθῇ etc. Lob. [8] Haec repetuntur. Hoc caput Sorani non est. ex Sched. [9] χορείου P. [10] εἶτ' Aet. [11] εἶτε μετὰ ταῦτα καὶ μηδενὸς etc. Aet.

τοῦ ὑπολιμπανομένου, συνάγειν χρὴ τὰ σκέλη, ἵνα συνέλθωσιν οἱ διεσπασμένοι τόποι· καὶ εἰ μὲν ἀρκούντως [1]ἐκαθάρθησαν, [2]προσκλύζειν τοὺς τόπους μαλάχης ἢ [3]τήλεως ἀφεψήματι, καὶ ἐγχυματίζειν ἐλαίῳ θερμῷ καὶ καταβρέχειν τὸ ἐφήβαιον καὶ τὴν ὀσφὺν τῷ [4]τοιούτῳ θερμῷ ἐλαίῳ, καὶ σκέπειν ἐρίοις πλείστοις ἁπαλοῖς [5]ἐλαίῳ βρεχθεῖσιν, [6]καὶ θάλπειν, καὶ τὴν κεφαλὴν ἐλαίῳ διαβρέχειν· συγχρίειν δὲ καὶ τὸν τράχηλον καὶ σκέπειν ἐρίοις ἁπαλοῖς ἐλαίῳ θερμῷ βεβρεγμένοις· τροφὰς δὲ ῥοφηματώδεις διδόναι, καὶ ἐφ' ὑδροποσίας τηρεῖν. Εἰ δὲ μὴ καθαρθεῖεν δεόντως, ἐγκαθίζειν εἰς ἀφέψημα [7]τήλεως, ἀρτεμισίας, ἀλθαίας, γλήχωνος, καὶ ποτίζειν συνεχῶς τὸ τῆς γλήχωνος [8]ἀφέψημα. Εἰ δὲ ὑπὲρ δύναμιν καθαίροιντο, ταῖς μετρίως στυφούσαις ἐμβροχαῖς χρηστεόν καὶ ἐγκαθίσμασι, καὶ τὸ ὑπογάστριον μακρῷ ἐπιδέσμῳ ἐπιδεῖν, καὶ τροφὰς διδόναι στυφούσας. Εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο, ὡς πρὸς [9]φλεγμονὴν πάντα ποιητέον. Εἰ δὲ καὶ αἱμοῤῥαγία πολλὴ [10]ἐπιγένοιτο, βοηθεῖν ὡς ἐν τῷ περὶ [11]αἱμοῤῥοούσης μήτρας ἐροῦμεν. Εἰ δὲ μηδὲν τούτων εἴη, μόνον λιπαίνειν καὶ θερμαίνειν τούς τε τόπους καὶ τὸν τράχηλον καὶ τὴν κεφαλήν.

## νδ'. Περὶ προπτώσεως μήτρας δι' ἐμβρυουλκίαν.

Πρόπτωσις ὑστέρας λέγεται ἡ τῆς ἐκτροπῆς περὶ τὴν μήτραν ἀπειλή· οὐ γάρ, ὥς τινες ὑπολαμβάνουσιν, ἀπολυθεῖσα ἡ μήτρα τῶν προσφύσεων ὅλη προπίπτει, οὐδὲ γὰρ ἀποκαταστῆναι δύναται πρόπτωσις. Τὸ δὲ

---

[1]Ita Aet. καθήρθησαν P. [2]προκλύζειν Aet. [3]τίλεως Aet. [4]τοιούτῳ add. Aet. om. P. [5]ἐλαίῳ θερμῷ βεβρεγμένοις Aet. [6]Sequentia usque ad τροφὰς in Aet. deleta sunt. [7]τίλεως Aet. [8]καὶ τῆς τίλεως add. Aet. [9]φλεγμονὰς Aet. [10]γένοιτο Aet. [11]ἄγου} Aet.

[1]προςπίπτον παραπλήσιόν ἐστιν ᾠῷ στρουθοκαμήλου παρὰ τὸ μᾶλλον καὶ ἧττον πρὸς λόγον τῆς κατὰ τὴν βίαν γινομένης ἐκτροπῆς· προπίπτει μὲν οὖν σπανίως πλείους [2]δι' αἰτίας· καὶ γὰρ ἀφ' ὕψους κατενεχθεῖσα γυνὴ καὶ ἐπὶ τὰ ἰσχία ἑδρασθεῖσα πάσχει τὸ τοιοῦτον, ῥηγνυμένων τινῶν ὑμένων τῶν συνδούντων αὐτὴν πρὸς τὰ παρακείμενα· γίνεται δὲ καὶ δι' ἐξολκὴν [3]εὔτονον τοῦ χορίου, ὅπερ μάλιστα ἐν ταῖς λεγομέναις [4]ὁμοτοκυίας συμβαίνει. Καὶ ἄτεχνος δὲ ἐμβρυουλκία εἰργάσατο τὸ πάθος· γίνεται καὶ διὰ κατοχὴν πνεύματος καὶ [5]διὰ βάρους ἄρσιν καὶ διὰ πληγήν· ἐνίοτε δὲ καὶ διὰ παράθεσιν ὑγροῦ πολλοῦ καὶ γλίσχρου. Συνέβη δὲ τοῦτο καὶ διὰ ψυχικὸν πάθος· ἢ γὰρ τέκνων ἀποβολῆς προαγγελθείσης, ἢ πολεμίων ἐφόδου, ἢ κατὰ θάλατταν χειμασθεῖσαι σφόδρα ἔπαθον τὴν πρόπτωσιν λυθεῖσαι τὸ πᾶν σύγκριμα, ὥστε καὶ τὴν μήτραν ἐξολισθῆσαι. Ἔσθ' ὅτε δὲ ἄνευ τινὸς τοιαύτης αἰτίας τῶν σωμάτων ἀσθενησάντων καὶ τῶν ἀντεχόντων αὐτὴν ὑμένων καὶ μυῶν ὁμοίως παραλύσει ἀτονησάντων, [6]σύνεστι τὸ πάθος, οἷον γίνεται ἐπὶ τῶν παρηκμακυιῶν. Καταρχὰς μὲν οὖν γίνεται πλείονος αἵματος φορὰ, ἔπειτα δὲ καὶ ὀδύνη λαγόνων καὶ ὀσφύος καὶ ἐπιγαστρίων καὶ αἰδοίου, καὶ φόβος ἐστὶ [7]φυγέντας τὸν σπασμὸν ἐπενεγκεῖν· χρονισμοῦ δὲ γενομένου καὶ τῶν σωμάτων τυλωθέντων, ὅ,τε φόβος καὶ πόνος ἐκλύεται. Ἔνιοι μὲν οὖν ὅλην λέγουσι προπίπτειν, τῶν ἀντεχόντων αὐτὴν ὑμένων καὶ μυῶν ῥαγέντων ἐκ πληγῆς ἤ τινος τῶν [8]ἐμφερῶς χαλασθέντων, καὶ ὅμοιον τῇ παραλύσει ἐργασθέντων· οἱ δὲ περὶ τὸν Ἱπποκράτην

[1] Leg. προπίπτον. Lob. [2] δὲ P. Scripsi δι'. Lob. [3] Sic! ex Sched. [4] Fort. ὠμοτοκίαις. Lob. [5] Superscripta sunt in P.: ἢ πήδημα ζ. Sic! ex Sched. [6] συνέστη Aet. [7] Sic! ex Sched. [8] ἐμφερῶν ex Sched.

καὶ Ἡρόφιλον, μόνον τὸ στόμιον. Γνωρίζεται δὲ ἐκ τοῦ τρυφεροῦ προπίπτειν τὸ σύγκριμα ὅμοιον [1]κεφαλὴν πολύποδος, ὡς Ἡρόφιλος ἔλεγεν, πόνον ἔχον ὡς παραδέξασθαι διπύρηνον· οἱ δὲ μηδ' ὅλον· οὐκ ἂν γάρ, φησιν, [2]ἀποκαθίσαι τὸ μὴ ἀπὸ μέρους, φλεγμαῖνον δὲ τὸ στόμιον φαντασίαν παρέχειν προπτώσεως· οἱ δὲ κατ' ἐκτροπὴν γίνεσθαι τὴν πρόπτωσιν αὐτῆς ὑπολαμβάνουσιν, ὡς [3]τὴν μὲν ἔξωθεν, οἱ δὲ τὸν ἔνδον αὐτῆς χιτῶνα [4]προςπίπτειν. Διπλῆν γὰρ αὐτὴν ὑπάρχειν, καὶ τὸν μὲν ἔξωθεν αὐτῆς χιτῶνα τοῖς ὑπερκειμένοις συμπεφυκέναι, τὸν δ' ἔσωθεν τούτῳ συνηρτῆσθαι, καὶ τῇ χαλάσει τῶν ὑμένων προπίπτειν· οἱ δὲ, καὶ τὴν ὅλην κατάῤῥηξιν ἢ παράλυσιν ἢ ἀπὸ μέρους καὶ εἰς τὰ ἑαυτῆς κοῖλα ἔτι ἐνδιπλουμένης. Ὅταν μὲν οὖν κατὰ ῥῆξίν φασιν προπέσῃ, φανήσεται παντελῶς ἔναιμος κατὰ προήγησίν τινος πτώσεως ἢ βίας τινὸς ἢ πληγῆς· ὅταν δὲ κατ' ἐπιχαλασμὸν ἢ καὶ παράλυσιν, οὐκ ἔναιμος οὔτε παχύτης. Καὶ κατὰ τὸ πλεῖστον, ἐξ ἀδήλου προφάσεως, ἐνιάκις δὲ καὶ κατὰ τὰς αὐτὰς αἰτίας, προτέραις [5]περιστάσεσι παραλύεται· καὶ πάλιν, [6]ἀπὸ μέρους μὲν αὐτῆς προπεπτώκει ἀπευθυσμένου τρόπον ἐξ ἑκατέρων τῶν μερῶν [7]ἐμπτώσεις ὁρῶνται. Κατ' ἐκστροφὴν δὲ ὅλης περιφερείας ὄγκος στρογγύλος εὑρίσκεται προςπίπτων ἐμφερὴς, ὥς ποτε μὲν ἐν τῷ γυναικείῳ μένων κόλπῳ, ποτὲ δὲ προχειρότερος γινόμενος καὶ πρὸ τῶν πτερυγωμάτων ἐνερευθὴς κατ' ἀρχὰς, ὑπόλευκος δὲ ὕστερον. Συγχωρήσαντες δὲ καὶ ὅλην ἀπὸ μέρους αὐτὴν [8]προπετῶς

---

[1]Leg. κεφαλῇ. Lob. [2]ἀποκαθίσαν P. ἀποκαθίσαι ex Sched. [3]Pro τὴν μὲν scrib. οἱ μὲν τὸν. Lob. [4]Legendum ut antea προπίπτειν. Lob. [5]περιστάσεις P. περιστάσεσι ex Sched. [6]Fort. εἰ ἀπὸ μέρους μὲν αὐτὴ προυπεπτώκει, ἀπευθ. etc. Lob. [7]ἐμπεπτώσεις P. Scripsi ἐμπτώσεις. Lob. [8]προπεσοῦσαν ex Sched.

μεμφόμεθα, πρῶτον [1]εὐρυῶντα δι' ἡμέρας καὶ νυκτὸς ὅλην [2]κάμνουσαν ἐξαρτήσαντα τῶν ποδῶν ἀπο κλιμακίου, κἄπειτα κατακλίναντα μὲν ὑπτίαν, θρέψαντα δὲ πτισάνῃ [3]ψυχράν· ἀνυπομόνητος γὰρ ἡ ἀνάρτησις, καὶ φυσώδης ἡ τροφὴ καὶ [4]ἄτεχνος ἡ τῶν ἡμερῶν διαρίθμησις, ἐξ ὧν εἰς τοὺς καιροὺς ἀποβλέπειν. Εὐήνωρ δὲ σάρκα βοείαν ἐντίθησιν εἰς τὸ γυναικεῖον αἰδοῖον, οὐκ εἰδὼς τοὺς ἀπὸ τῆς σήψεως ἰχῶρας ἐν τῇ δριμύτητι νομῆς αἰτίους γενήσεσθαι. Διοκλῆς δὲ ἐν τῷ δωδεκάτῳ τῶν γυναικείων, ἐνθλίβων πνεῦμα διὰ χαλκευτικῆς φύσης, εἶτα [5]ἐντάσσειν τὴν ὑστέραν, εἶτα ῥοιὰς [6]περιψύξας καὶ εἰς ὄξος ἀποβάπτων ἐντίθησιν, στρόφον μὲν ἐργασάμενος διὰ τοῦ πεύματος, θλίψιν δὲ διὰ τῆς [7]ῥοᾶς· ἀπηνὴς γὰρ καὶ στύφουσα. Τινὲς δὲ σάκκον τρίχινον τῇ ὑστέρᾳ προβάλλουσιν, ὥςτε διὰ τὴν ὀξύτητα τῶν τριχῶν ἀλγήσαντας τοὺς τόπους συνελκυσθῆναι, μὴ εἰδότες ὅτι τὰ παραλελυμένα μὲν οὐδὲν ἀλγεῖ, τὰ δὲ ἀλγήσαντα πρὸς ὀλίγον συνελκυσθέντα προπίπτειν πάλιν. Οἱ πολλοὶ μὲν τοῖς μὲν εὐώδεσιν ἀποσφραίνουσιν, ὑποθυμιῶσι δὲ ὑπεναντίως ταῖς ὑστέραις, [8]καὶ νῦν οἱ ζῶον οἰόμενοι, τὴν ὑστέραν φεύγειν μὲν τὰ δυςώδη, πρὸς δὲ τὰ εὐώδη φέρεσθαι. Μεμφόμεθα δὲ καὶ Στράτωνα σποδῷ δεδευμένον τὸν κόλπον ἀναπληροῦντα, προςθέτῳ δὲ χρώμενον καστορίῳ· δριμεῖα μὲν γὰρ ἡ σποδὸς, συμπληρωτικὸν δὲ τὸ καστόριον. Ἁρμόσει τοίνυν προςφάτου μὲν οὔσης τῆς προπτώσεως, ἐναίμου δὲ τῆς ὑστέρας βλεπομένης καὶ ἀφλεγμάντου, προπερικλύσαντα μὲν τὸ σπλάγχνον ὕδατι ψυχρῷ ἢ [9]ὄξει ὀξυκράτῳ, τοῖς δακτύλοις ἐγχειρεῖν δεή-

---

[1]Εὐρυφῶντα ex Sched. [2]κάμνουσα P. κάμκουσαν ex Sched. [3]ψυχρᾷ ex Sched. [4]ἀτέχνως P. ἄτεχνος ex Sched. [5]Leg. ἐντάσσων. Lob. [6]περιλέψαι ex Sched. [7]Scrib. ῥοιᾶς. Lob. [8]καὶ νῦν, ᾧ etc. P. καὶ νῦν οἱ etc. ex Sched. [9]ὄξει abundat. Lob.

σει τῇ τῆς μήτρας καταστολῇ· καὶ γὰρ ὑπακούει κατ' ἀρχὰς ῥαδίως πρὸς τὸν καταρτισμόν. Εἰ δὲ μὴ ὑπακούοι, διὰ σπόγγου περιφεροῦς προστεθέντος [1]ἐνδιατάσσει μετεωριζομένων ὑπὸ τῶν δεξιῶν ὑπηρετεῖν δυναμένων· μετὰ δὲ τὴν καταστολὴν ἐκπληροῦν τὸ γυναικεῖον αἰδοῖον ἐνθέσει σπογγιᾶς ὀξυκράτῳ βεβρεγμένης ἢ ἐρίου καὶ τῇ ἐπιδέσει συλλαμβάνοντας συνάγειν τοὺς μηροὺς καὶ περιπλέκειν ἐκτεταμένους· μετεωρίζειν δὲ τὰ περὶ τὴν ὀσφὺν ὑποθέσει προςκεφαλαίου, ἢ τὰ περὶ τοὺς πόδας τῆς κλίνης μετέωρα ποιεῖν καὶ συστέλλειν, ἄχρι διὰ τρίτης· καὶ τότε διδόναι τροφὴν ὀλίγην ἁπλῆν, εἶτα παρὰ μίαν· στερεοποιηθείσης δὲ τῆς καταστολῆς, μετὰ προςοχῆς ἀναλαμβάνειν, εἰ τὰ τῆς ἡλικίας συλλαμβάνοιτο· ἐπὶ γὰρ τῶν πρεςβυτέρων, καταστέλλεται μὲν ἡ μήτρα, προςπίπτει δὲ πάλιν εὐχερῶς. Εἰ μὲν οὖν σκύβαλα ἐν τῷ ἀπευθυσμένῳ [2]παρακέοιτο, διὰ κλυστῆρος αὐτὰ κομιστέον ἁπλοῦ· ὡςαύτως δὲ καὶ [3]εἰ ἐν κύστει περίττωμα εἴη, διὰ καθετῆρος αὐτὸ κομιστέον. Συμβαίνει γὰρ ἐπὶ πλεῖστον ἐγκατέχεσθαι ταῦτα τῷ μέσην τὴν ὑστέραν τεταγμένην ἀπευθυσμένου καὶ κύστεως, παραποδίζειν ἐν ταῖς προπτώσεσι, ταῖς φυσικαῖς ἐκκρίσεσι, θλίβουσαν καὶ στενοχωροῦσαν τοὺς τόπους· σχηματίζειν δὲ μετὰ τοῦτο τὴν κάμνουσαν ὑπτίαν, ὑψηλότερα ἔχουσαν τὰ ἰσχία καὶ κάμψασαν τὰ ἰσχία μετὰ τοῦ διεστάναι ἀπ' ἀλλήλων τὰ σκέλη· ἔπειτα ἐλαίῳ πολλῷ χλιαρῷ [4]καταντλήσας τὸ προπεπτωκὸς τῆς μήτρας ἐπὶ πολὺ καὶ ποιήσαντας σύστρεμμα ἐξ ἐρίου σχήματι καὶ πάχει [5]ἀναλογοῦν τῷ γυναικείῳ κόλπῳ, περιβάλλειν ἔξωθεν τὸ σύστρεμμα τοῦ ἐρίου ἰσχνοτάτῳ καὶ καθαρῷ ὀθονίῳ· κἄπειτα κατα-

---

[1] ἐνδιατάσει ex Sched. Fort. ἐνδιατάσσειν, et mox δεξιῶς pro δεξιῶν. Lob. [2] παρακαίοντο P. παρακέοιτο ex Sched. [3] οἱ P. εἰ ex Sched. [4] Fort. καταντλήσαντας. Lob. [5] ἀναλογοῦντα P. ἀναλογοῦν convenit. Lob.

βάπτειν ταχέως εἰς ὀξύκρατον, ἢ καὶ ἀφέψημα χλιαρὸν μυρσίνης ἢ σχίνου ἢ βάτου ἢ σιδίων ἢ ῥόδων ἐγκαθίζειν κἄπειτα ἀποβάπτειν εἰς χυλὸν ἀκακίας ἢ ὑποκυστίδος οἴνῳ [1]διημένης, καὶ προςτιθέναι τῇ ὑστέρᾳ, καὶ διαβιβάζειν πᾶν τὸ [2]πεπτωκὸς ἠρέμα ἀναθλίβοντας, ἄχρις οὗ ἡ μήτρα ἐπὶ τὸν ἴδιον τόπον ἀναχωρήσῃ, καὶ ὁ τοῦ ἐρίου ὄγκος ὅλος ἐν τῷ κόλπῳ γένηται [3]τοῦ τέλους ἐν τῷ αἰδοίῳ· εἶτα ἔρια ἔξωθεν ἐπιτιθέναι οἴνῳ στύφοντι βεβρεγμένα ἢ καὶ σκέπειν τὸ ἦτρον ὅλον σπόγγῳ ἢ ἐρίοις ἐξ ὀξυκράτου [4]τεθλιμμένοις· καὶ τὸ ἐπιγάστριον καὶ ἐφήβαιον καὶ [5]ὀσφύας καὶ ἐπιδεσμεῖν· ἐκτείνειν τε τὰ σκέλη τῆς γυναικὸς, ὥςτε τὸ ἕτερον τῷ ἑτέρῳ ἐπικεῖσθαι. Μετὰ δὲ τοῦτο [6]σικύας [7]προβλητέον μετὰ φλογὸς πλείονος πρὸς ὀμφαλὸν καθ᾽ ἑκατέραν λαγόνα καὶ ὀσφραντὰ ταῖς ῥισὶν εὐώδη [8]συνεχῶς προςενεκτέον· τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἐγκειμένου τῷ κόλπῳ τοῦ ἐρίου, ἐγκαθιζέτω ἡ γυνὴ εἰς οἶνον μέλανα αὐστηρὸν [9]κεχλιασμένον ποσῶς ἢ εἰς ἀφέψημα βάτου ἢ μυρσίνης ἢ σχίνου ἢ σιδίων. Μετὰ δὲ τὸ ἐγκάθισμα, κατακλιθείσης αὐτῆς ὑπτίας [10]ἀναῤῥόπου ὡς ὑψηλότερα ἔχειν τὰ πρὸς τοῖς ἰσχίοις, τὸ μὲν ἐγκείμενον ἔριον ἐξαιρείσθω, ἕτερον δὲ ἐντιθέσθω βεβρεγμένον τῷ αὐτῷ φαρμάκῳ· καταπλαττέσθω δὲ τὸ ἐπιγάστριον φοίνιξιν, [11]ἀλφίτοις, σιδίοις· καὶ διὰ τρίτης [12]πάλιν τὰ αὐτὰ γιγνέσθω, μέχρι παντελοῦς θεραπείας. Εἰ δὲ πολὺν ἔξω χρόνον μείνασα φαίνοιτο λοιπὸν ἤδη κατεψύχθαι, ποτὲ δὲ καὶ προδήλως φλεγμαίνειν καὶ

---

[1]Scrib. διειμένης. Lob. [2]Leg. προπεπτωκὸς. Lob. [3]Sic! ex Sched. [4]τεθλιμμένης P. Scripsi τεθλιμμένοις. Lob. [5]ὀσφύος P. ὀσφύας ex Sched. [6]σικυίας P. Certe σικύας. Lob. [7]Fort. προςβλητέον. Lob. [8]συνεχει P. συνεχῶς ex Sched. [9]κεχαλασμένον P. κεχλιασμένον Aet. [10]ἀνατρόπου P. ἀναῤῥόπου Aet. [11]ἀμφοτέροις σιδίοις P. ἀλφίτοις, σιδίοις, φακῷ μετ᾽ ὀξυμέλιτος. Aet. [12]om. Aet.

[1]περιοδυνεῖν, ἢ κατὰ παράλυσιν προπεπτωκέναι, θερμῷ ὕδατι ἢ ὑδρελαίῳ ἢ χυλῷ [2]τήλεως ἑφθῆς ἢ λινοσπέρμου ἢ μολόχης, καὶ [3]οὗτος ἀπεντάσσειν· ἂν δὲ τὸ μέγεθος ἀπαιτήσῃ, καὶ φλεβοτομεῖν καὶ τοῖς ἄλλοις χρῆσθαι χαλαστικοῖς διὰ τὴν παράλυσιν ἢ τὸ μέγεθος τῆς φλεγμονῆς. Εἰ δὲ [4]χρονίσειεν ὥςτε συνεχῶς [5]προπίπτειν, ὀξυκράτῳ περιπλύνειν θερμῷ καὶ ἐγκαθίζειν τῷ ὀξυκράτῳ ἐφ' ἱκανὸν χρόνον· ἔπειτα τὰ προειρημένα ποιεῖν πάντα, ἤγουν σικύας κούφας καὶ τὰ ἐπιθέματα τά,τε διὰ φοινίκων, μήλων κυδωνίων, καὶ πάντων ἤδη τῶν στύφειν δυναμένων, ἢ [6]τῇ δι' ἰτεῶν, καὶ τοῖς τὸ αὐτὸ ποιεῖν δυναμένοις· εἶτα τὴν ὅλην σύγκρισιν τονοῦν τῷ ἀναλημπτικῷ κύκλῳ χρώμενον, ὕστερον δὲ τῷ μετασυγκριτικῷ· φοινίσσειν δὲ τὰ περὶ τὸ ἐφήβαιον καὶ τὴν ὀσφὺν καὶ τὸ ἐπιγάστριον, παροπτήσει σμήμασιν δριμέσιν, ἃ [7]ποίει πεσσοῖς τοῖς διὰ νίτρου καὶ σταφίδος, ἁλῶν, καὶ πᾶσι τοῖς ἐκ τῶν μετασυγκριτικῶν ἐσκευασμένοις ὑλῶν. Ἐνίοτε δὲ διὰ τὴν τῶν τόπων εὐαισθησίαν παραιτούμενος τὸ ὄξος, γῆν μέλαιναν τὴν ἐν τῇ φακῇ εὑρισκομένην ἀναλέξας καὶ διαλύσας ὕδατι θερμῷ, καταντλῶ ἐπὶ πολὺ, [8]καὶ σφόδρα ὠφελεῖ· μετὰ δὲ τὴν κατάντλησιν τῇ προειρημένῃ ἀγωγῇ ἐχρησάμην. Ὅταν δὲ διὰ γλισχρότητα [9]τῶν ὑγρῶν δυσχερῶς ἀναβιβάζηται, [10]τρυγία οἴνου κεκαυμένη ἢ νίτρῳ ἢ κονίᾳ στακτῇ [11]περισμήξαντα ἠρέμα τοὺς τόπους καὶ πυριάσαντα στύμμασιν, ἢ τῷ διηθή-

---

[1]Legebatur περιωδύνειν et mox παραλύσιν. Lob. [2]τίλεως P. Dedi ut supra. Lob. [3]οὕτως ex Sched. Fort. οὕτως ἐντάσσειν, vel οὕτως ἀνατάσσειν. Lob. [4]χρονήσειεν P. χρονίσειεν ex Sched. [5]προσπίπτειν mutavi in προπίπτειν. Lob. [6]τὴν P. τῇ ex Sched. [7]ποιεῖ P. ποίει ex Sched. [8]τοῦτο Aet. [9]τῶν ὑγρῶν] χυμῶν Aet. [10]τρυγίαν οἴνου κεκαυμένην ἢ νίτρον ἢ κονίαν στακτὴν παραμίξαντας, ἠρέμα τοὺς τόπους χρίειν καὶ etc. Aet. [11]περισμίξαντα P. Scripsi περισμήξαντα. Lob.

*ματι τῆς εἰρημένης γῆς, καὶ* [1]*καταχρίσαντα ἀποπλύματι μολίβδου μετὰ* [2]*μυρσινίνου ἐλαίου ἢ μηλίνου ἢ* [3]*στύμμασιν ὁμοίως* [4]*τὸ προπεπτωκὸς εἰς τὸν κόλπον ἀναβιβάζειν, ὡς προείρηται. Οἱ πλεῖστοι δὲ συνεχῶς προπίπτουσαν αὐτὴν* [5]*ἀλόην ἢ* [6]*νίτρον* [7]*συμπάσαντες, οὕτως ἀπωθοῦσιν, ὅπερ καὶ Θεσσαλὸς ἐνόμισεν ἀκολούθως αὐτῷ· τὰ γὰρ μετασυγκριτικὰ δεῖ παραλαβεῖν· ἐν δὲ ἀλείμματι, ἢ ὅτε μᾶλλόν ἐστιν, ἐπιθέσεις, ἢ ὅτε* [8]*προπέπτωκεν ἡ μήτρα. Μελανθείσης δὲ αὐτῆς ἀπὸ μέρους διὰ τὸ ἔξω μεῖναι πλείοσι χρόνοις,* [9]*καὶ εἴ τινες συνιστοροῦσι συμβιῶσαι μέχρι παντὸς εἶναι τὴν μήτραν προπεπτωκυῖαν, τοῖς πρὸς νομὰς χρηστέον· εἰ δὲ μὴ, καὶ ἀποτμητέον τὸ μελανθὲν, εἰ καὶ λοβὸν ἥπατος ἢ πνεύμονος ἀποτέμνομεν κατὰ τὴν πρόπτωσιν μελανθέντα. Κἂν ὅλη μελανθῇ, τὴν σύμπασαν ἀποτμητέον, οὐ μόνον διὰ τοὺς* [10]*ἱστορήσαντας αὐτὴν ἀκινδύνως* [11]*ἐκτέμνεσθαι, ὧν ἔμπροσθεν ἐμνημονεύσαμεν, ἀλλ' ὅτι τὸ ἀποκοπτόμενον οὐκέτι κύριόν ἐστι μέρος,* [12]*ἠλλοτριωμένον* [13]*δὲ σῶμα καὶ ἀνοίκειον. Εἰ δὲ ἐκ τοῦ συνεχῶς προπίπτειν ἑλκωθεῖσα συμφύῃ τοῖς πτερυγώμασιν, ὡς ἱστοροῦσί τινες, διακριτέον τὴν πρόσφυσιν, ὡς* [14]*ἐντέρῳ πρὸς περιτόναιον· ἄμεινον δὲ τῆς ἀσφαλείας χάριν, τῶν πτερυγωμάτων τι τῇ μήτρᾳ προσχαρίζεσθαι μὴ* [15]*δυναμένης τῆς διακρί-*

---

[1]*καταχρήσαντα πλύματι* **P.** *καταχρίσαντα ἀποπλύματι* **Aet.** [2]*μυρσίνης* **P.** *μυρσινίνου* **Aet.** [3]*στίμμι* **P.** *στίμμει* **Aet.** *στύμμασιν* **in margine Aet.** [4]*τῇ* **P.** *τὸ* **Aet.** [5]*ὅλην* **ex Sched.** [6]*νίτρῳ* **P. Dedi** *νίτρον*. **Lob.** [7]*σὺν πάσαντες* **P.** *συμπάσαι* **ex Sched. Certe** *συμπάσαντες*. **Lob.** [8]**Erat** *προςπέπτωκεν*. **Lob.** [9]*εἰκὲτινες* **P.** *εἴγε* **ex Sched. Scripsi** *καὶ εἴ τινες*. **Lob.** [10]*ἱστορίσαντες* **P.** *ἱστορήσαντες* **ex Sched.** [11]**Haec desunt, ubi loquebatur de exstirpatione uteri. ex Sched.** [12]*ἢ ἀλλοτριωμένον* **P.** *ἢ ἠλλοτρ.* **ex Sched. Delevi** *ἤ*. **Lob.** [13]*δὲ* **Fort.** *δὴ*. **Lob.** [14]*ἐντέρου* **ex Sched.** [15]*δυναμένη* **P.** *δυναμένης* **ex Sched.**

σεως ἴσης ἀποτελεσθῆναι. Ὑποθυμιατέον δὲ αὐτὰς συνεχῶς τοῖς δυςώδεσι [1]περισκέπειν τε πάντοθεν· ταῖς δὲ ῥισὶν ὀσφραντὰ εὐωδέστατα προσάγειν.

## νέ Περὶ φλεγμονῆς μαστῶν.

[2]Μετὰ τοὺς τοκετοὺς συρούμενον πολλάκις τὸ γάλα κατὰ τοὺς μαστοὺς [3]φλεγμονὴν ἐργάζεται. Χρηστέον οὖν καταρχὰς μὲν τοῖςδε· σπόγγον ἁπαλὸν ὀξυκράτῳ χλιαρῷ βρέξας καὶ ἐκπιάσας ἐπιτίθει καὶ ἐπιδέσμει προςτετυπωμένως, ἢ φοίνικας μετ' ἄρτου σὺν ὀξυκράτῳ [4]λειωμένας, ἢ ᾠῷ [5]ὅλον χρηστέον μετὰ ῥοδίνου, σὺν ὀλίγῃ κηρωτῇ· [6]σήσαμον λειότατον ποιήσας καὶ βούτυρον αὔταρκες μίξας [7]καὶ μετρίως χλιάνας κατάπλασσε δὶς τῆς ἡμέρας· εἰ δὲ [8]ἐπιμένοι ἡ φλεγμονὴ, κατάπλαττε τὸ ἐντὸς τοῦ ἄρτου βεβρεγμένου ὕδατι καὶ [9]λειωθέντος· εἶτα χωρὶς λειώσας, [10]περδικιάδος φύλλα, ὡς εἶναι τῆς μὲν βοτάνης [11]μέρος ἓν ἥμισυ, [12]τοῦ δὲ ἄρτου μέρη β' καὶ κηρωτῆς ἁπαλῆς μέρος [13]α', θεράπευε δὶς τὴς ἡμέρας· τοῦτο δὲ καὶ μετὰ σύῤῥηξιν εἰς τέλος [14]θεράπευε. Χρῶ δὲ ὡς πάνυ καλῷ καὶ τούτῳ· [15]ἢ ὑοςκυάμου [16]φύλλα χλωρὰ, κηροῦ, [17]κολοφωνίας, στέατος [18]χοιρείου προςφάτου, ἐλαίου ἴσα· τὰ [19]τηκτὰ τήξας καὶ ψύξας μίσγε τοῖς φύλλοις λειωθεῖσι καὶ χρῶ. Φάρμακον τὸ [20]ἰούνιδος πρὸς φλεγμονὰς πάσας, μάλιστα δὲ μαστῶν· ἐλαίου πα-

[1]περισκέπον τε P. περισκέποντας Aet. Placuit περισκέπειν τε. Lob. [2]Differt Aet. ex Sched. συρούμενον] Fort. συῤῥεόμενον. Lob. [3]φλεγμονὰς P. [4]λυομένας B. Debebat esse λελειωμένας. Lob. ἢ] ἐν ex Sched. [5]ὅλου B. [6]Ita A. σίσανον λείοττον P. σίσανον λειοττὸν B. [7]om. B. A. [8]ἐπιμείνῃ B. ἐπιμείνει P. [9]λειωθὲν A. [10]περδικίου βοτάνης A. [11]τὸ add. B. om. P. A. [12]Haec om. B., pergens θεράπευε δὶς etc. [13]ας' P. A. Scripsi α'. Lob. [14]θεραπεύῃ B. P. θεραπεύει A. Dedi θεράπευε. Lob. [15]ἢ om. A. ἢ νοσκυλάμου B. [16]φύλλων χλωρῶν A. [17]Legebatur κολοφονίας. Lob. [18]χοιρίου B. [19]τικτὰ Codd. τηκτὰ ex Sched. [20]ἰουνιάδος. A.

λαιου λ^{τρα} [1]γ΄, κηροῦ γο. [2]γ΄, ἐν ἄλλῳ κ΄, κολοφωνίας, στέατος χοιρείου [3]ἀνὰ λι^{τρῶ} ας″· λιθαργύρου λ^{ζ} [4]α΄, ψιμμ^{θ} ουγγ. ς΄, [5]ἐν ἄλλ. γο. β΄, [6]γύρεως, [7]σιτίνης, λινοσπέρμ [8]χυλοῦ ἀνὰ οὐγγ. ς΄, [9]λιβάνου οὐγγ. [10]γ΄. [11]Ἄλλο τοῦ αὐτοῦ· ἄλλο τὸ διὰ μέλιτος πρὸς τὰς μετὰ πλείονος ἐρυθήματος φλεγμονὰς· ψιμμ^{θ}, [12]λιθαργύρου, [13]μέλιτος, [14]ὀρνινείου, βουτύρου, κηροῦ, [15]στέατος [16]ἀνὰ οὐγγ. σ΄, [17]λιβάνου οὐγγ. β΄, [18]ἐν ἀλλ. α΄, [19]ῥοδίνου [20]γο. α΄, ἐν ἀλλ. χ^{τȣ} α΄, ἕψε [21]τὴν λιθάργυρον καὶ τὸ ψιμμιθ΄ μετὰ [22]ῥοδίνου ἐπ᾽ ὀλίγον, καὶ [23]τὰ λοιπὰ προτετηκότα, καὶ ἑνώσας ἐπίβαλε τὸ μέλι, καὶ ἄρας εὐθέως ἀπὸ τοῦ πυρὸς ἐπίπασσε τὸ [24]λίβανον [25]λειότατον καὶ χρῶ. [26]Ἄλλο πρὸς φλεγμονὰς, ᾧ χρῶμαι· στρύχνου [27]τῶν ἁπαλῶν φύλλων ἐν ἄλλῳ τὸ ἀρκοῦν ἕψε [28]καὶ ἀνὰ μέλιτος οὐγγ ς΄· εἶτα [29]ἑνώσας τῆκε κηροῦ γο. ς΄ μετ᾽ ἐλαίου λ^{τȣ} α΄, λαβὼν τὰ φύλλα λείου, καὶ ἐπίβαλε τῆς παρύγρου οὐγγ. ς΄, καὶ [30]ἐπίχεε τοῖς λειωθεῖσι, καὶ ἑνώσας ἀναλάμβανε, καὶ προλούσας ἐπιτίθει· [31]τοῦτο

---

[1]ας B. Sequentia usque ad στέατος in B. desunt. [2]κ΄ P. [3]ἀνὰ om. B. A. [4]α΄ om. B. [5]ἐν ἄλλ. γο. β΄, om. B. P. [6]Scribebatur γυρέως. Lob. [7]Ita A. πιτυίνης P. πιτυ^{ïνης} B. πιτύνης ex Sched. [8]χυ^{λ΄} B. [9]λίβανον B. [10]ας″ Aet. [11]ἄλλο τοῦ αὐτοῦ om. B. A. [12]λιθάργου B. [13]μέλι B. [14]ὀρνειθάξ. B. ὀνειθαξου^{γγ} P. [15]στέατος om. P. [16]ἀνὰ om. P. Totus hic locus in B. sic invenitur: ὀρνειθάξ: οὐγγ. ς΄ βου^{τȣ}, κηροῦ ἀνὰ οὐγγ. ς΄ [17]λίβανον B. [18]ἐν ἄλλ. α΄ om. B. [19]ῥοδίης B. [20]γο. α΄, ἐν ἄλλ. om. B. P. [21]τὴν om. A. τὴν λιθάργου B. [22]τοῦ ῥοδίνου A. ῥοδίνης B. [23]τὰ λοιπὰ — ἑνώσας om. B. P. [24]Legebatur λύβανον. Lob. [25]λειοττὸν B. [26]Ἄλλη ἣ χρῶμα· B. Ἄλλη, ἣ χρῶμαι· P. ἐπίχρισμα ex Sched. [27]τῶν — ἀρκοῦν] φύλλα οὐγγ. ς΄ P. B. [28]καὶ ἀνὰ] μετὰ P. B. [29]ἑνώσας — λείου,] τῆξον μετ᾽ ἐλαίου λ^{τȣ} α΄ : κηρὸν οὐγγ. ς΄ P. B. [30]ἐπιχέει Codd. Scripsi ἐπίχει Lob. [31]om. P. B.

διαφορεῖ δι' ἱδρώτων τὰ λαύρως ποιοῦντα φλεγμονὰς μαστῶν. [2]Ἄλλο· [3]λινόσπερμον ἑψήσας μετ' ὀξυμέλιτος κατάπλασσε, ἢ [4]τῆλιν ὁμοίως, ἢ [5]σήσαμον ἄπλυτον, φρύξας βραχὺ καὶ λεάνας μετὰ μέλιτος ἐπιτίθει θερμὸν, ἢ [6]κυνίαν λευκὴν κόπρον ἀναλαβὼν [7]τερέβινθον ἐπιτίθει. Ἄλλο πάνυ καλὸν [8]ἡ διὰ τοῦ γλοιοῦ· λιθαργύρου [9]λίτρ. β΄, γλοιοῦ [10]ἀπόβανα^x: λανείου, ἐν ᾧ ἄνδρες μόνοι [11]λούονται, χ δ΄, [12]κολοφωνίας οὐγγ. [13]η΄, κηροῦ γο. ς΄, ἐν ἄλλῳ η΄, λεπίδος γο. βς΄΄, θαλασσίου ὕδατος ἢ ἅλμης [14]λίτρ. α΄· τὴν λεπίδα [15]τοῦ χαλκοῦ τῇ θαλάσσῃ λείου ἐφ' ἱκανὰς ἡμέρας, καὶ ἐπιβαλὼν τὴν λιθάργυρον καὶ τὸν [16]γλοιὸν ἑνώσας, ἀναλαβὼν εἰς [17]λοπάδα ἕψε μέχρι καλῆς συστάσεως, καὶ ἐπίβαλε κηρὸν καὶ [18]κολοφωνίαν, καὶ τήξας ἆρον, καὶ ψύξας [19]καὶ μαλάξας χρῶ. [20]Κίνει δὲ ἐν τῷ ἑψεῖν χλωρῶν καλάμων [21]ῥίζαις, ἕως [22]ἀμόλυντος γένηται. Ποιεῖ καὶ [23]ἐπὶ κρουσμάτων καὶ θλασμάτων καὶ ἑλκῶν παλαιῶν καὶ [24]κονδυλωμάτων ἀναλυομένη [25]καὶ ἀντὶ ἐμβροχῆς παραλαμβανομένη. Χρῶ δὲ θαῤῥῶν πρὸς τὰς [26]μετὰ σκληρίας φλεγμονὰς καὶ τῇ [27]ἐν τῷ πρὸ τούτου λόγῳ γεγραμμένῃ ἐν τοῖς διαφορητικοῖς καὶ

---

[1]διάφοροι B. τὰ — μαστῶν] om. B. P. [2]Sequentia in Aet. deleta sunt. ex Sched. [3]λινόσπερμα P. [4]τήλην Codd. Scripsi τῆλιν. Lob. [5]σίσαμα Codd. Dedi σήσαμον. Lob. [6]κόνιαν B. Leg. κυνείαν. Lob. [7]τερεβινθί Codd. τερεβίνθην ex Sched. Dedi τερέβινθον. Lob. [8]ἢ B. [9]λυ^{τρ} B. [10]ἀπόβανα^x : ἄνδρας μόνους λούοντας B. Inter ἀπόβανα^x et ἄνδρας in P. interjicitur βαιανείου. Fort. pro ἀπόβανα^x: λανείου legendum est ἀπὸ βαλανείου. Lob. [11]λούοντος ex Sched. [12]κολοφώνης B. [13]η΄ — βς΄΄] β΄ κηροῦ γο. ς΄ P. βς΄ B. [14]λύτρας ζα B. [15]τοῦ χαλκοῦ om. B. P. [16]καὶ post γλοιὸν add. A. [17]χύτρ P. χύτρα B. ἕψε Codd. mutavi in ἕψε Lob. [18]κολοφώνην B. [19]καὶ μαλάξας om. P. B. [20]Κινεῖν δὲ ἐν ὑγρῷ ἑψεῖν P. Κινεῖν δὲ ἐν ὑγρῷ ἕψον E. ἐν ὑγρῷ ex Sched. [21]ῥίζας B. P. [22]ἀμολύντου B. γένηται om. B. P. [23]ἐπικρουσμάτων P. B. [24]κονδυλομάτων P. B. [25]καὶ — παραλαμβανομένη] om. B. [26]μετακληρίας B. [27]ἐν — λόγῳ] ἔμπροσθεν τούτου B. P.

τοῖς ἐπισπαστικοῖς [1]ἐπιγραφομένῃ διονυσιάδι, τῇ διὰ τερεβινθίνης [2]μάννης, ἀφρονίτρου, ἐλαίου παλαιοῦ καὶ κηροῦ καὶ [3]μίσυος σκευαζομένῃ, [4]ὧν τοὺς σταθμοὺς εὑρήσεις ἐκεῖσε, καὶ τῇ τοῦ ἁλιέως.

## νϛʹ. [5]Περὶ ἀποστήματος ἐν [6]μαστοῖς.

Μὴ λυομένης δὲ τῆς φλεγμονῆς καὶ τῆς [7]σκληρίας, ἀλλ' εἰς ἀπόστασιν τρεπομένης, συνεργεῖν χρὴ τῇ ταχείᾳ μεταβολῇ· εἰ δὲ μὴ [8]διαφορηθῆναι δύναιτο, πλειστάκις [9]γὰρ διεφορήσαμεν τὰς ἤδη μεταβληθείσας ἐν μαστοῖς φλεγμονὰς διὰ τῆς διονυσιάδος ἐμπλάστρου τῆς [10]πρὸ βραχέος ἐπὶ τῶν [11]σκληρυνομένων φλεγμονῶν [12]προῤῥηθείσης. Τό,τε γὰρ ὑγρὸν πᾶν διὰ τῶν ἀδήλων πόρων κομίζεται καὶ τὰς σκληρίας [13]διαλύει· ποιεῖ δὲ καλῶς καὶ ἡ τοῦ [14]ἁλιέως κιῤῥὰ ἡ χωρὶς ὄξους σκευαζομένη, καὶ ἡ [15]Ἀσκληπιάδου μέλαινα. Νικηθέντων δὲ τούτων χειρουργήματος, τὰ μὲν οὖν ἄλλα μέρη τοῦ μαστοῦ ἀδεῶς περιαιρείσθω [16]εἴπερ ὡς σεσηπότα [17]ἢ ἐν σώματι· ὁ δὲ πλησίον τῆς θηλῆς τόπος [18]πεφορτισμένως ἐκτεμνέσθω [19]μονοειδεῖ περιαιρήσει, ἵνα διὰ τῆς ἐκτομῆς γυμνωθῇ τὸ τοῦ ἀποστήματος βάθος, συντηρηθῇ δὲ ἡ

---

[1]ἐπιγραφομένης διονυσίας ἢ τερεβινθ. P. B. τερεβινθίνης] τερεβινθίνου B. [2]μαν^κῶ B. μανναχῷ ex Sched. [3]μήτυος P. B. πίτυος ex Sched. [4]ὧν — ἐκεῖσε,] om. P. B. [5]Est Aetii. ex Sched. [6]μαζοῖς B. P. [7]κληρίας P. B. [8]διαφορησθῆναι δύνοιτο P. B. [9]δὲ A. [10]πρὸς βραχέον P. B. [11]σκληρουμένων P. κληρουμένων B. [12]προσρηθείσης Codd. προῤῥηθείσης ex Sched. [13]διαλύει· ποιεῖ δὲ καλῶς] διαλύει καλῶς P. B. [14]ἀλιέως, ut supra, Codd. omnes. [15]Sic! Deest aliquid. ex Sched. In editoris manuscripto conjectura μὴ — δεῖ in margine adscripta est; sed utrum ad hanc vocem Ἀσκληπιάδου an ad aliam sit referenda, nullum in promtu est indicium. Lob. [16]εἴπει ω P. [17]ἦ B. [18]πεφορτισμένου B. A. πεφροντισμένως ex Sched. [19]μονοειδῶς B. Fort. μηνοειδεῖ. Lob.

θηλὴ ἐπὶ μὲν τῶν ἀῤῥένων πρὸς εὐπρέπειαν, ἐπὶ δὲ τῶν θηλειῶν εἰς τὴν τοῦ γάλακτος ἔκκρισιν· μετὰ δὲ τὴν χειρουργίαν διαμοτούσθω [1]ἡ τομὴ φυλαττόμενος ἐπὶ πάντων μὲν, μάλιστα δὲ ἐπὶ μαστῶν [2]ὀσφηνοῦς τὴν διαίρεσιν τοῖς μοτοῖς σφόδρα· ἐκ τούτου γὰρ συριγγοῦσθαι συμβαίνει. Ἀπὸ δὲ τῆς τρίτης [3]ἡμέρας χρῆσθαι τοῖς [4]πυοποιοῖς ἐμμότοις, εἶτα τοῖς ἀνακαθαίρειν δυναμένοις, ἔπειτα τοῖς ἀναξηραίνειν καὶ παρακολλᾷν δυναμένοις, καλῶς δὲ [5]ποιεῖ ἐπ' αὐτῶν ἡ τοῦ [6]ἁλιέως κιῤῥὰ, ἡ χωρὶς ὄξους σκευαζομένη, καὶ ἡ κιῤῥὰ γαληνοῦ ἡ πρὸς τὰ κακοήθη ἕλκη προγεγραμμένη, ἐπάνω δὲ [7]σπόγγον ἐξ οἴνου ἐπιτέθει· παραδόξως δὲ ποιεῖ μετὰ τὴν χειρουργίαν ἡ διὰ [8]αἰρῶν μέλαινα ἐπιτιθεμένη· [9]ἐκκενοῖ γὰρ καὶ παρατίθησι [10]καὶ ἀνακολλᾷ.

## νζ'. [11]Περὶ τῶν κατὰ μαστοὺς συρίγγων.

Ἐνίοτε [12]συριγγοῦται μαστὸς μετὰ τὴν τοῦ ἀποστήματος ῥῆξιν ἢ χειρουργίαν κακῶς θεραπευόμενος, ὡς ἐπὶ τὸ πλεῖστον δὲ αἱ ἐνταῦθα γινόμεναι σύριγγες πᾶσαι εἰς σάρκα λήγουσιν, οὐκ εἰς ὀστοῦν, [13]εἰ μὴ σφόδρα [14]χρονίσειεν. Δεῖ δὲ πρῶτον πειρᾶσθαι διὰ τῶν καταλλήλων φαρμάκων καὶ ταύτας θεραπεύειν, καλῶς δὲ ποιεῖ ἐπ' αὐτῶν ἡ [15]δι' αἰρῶν μέλαινα, καὶ χρῶ [16]ταύτῃ θαῤῥῶν. Ἰδίως δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ [17]αὕτη ἔμπλαστρος ἡ καὶ

[1]ἢ B. A. [2]σφηνοῦς P. [3]ποιοποιοῖς B. [4]ἡμέρης legebatur. Lob. [5]ποιεῖν B. [6]ἀλιέου B. ἀλιέως P. A. [7]σπόγγων ἐξοίνου B. [8]ἡρῶν B. [9]ἐκκαινοῖ B. P. [10]καὶ ἀνακολλᾷ om. P. B. [11]Haec verba in B. finem faciebant capitis superioris. Lob. [12]συριγγοῦσθαι Codd. συριγγοῦται ex Sched. [13]ἢ B. [14]χρονήσειεν Codd. χρονίσειεν ex Sched. [15]διαιρῶν P. B. [16]αὐτὴν P. B. θαρῶν B. [17]αὐτὴ P. B. Quae subsequuntur ab ἔμπλαστρος usque ad γυμνὴν τὴν θηλὴν, omnia in P. et B. desunt et leguntur in A. solo. Lob.

πρὸς τὰς ἐν μαστοῖς ἀποστάσεις ὠφελοῦσα καὶ φύματα πάντα διὰ τῶν ἀδήλων πόρων τὸ πύον ἐξιποῦσα καὶ ἄδηλον τὸν ὄγκον τάχιστα ποιοῦσα· διαφορεῖ γὰρ καὶ τὰ ἤδη μέλλοντα τέμνεσθαι· ἀναξηραίνει δὲ καὶ τὰς σύριγγας πάνυ καλῶς ἔξωθεν ἐπιτιθεμένη· καταλιπεῖν δὲ χρὴ ἐπὶ πάντων γυμνὴν τὴν θηλήν. Ἔχει δὲ οὕτως· [1]λιθαργύρου λιτρ. α', ἐλαίου λιτρ. α', ὕδατος οὐγγ. ϛ', [2]ἀμμωνιακοῦ θυμιάματος, πυρέθρου ἀνὰ γο. ϛ', [3]πιτυΐνης οὐγγ. δ', [4]κολοφωνίας οὐγγ. α'· ἕψε [5]ἔλαιον, ὕδωρ [6]λιθάργυρον ἕως ἀμολύντου, εἶτα [7]ἐπίπασσε τὸ ἀμμωνιακὸν [8]λελειωμένον καὶ σεσησμένον, καὶ διαλυθέντος αὐτοῦ ἐπίβαλε τὰς ῥητίνας, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίπασσε τὸ πύρεθρον, καὶ ἀναμαλάξας χρῶ ἐμπλάσσων, καὶ ἔρια ξηρὰ ἄνωθεν τῆς ἐμπλάστρου [9]ἐπιτιθεὶς καὶ ἐπιδεσμῶν, [10]γυμνῆς καταλειπομένης τῆς θηλῆς, [11]ἐπ' ἀνθράκων δὲ ἕψε· κεχρονισμένης δὲ τῆς διαθέσεως, ἀναστέλλειν χρὴ τὴν τῆς σύριγγος [12]ὑποφορὰν, [13]πυρῆνα μήλης [14]ὑποβάλλοντας καὶ τέμνοντας καὶ ἀκολουθοῦντας τῷ [15]τοῦ πυρῆνος τῆς [16]μήλης ἐλάσματι ἕως βάθους, καὶ τότε ἀφαιρεῖν πάντα τὰ [17]τετυπωμένα καὶ σκληρὰ καὶ ἀλλότρια σώματα, μετὰ δὲ τὴν ἐκτομὴν τὴν [18]πυοποιὸν ἀγωγὴν δοκιμάζειν, ἔπειτα τὴν ἀνακαθαίρουσαν καὶ σαρκοῦσαν, εἶτα τὴν [19]ἐπουλοῦσαν καὶ ἀναξηραίνουσαν.

---

[1]ἐν λιθαρ$^{γγ}$ B. P. ἐν om. A. Scripsi λιθαργύρου. Lob. [2]Haec usque ad πιτυΐνης in B. deleta sunt. Lob. [3]πιτῦ B. [4]κολοφώνης B. [5]ἐλαίου B. [6]λιθαργότερον B. [7]ἐπίπασαι B. P. [8]λελειωμένον καὶ om. P. B. [9]ἐπιτιθῶν P. B. [10]γυμνὴν καταλιμπάνων τὴν θηλὴν, A. [11]ἐπ' ἀνθράκων δὲ ἕψε om. P. B. [12]ἀποφορὰν B. [13]διπύρινον μίλην P. διπύρινον μίλης B. [14]ὑποβαλλόντες (sic!) καὶ τέμνοντες καὶ ἀκολοθοῦντες P. B. [15]τοῦ πυρῆνος om. P. B. [16]μίλης P. B. ἐλασματι B. [17]Ita Codd. Fort. τετυλωμένα Lob. [18]ποιὸν B. [19]ἐπούλουσαν B.

## [1]νη΄. Περὶ τῶν ἐν μαστοῖς φαγεδαινικῶν ἑλκῶν.

Τὸ [2]φαγεδαινικὸν ἕλκος διαφέρει τοῦ καρκινώματος, τὸ μηδὲ πάνυ σκληρὰ ἔχειν τὰ [3]πέριξ μήτε [4]κρισσομένας τὰς φλέβας, μήτε [5]μέχρι βάσεως [6]διήκειν· ἔτι δὲ ἡ μὲν φαγέδαινα πᾶσα πείθεται τῇ φαρμακίᾳ, ἡ δὲ κακοήθης καὶ θηριώδης διάθεσις παροξύνεται [7]πρὸς τὰς τῶν φαρμάκων ἐπιθέσεις. [8]Φαγεδαινικῆς μὲν οὔσης τῆς διαθέσεως ἐπὶ τὴν σύντομον καὶ ἀσφαλεστέραν [9]θεραπείαν ὁρμῆσαι χρή· λέγω δὲ τὴν τῶν τετυλωμένων χειλῶν ἐκτομὴν, μετὰ δὲ τὴν ἐκτομὴν καίειν τὰ χείλη καυτηρίοις διαπύροις [10]διά τε τὴν ὑποπτευομένην αἱμοῤῥαγίαν καὶ διὰ τὴν ἀσφαλῆ θεραπείαν· φάρμακα δὲ καὶ ταῖς τῶν μαστῶν [11]ἀναβρώσεσιν ἐπιτήδεια πρὸς τὰς καρκινώδεις [12]ῥηθησόμενα.

## νθ΄. Περὶ τῶν ἐν μαστοῖς καρκινωμάτων.

Ἡ τῶν καρκινωδῶν ὄγκων γένεσις συνεχέστατα γίνεται περὶ τοὺς μαστοὺς, μᾶλλον δὲ ἀνδρῶν ἁλίσκονται τῷ πάθει γυναῖκες εὐσάρκους τε καὶ μεγάλους ἔχουσαι τοὺς μαστούς. Οἱ δὲ ἀρχαῖοι τὸ καρκινῶδες ἕλκος προσηγόρευσαν καὶ θηριῶδες καὶ κακόηθες· καρκινῶδες μὲν κατὰ μεταφορὰν τῶν καρκίνων ζώων· καὶ γάρ εἰσι καὶ τραχεῖς καὶ ἀπηνεῖς τῇ σκληρότητι τὰ ζῶα ταῦτα, καὶ εἴ τινος [13]λάβοιτο ταῖς [14]χηλαῖς, εἰσὶ δυσαπόσπαστοι· παραπλήσιος δὲ ὁ καρκινώδης ὄγκος ἀντίτυπος ὑπάρχων

---

[1]Sequentia in Aetio deleta sunt. ex Sched. [2]Legebatur φαγεδονικὸν. Lob. [3]πρὶξ B. [4]Fort. κεκιρσωμένας. Lob. [5]με$^{τε}$ B. [6]δίκην B. [7]πρός τε τῶν φ. ἐπίθεσις. B. [8]Iterum mendose scribebatur φαγεδονικῆς. Lob. [9]θεραπείαν om. B. [10]διὰ δὲ B. [11]ἀναρώσεσιν B. [12]ῥηθησομένας B. [13]βάλοιτο B. [14]χειλαῖς Codd. Sine dubio χηλαῖς. Lob.

καὶ ὀχθώδης καὶ διὰ τοῦτο δυςίατος καὶ ἀνίατος. Θηριῶδες δὲ καὶ κακόηθες προςαγορεύεται ἀπὸ τῶν [1] ἀγρίων καὶ κακοήθων ζώων· καὶ γὰρ δυςπειθὲς τὸ πάθος καὶ τῇ θεραπείᾳ ἀγριαινόμενον καὶ τῇ χειραψίᾳ παροξυνόμενον. Δύο δὲ καρκινωμάτων εἰσὶν αἱ [2] ἀνώτατοι διαφοραί· τὰ μὲν γὰρ αὐτῶν [3] ἀνέλκωτα γίνεται, τὰ δὲ [4] ἡλκωμένα. Τὰ μὲν οὖν [5] ἀνέλκωτα καρκινώματα κρυπτὰ ὠνόμασαν οἱ πλεῖστοι τῶν ἀρχαίων· ὁ δὲ Φιλόξενος ἰδίως κρυπτὸν ὠνόμασε καρκίνωμα τὸ ἐν μήτρᾳ ἢ τοῖς ἐντέροις γινόμενον. [6] Ἀνελκώτου μὲν [7] ὄντος καρκίνου ὄγκος καταλαμβάνεται ἐν τῷ μαστῷ διαφέρων μεγέθει, ἀντίτυπος ἀνώμαλος, ἀγρίου λίθου τὴν ἀπήνειαν ἔχων, [8] στερεὸς δὲ διὰ βάθους ἐκπεφυκὼς, καὶ τὰς ῥίζας πόῤῥω διαβεβλημένος, καὶ φλεψὶ ταῖς παρακειμέναις οἷον συνδεδεμένος, καὶ κεκιρσωμένας ἔχων τὰς πέριξ φλέβας· τεφρώδης [9] δέ ἐστι καὶ πορφυρίζων καὶ ὑποπέλιδνος τῇ χρόᾳ, καὶ τοῖς μὲν ὁρῶσι μαλακὸς νομίζεται, ἁπτομένοις δὲ σκληρότατος, ὅθεν οὐ πιστευτέον τῇ τῆς ὄψεως [10] δόξῃ· [11] ὀδύνας δὲ νυγματώδεις καὶ πόῤῥω που διατεινούσας ἐμποιεῖ, ὥςτε κατὰ συμπάθειαν ἐν ταῖς μασχάλαις βουβῶνας ἐπανίστασθαι κακοήθεις· [12] διήκουσι δὲ οἱ πόνοι μέχρι κλειδὸς καὶ [13] ὠμοπλάτης.

## ξ. Ἑλκωμένου σημεῖα.

Εἰ δὲ ἑλκωθείη, διαβιβρώσκει, [14] ὡς καὶ διὰ βάθους ὑποσκάπτων στῆναι [15] ἀμηχανῇ· ἰχῶρας δὲ ἐκβάλλει

---

[1] θηρίων add. B. post ἀγρίων. [2] ἀνίατοι B. [3] ἀνελκότα B. [4] ἡλκόμενα Codd. Placuit ἡλκωμένα. Lob. [5] ἀνελκότα Codd. ἀνέλκωτα ex Sched. [6] ἀνελκότου B. [7] οὗτος B. [8] Leg. στερεῶς. Lob. [9] τε P. [10] δόξει B. [11] ὀδῦνας male Codd. [12] διοίκουσι Codd. διήκουσι ex Sched. [13] ὠμοπλάτους Codd. Dedi ὠμοπλάτης. Lob. [14] ἅς P. ἃς B. Scripsi ὡς. Lob. [15] ἀμηχανῆ praebebatur. Lob.

[1]παντὸς ἰοῦ θηριώδους, πονηροτέρους, [2]δυςώδεις τε καὶ πολλούς· ὁμοίως δὲ [3]πόνοι νυγματώδεις τούτῳ συνεδρεύουσι καὶ μᾶλλον οὕτως παροξύνεται ἐν ταῖς χειραψίαις καὶ ταῖς [4]φαρμακείαις.

## Τίνα τῶν [5]καρκινωδῶν ὄγκων εὐΐατα, καὶ τίνα ἀνίατα.

Καθόλου δὲ τὰ συμφυῆ τῷ θώρακι καρκινώματα ἀπαγορεύειν προςήκει, ὥςπερ καὶ τὰ ἐν κεφαλῇ ἢ τραχήλῳ ἢ [6]νώτῳ ἢ μασχάλαις ἢ βουβῶσι καὶ τὰ ἐν ὑστέραις γινόμενα· ταῦτα πάντα ἀνίατα τὸν ἐν χερσὶ [7]καθ' αἱμοῤῥαγίαν κίνδυνον ἐπάγοντα μετὰ τοῦ μήτε τελέως ἀναιρεῖσθαι· τὰ δὲ κατὰ τὸ ἄκρον τοῦ τιτθοῦ γινόμενα εὐΐατα συναποτεμνόμενα στερήσει δηλονότι τοῦ πάσχοντος μορίου.

## ξα'. Χειρουργία καρκινωμάτων.

Ἐγὼ μὲν οὖν ἐπὶ τῶν συμπεφυκότων τῷ θώρακι καρκινωμάτων εἴωθα χρῆσθαι τῇ χειρουργίᾳ. Ἔστι δὲ ὁ τρόπος τοιοῦτος· τῆς πασχούσης ὑπτίας ἐσχηματισμένης ὑπὲρ τὸ καρκίνωμα διαιρῶ τὸ μέρος τοῦ μαστοῦ τὸ ὑγιὲς, καὶ [8]τὸ διῃρημένον ἐπικαίω καυστηρίοις, ἕως ὅτου ἐσχαρωθέντων τῶν σωμάτων ἐπισχεθῇ ἡ αἱμοῤῥαγία, εἶτα πάλιν ἐπιχαράσσων ἅμα καὶ [9]βαθυτομῶν τὸν μαστὸν, καὶ πάλιν τὰ τετμημένα καίω, καὶ πλειστάκις τοῦτο ποιῶ τέμνων, καὶ μετὰ ταῦτα καίω πρὸς ἐποχὴν τῆς αἱμοῤῥαγίας. Ἔστι γὰρ ἀκίνδυνος αἱμοῤῥαγία αὐτὴ· μετὰ δὲ τὴν τελείαν ἀποκοπὴν πάλιν ἐπικαίω τὰ μέρη ὅλα ἕως ἀναξηρασμοῦ, τὸ μὲν γὰρ πρῶτον καὶ ὡς πρὸς τὴν τῆς αἱμοῤῥαγίας ἐποχὴν, ἔσχατον δὲ μετὰ τὴν τελείαν

[1]Legebatur πάντος ἴου. Lob. [2]συσώδεις B. [3]πόνον B. In sqq. praebebatur τοῦτο. Lob. [4]φαρμακίαις B. [5]καρκινωμάτων B. [6]νότῳ B. [7]κατ' male invenieb. Lob. [8]τὸ om. B. [9]βαρυτομῶν B.

ἀποκοπὴν, τὰ καυτήρια προσάγω πρὸς τὴν τοῦ πάθους [1]ὅλου ἀνασκευήν. Εἴωθα δέ ποτε καὶ χωρὶς καύσεως ἐνεργεῖν, ὅταν ὄγκος γένηται περὶ τὸν μαζὸν χοιραδώδης, μελετῶν τὴν τοῦ καρκινώματος γέννησιν. Τοιούτου τοίνυν ὄντος τοῦ πάθους ἔξεστιν ἀρκεσθῆναι τῇ ἀπὸ τῶν ὑγιεινῶν μερῶν ἐκτομῇ τοῦ μαζοῦ, οὐδὲ γὰρ σφόδρα γίνεται ἐπὶ τῶν τοιούτων αἱμοῤῥαγία. [2]Μετὰ δὲ τὴν ἐκτομὴν καύσεως μὴ δοκιμαζομένης, διαμότωσιν παραλαμβάνομεν καὶ τὴν ἀκόλουθον [3]πυοποιὸν θεραπείαν καὶ τὴν λοιπὴν ἐπιμέλειαν, ἀναξηραίνειν [4]ἐπαγγελλομένην· καύσεως [5]δὲ ἐν τῇ χειρουργίᾳ δοκιμαζομένης, ἐπὶ μὲν τῶν ἄλλων χρώμεθα καταπλάσματι, [6]ἀρνογλώσσῳ, ἢ πολυγόνῳ, ἢ [7]σησάμῳ λείῳ, ἐνίοτε δὲ καὶ τὸ ἐντὸς τοῦ ἄρτου μίγνυμέν τινι τῶν εἰρημένων· ἔξωθεν δὲ τοῦ καταπλάσματος ὀθόνιον ὕδατι βεβρεγμένον ἐπιτιθέσθω, [8]εἴτ' ἐπίδεσις κούφη δοκιμαζέσθω. Καλῶς δὲ καὶ [9]ἀνωδύνως [10]ἀφιστᾷ τὰς ἐκ τῶν [11]καυτηρίων ἐσχάρας γάλα, [12]μέλι προσλαβὸν καὶ διὰ τῶν [13]μοτῶν προσαγόμενον, μετὰ δὲ τὴν εἰρημένην ἐπιμέλειαν [14]κατάκλυσις δοκιμαζέσθω ἐν οἴκῳ θερμῷ· πᾶσα γὰρ ψύξις βλαβερὰ τῷ πάθει καὶ μάλιστα ἐν τῷ τῆς ἀκαθάρσεως τῶν ἑλκῶν καιρῷ· [15]σπασμὸν γὰρ ἐρεθίζει. Τῇ δὲ δευτέρᾳ [16]ἢ τῇ τρίτῃ λύσαντες καὶ [17]καταντλήσαντες ὕδατι [18]χλιαρῷ, καταπλάττομεν [19]φακῷ ἑφθῷ μετὰ μέλιτος πάνυ ἐλαχίστου διὰ τὸ ἐρεθιστικὸν τοῦ μέλιτος, ἔξωθεν δὲ φύλλα

[1]ὕλην B. [2]Inde Aetius cap. LII. pergit. δὲ om. P. B. [3]πυροποιὸν B. [4]ἐπαγγελλομένης P. B. [5]δὲ sicuti antecedentem interpunctionem om. P. B. [6]ἀρνογλώσσῃ P. B. [7]σεσαμοελαίῳ P. B. [8]Pro εἴτ' leg. εἶτ'. Lob. ἐπιδέσεσι κούφαις P. B. [9]ἀνωδίνως B. [10]ἀφιστῷ P. B. [11]καυτήρων A. [12]μέλι om. P. B. προςλαβὼν P. B. [13]μότων A. λαμβανόμενον pro προσαγόμενον legitur in P. et B. [14]κατάκλισις A. B. [15]σπασμένον P. B. [16]τῇ om. P. B. [17]κατακλίσαντες B. [18]χλυαρῷ B. [19]φάκκῳ B. φακκῷ P. Scripsi φακῷ. Lob.

ἀμπέλου ἢ [1]θριδακίνης ἐπιτιθέντες, ἐπιδέσμῳ [2]οἰκείῳ χρώμεθα, καὶ [3]τούτῳ ἐπιμένομεν, ἕως ἐκπέσωσι [4]αἱ ἐσχάραι· μετὰ δὲ τὴν [5]τῶν ἐσχαρῶν ἔκπτωσιν τῇ διαμοτώσει χρώμεθα· παραιτούμεθα [6]δ' ἐπὶ τούτων [7]καὶ τὰ δριμύτερα τῶν φαρμάκων καὶ τὰ λιπαίνοντα. Εἰς ἀνάμνησιν γὰρ ταῦτα ἄγει τὸ πάθος· διόπερ εἴωθα γάλακτι γυναικείῳ ἢ ὀνείῳ ῥόδινον ἔλαιον προςπλέκειν καὶ τούτῳ τοὺς μοτοὺς βρέχειν καὶ προςτιθέναι κατ' αὐτῶν [8]ἔξωθεν [9]μοτοφυλάκιον τῷ αὐτῷ βεβρεγμένον, καὶ ἐπίδεσιν [10]ἁπλῆν καὶ κούφην [11]παραλαμβάνειν. Ὁ γὰρ τῶν πολλῶν ὀθονίων [12]καὶ ἐρίων ὁ φόρτος ἐπὶ τούτων βλαβερὸς, καὶ ἐν μὲν τῷ [13]τῆς πυοποιήσεως καιρῷ πλεῖον ἔστω τὸ ῥόδινον· πρὸς δὲ τὴν ἀνακάθαρσιν πλεοναζέτω τὸ γάλα· ἐὰν δὲ [14]κατεπείγῃ, ἔξωθεν τῶν μοτῶν καταπλάσματι χρῆσθαι [15]μελιλώτων μετὰ ῥοδίνου καὶ ὕδατος ἢ γάλακτος γυναικείου [16]καὶ ἐπιτιθέσθω· τὰ γὰρ [17]κηρώματα καὶ τὰ περίεργα [18]καταπλάσματα ἐπὶ τούτων βλαβερὰ· πρὸς δὲ τὴν ἐπούλωσιν ξηροῖς μοτοῖς χρηστέον, ὕδατι βεβρεγμένοις. Εἰ δὲ ξηρίου χρεία γένοιτο, σποδὸς [19]πομφόλογος ἀκριβέστατα [20]πεπλυμένη καὶ ἐξηρασμένη ἐπιπαττέσθω, [21]ἢ καδμεία τρὶς κεκαυμένη [22]καὶ ἐσκευασμένη ῥοδίνῳ, ἔπειτα πεπλυμένη [23]ἀκριβέστατα καὶ ἐξηραμένη. [24]Ἀπέχεσθαι δὲ κατὰ τὸν καιρὸν τῆς θεραπείας οἴνου καὶ τῶν δυςπέπτων τροφῶν καὶ ψυχροπο-

---

[1] θριδανάκης B. ἐπιτιθέντος P. B. [2] οἰκείῳ om. P. B. [3] τοῦτο P. B. [4] αἰσχάραι B. ἐσχάραι P. [5] τῆς ἐσχάρας P. B. et mox μοτώσει B. [6] δ' om. B. [7] καὶ om. A. [8] ἔξοθεν B. [9] μοτοφύλακα A. τῷ αὐτῷ] τὸ αὐτὸ P. B. [10] ἁπαλὴν B. [11] παραλαμβάνων P. B. [12] καὶ ἐρίων ὁ om. A. [13] π' τῆς ποιήσεως B. π'] πρώτῳ ex Sched. [14] καταπήγῃ P. B. [15] μελιτώτων B. [16] καὶ om. P. B. [17] κιρώματα B. [18] πλάσματα B. [19] Fort. πομφόλυγος. Lob. [20] πεπλεγμένη B. et statim ἐξηραμένη A. ἐπιπατέσθω B. ἐπιπλαττέσθω ex Sched. [21] ἡ B. [22] καὶ ἐσκευασμένη] καὶ ἐσβεσμένη P. om. B. [23] ἀκριβέστατα καὶ ἐξηραμένη, pro quo ἐξηρασμένη habet P., desunt in B. [24] ἀπευχέσθω A. ἀπεύχεσθαι P. B. ἀπέχεσθαι ex Sched.

σίας· τῆς δὲ ἑλκώσεως εἰς οὐλὴν ἀγομένης οὐ δεῖ καταμελεῖν, ἀλλὰ ῥωννύναι τὴν [1]ἅπασαν ἕξιν τοῦ σώματος, καὶ εἰς εὐχυμίαν τρέπειν δι' εὐχύμων τροφῶν καὶ [2]γυμνασίων καὶ [3]αἰῶρας καὶ τῆς λοιπῆς ἀναληπτικῆς ἀγωγῆς.

### ξβ'. Ἐπιμέλεια καρκινωμάτων τῶν [4]χειρουργίᾳ μὴ ὑποβαλλομένων.

Πρῶτον μὲν πρὸ πάσης ἐπιμελείας παντὸς ἕλκους κακοήθους προείρηται πλειστάκις, ὡς [5]προνοεῖσθαι χρὴ τοῦ παντὸς σώματος καὶ οὕτω τοῖς τοπικοῖς βοηθήμασι χρῆσθαι. Εὔλυτον μὲν οὖν προσήκει τὴν κοιλίαν κατασκευάζειν διά τε τροφῶν καὶ δι' ἀλοῆς καὶ τῆς δι' αὐτῆς σκευαζομένης πικρᾶς· διδόναι [6]δὲ πίνειν συνεχῶς, καὶ [7]τὰ πρὸς τὰ δηλητήρια φάρμακα ἁρμόζοντα, οἷά ἐστιν ἡ θηριακὴ καὶ ἡ [8]μιθριδάτειος καὶ ἡ δι' αἱμάτων ἀντίδοτος, τῶν δὲ ἁπλῶν μάλιστα, αἷμα [9]χηνὸς ἢ νήσσης νεοσφαγοῦς θερμὸν διδόναι, ἢ τριφύλλου τῆς ἀσφαλτώδους [10]λειοτάτης ὅσον κοχλιάριον [11]α' ἢ β' μεθ' ὕδατος [12]κυάθων τριῶν, ἢ πηγάνου ἀγρίου [13]σπέρμα ὅσον [14]κύαθ. γ', ἢ γλήχωνος [15]παλαιοτέρας ∠α' διδόναι [16]χρὴ καὶ μαλάχης ἀφέψημα. Ὠφελήσει δὲ τὰ μεγάλα [17]καὶ καρκίνων ποταμίων ζωμὸς σὺν γάλακτι ὀνείῳ ἢ [18]ἱππείῳ ῥοφούμενος ἐπὶ ἡμέρας πέντε, [19]εἶτα ἔμετος ἀπὸ τροφῆς ἡμέρας ε'· καὶ πάλιν ἡ τῶν ποταμίων καρκίνων πόσις ἡμέρας ε' [20]καὶ ὁ ἔμετος. Ἑπτάκις γὰρ ἡ τοιαύτη

---

[1]πᾶσαν P. B. [2]Post καὶ in B. priora verba ψυχροποσίας· τῆς δὲ ἑλκώσεως εἰς οὐλὴν ἀγομένης (lacun.) καὶ repetuntur. [3]ἑώρας P. B. Fort. ἑώρας sive αἰώρας. Lob. [4]χειρουρ^γ B. [5]νοεῖσθαι B. [6]δὲ om. P. B. [7]πρὸς τὰ δηλητήρια B. [8]μιθριδάτιος P. B. [9]χεινὸς et paullo post νέσης P. B. [10]λειοτάτης om. P. B. [11]α' ἢ β'] λείων P. B. [12]κυάθων τριῶν] ἢ καὶ δύο P. B. [13]σπέρμα] σπέρματος γο. α'' ἐν ἄλλῳ A. [14]∝ P. B. [15]παλαιο^τερ B. [16]δὲ P. B. [17]καὶ om. P. B. [18]ἱππίῳ P. B. ἢ ἐπὶ ὀῷ in marg. A. [19]Verba: εἶτα — τροφῆς ἡμέρας ε' om. A. [20]καὶ ὁ ἔμετος om. A.

[1]περίοδος παραληφθεῖσα [2]πραότατον τὸν καρκινωδέστατον μαστὸν ἀποτελεῖ καὶ [3]ἡ διὰ τῶν ἁπλουστέρων λοιπῶν ἐπιθεμάτων ἐπιμέλεια εἰς τὸ κατὰ φύσιν ἐπανάγει.

## ξγ΄. Ἐπιμέλεια τῶν [4]ἀνελκώτων καρκινωδῶν ὄγκων.

Ἰδίως δὲ ἐπὶ τῶν [5]ἀνελκώτων ὄγκων ἄρτον μετ' [6]ὀλίγου συμφύτου λειώσας, ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ καὶ ἐμπλάσας, κουφότερον ἐπιτίθει· ἐν δὲ τοῖς παροξυσμοῖς ῥόδα, μελίλωτα· μήκωνος σπέρμα λεάνας [7]σὺν γλυκεῖ καὶ βραχὺ ἑψήσας, καὶ σὺν [8]λεκίθοις ᾠῶν λεάνας ἐπιτίθει, ἢ [9]ἀλθαίας φύλλα λεάνας ἑφθὰ ἐπιτίθει καθ' [10]αὑτὰ ἢ σὺν ἄρτῳ. Δραστικὸν δέ ἐστιν ἐν τοῖς παροξυσμοῖς παραλαμβανόμενον [11]καὶ τοῦτο· [12]ἀρνογλώσσου σπέρματος καὶ κωδίας μήκωνος σὺν τῷ σπέρματι καὶ ψυλλίου ἴσα κόψας, [13]σήσας τὰ ἄλλα· τὸ δὲ [14]ψύλλιον γλυκεῖ ῥοδίνῳ κρητικῷ ὀλίγῳ [15]βρέξας καὶ λεάνας καὶ φοινίκων λιπαρῶν σάρκας τὸ ἀρκοῦν, κἄπειτα μίξας τοῖς ξηροῖς ἐπίβαλε καὶ τὸ ψύλλιον, καὶ ἑνώσας, καὶ στέαρ χήνειον ὀλίγον [16]ἐπιβαλὼν, καὶ [17]χλιάνας ἅμα τὰ πάντα ἐπιτίθει θερμὸν. Εἰ δὲ ψυχροῖς μᾶλλον [18]χαίρει ἡ διάθεσις, κόψας τὰ προειρημένα καὶ ἀναλαβὼν [19]ταῖς φοίνιξι, καὶ ἄρτον διάβροχον σύμμετρον [20]συμπλέκων, ἐπι-

---

[1]πόσις A. [2]πραότητος· ὁ καρκῖνος δὲ ὁ στέατος μιστὸς ἀπετελέσθη B. πραότατος ὁ καρκινωδέστατος μιστὸς ἀπετελέσθη P. [3]δι' ἁπλουστέρων λοιπὸν ἐπιθεμάτων εἰς τὸ κατὰ φύσιν ἀνελήφθη. P. B. [4]μὴ εἰλκωμένων καρκινωμάτων. P. μὴ εἰλκομένων καρκ. B. [5]ἀνελκότων B. [6]ὀλίγον male inveniebatur. Lob. σύμφυτον P. B. [7]σὺν γλυκεῖ] γλυκὺ P. B. [8]λεκίνθοις P. B. λεκύθοις A. Placuit λεκίθοις. Lob. [9]Scribebatur ἀλθείας. Lob. [10]αὐτὸ P. B. [11]καὶ om. P. B. [12]ἀρνογλώσσης σπέρμα· μήκωνος σπέρμα σὺν ψιλίῳ ἴσα P. B. [13]σείσας P. B. [14]ψίμον B. ψίλιον P. γλυκὺ P. B. ῥοδίνῳ et ὀλίγῳ om. A. [15]βρέχων· λεάνας δὲ P. B. [16]om. P. B. [17]λεάνας P. B. et in marg. A. [18]χαίροι A. [19]τοῖς A. [20]προςπλέκων P. B.

τίθει ψυχρὸν· χρήσιμον [1] δὲ ἐπὶ τῶν καρκινωδῶν καὶ τὸ τοῦ ἐρυσίμου σπέρμα [2] λεῖον μετὰ ὑσσώπου ὀλίγου, καὶ ὑδρομέλιτος [3] θερμὸν ἐπιτιθέμενον· μελίας δὲ τοῦ δένδρου τὰ φύλλα τὰ ἁπαλὰ ἑψόμενα ὕδατι, [4] εἶτα λεῖα καθ᾽ αὑτὰ θερμὰ ἐπιπλαττόμενα [5] παραμυθεῖται τῶν κακοηθεστάτων [6] καρκίνων τὰς ὀδύνας, [7] καὶ εἴ τις ἐπιμένει αὐτοῖς, διαφορεῖ θαυμαστῶς. Καὶ τῷ ἀφεψήματι δὲ τῶν φύλλων πυρίᾳ χρῶμαι συνεχῶς καὶ [8] ἐπιτυγχάνω· ἔστι δὲ τὸ δένδρον ἐργάσιμον ἄκαρπον. Μετὰ δὲ ταῦτα πάλιν τὸ δι᾽ [9] ἀρνογλώσσου κατάπλασμα δοκιμαζέσθω, [10] ἢ ἡ Ἱκεσίου ἔμπλαστρος, ἢ μᾶλλον ἡ πανακία μέλαινα [11] εὐαφεστάτη σκευαζομένη, [12] ἢ ἑτέρα τῶν παραπλησίων [13] ἐπιτιθέσθω· καὶ ταῦτα μὲν, εἰ μὴ ἕλκος εἴη.

## ξδ΄. [14] Ἡλκωμένου καρκίνου ἐπιμέλεια.

[15] Ἡλκωμένῳ δὲ κακοήθει πρᾳοτάτων ἐπιθεμάτων ὁμοίως [16] κειμένων, τὸ κειμήλιον τοῦτο παράλαβε, φησὶν Ἀρχιγένης, ὃ καὶ ἔχει οὕτως· [17] λιθάργυρον λιτρ. α΄., ἐλαίου καλοῦ οὐγγ. [18] ς΄, στέατος [19] ὑείου προσφάτου, [20] κηροῦ λευκοῦ ἀνὰ λιτȣ α΄, ᾠῶν ὀπτῶν [21] λεκίθων ιβ΄· τὴν λιθάργȣ τρῖβε μεθ᾽ ὕδατος συμμέτρου, εἶτα [22] παραχέων τι καὶ τοῦ ἐλαίου, ἐπίβαλε τὰς [23] λεκίθους καὶ

---

[1] δὲ om. P. B. [2] λειῶν et statim ἰσσώπου P. B. [3] θερμῶν ἐπιτιθεμένων B. P. [4] εἶτα om. P. B. λεῖα] λείω (ει superscr.) B. λείει P. [5] παραμυθεῖεν P. B. [6] καρκίνων om. P. B. [7] ἑψήματι B. [8] ἐπιτυχῶς ἐστι P. B. [9] ἀρνογλώσσης P. B. [10] εἶτα P. B. Ἱκεσίου] ἱκεσία P. B. [11] εὐηθεστάτη B. εὐαθεστάτη P. [12] ἡ B. P. [13] δοκιμαζέσθω P. B. Sequens καὶ om. in iisdem Codd. [14] εἱλκομένων καρκίνων B. εἱλκωμένων καρκίνων P. [15] εἱλκομένων δὲ κακόη(θες) πραότατον ἐπίθεμα τῶν ὁμοίων. P. B. [16] κειμένων — οὕτως] λάβε δὲ οὕτως P. B. [17] λιθαργότερον B. [18] ις΄ A. [19] ἠΐου B. υἵου P. [20] κηροῦ λευκοῦ ἀνὰ] om. P. B. [21] λεκίνθοις B. λεκίνθους P. λεκύθων A. Dedi λεκίθων. Lob. [22] παραχέων τι] παραχέοντα P. B. τοῦ ἐλαίου] τῷ ἐλαίῳ P. B. [23] Mendose, ut antea, scribebatur. Lob.

[1] συλλέαινε· τὸ [2] δὲ στέαρ ἐξυμενίσας καὶ [3] ψύσας, ἐν θυΐᾳ [4] τῆκε ἀκνίσως σὺν τῷ κηρῷ καὶ διήθει. [5] Ψυχθὲν δὲ κινῶν ἐπίβαλε [6] ἐν τῇ θυΐᾳ τοῖς λειωθεῖσι, καὶ ἑνώσας ἐπίβαλε τὸ λοιπὸν τοῦ ἐλαίου κατὰ βραχὺ, καὶ [7] ἀναμίξας ἀναλάμβανε, χρῷ δὲ αὐτῷ [8] ἀνιεὶς ῥοδίνῳ καὶ ἐρίῳ ἁπαλῷ ἀναλαβὼν, [9] ἀντὶ μότων ἐπιτίθει· αὐτῷ δὲ καθ' [10] αὑτὸ χρῶ ἐμπλάσσων εἰς [11] ἔριον ἢ κοῦφον ῥάκος καὶ [12] ἐπιτίθει· [13] ἀνωδύνου δὲ ὄντος τοῦ ἕλκους προςπλεκέσθω σμύρνης, ἴρεως, ἀριστολοχίας ἀνὰ [14] ∠ α΄ ἢ καὶ γ΄, ὃ καὶ τοῖς ἀνελκώτοις ἐπιτιθέμενον ἰσχύει χρήσιμον εἶναι. Ἕτερον, ὃ καὶ τὰ [15] ἡλκωμένα ἐπιεικῶς ἰᾶται καὶ τὰ ἀνέλκωτα σπουδαίως παρηγορεῖ· κηροῦ [16] τυρρηνικοῦ, τερεβινθίνης, [17] στέατος ταυρείου, μυελοῦ [18] ἐλαφείου ἢ μοσχείου προςφάτου, [19] κικίνου ἐλαίου καὶ ῥοδίνου, στέατος χηνείου, μέλιτος πρωτείου, λιβάνου, διφρυγοῦς ἑκάστου [20] τὸ ἴσον, ὑσσώπου τὸ τριπλοῦν· πραότερον δὲ γίνεται χωρὶς τοῦ λιβάνου καὶ τοῖς ἕλκεσι χρησιμώτερον, [21] διαφορητικώτερον δὲ καὶ συμπεπτικώτερον σὺν τῷ λιβάνῳ καὶ τοῖς [22] ἀνελκώτοις ἁρμοδιώτερον· σὺν οἴνῳ δὲ λέαινε τὸ διαφρυγὲς, [23] ὅταν χωρὶς

---

[1] συνλέαινε P. B. [2] δὲ om. B. ἐξυμενίσας] ἐξυμενιάσας P. B. [3] κόψας A. ἐν θυΐᾳ] εὐθέως B. [4] τῇ κεακνίσθ B. τῆκε ἀκνύσως, quarum altera vox in Dietzii MS. tam male scripta est, ut etiam pro ἀκνόσσως accipi possit, P. A. τῇ κινήσει ex Sched. Volui τῆκε ἀκνίσως. Lob. [5] ψυχθὲν δὲ] φύγε καὶ ψύξας B. ψύγε δὲ καὶ ψύξας P. [6] ἐν τῇ θυΐᾳ — ἑνώσας ἐπίβαλε] om. P. B. [7] ἀναμύξας B. [8] ἐνεῶν P. B. ἐνῶν ex Sched. [9] ἀντιμοτὸν B. [10] αὐτῷ P. B. [11] ἐρίον male Codd. ἢ om. A. κοῦφον] κουφότατον P. B. [12] ἐπιτιθεὶς P. B. [13] ἀνωδίνου B. [14] ∠ α΄ ἢ καὶ γ΄] ∠ γ΄ P. B. [15] εἱλκόμενα B. [16] τυριναϊκοῦ B. τυρηναϊκοῦ P. πυρηναϊκοῦ ex Sched. [17] στέατος ταυρείου om. A. ταυρείου] Male scribebatur ταυρίου. Lob. [18] ἐλαφίου et μοσχίου B. [19] κυκίου B. [20] τὸ ἴσον] μέρος α΄ A. et postea ἰσσώπου P. B. [21] διαφορ. δὲ καὶ συμπ. om. P. B. [22] ἀνελκότοις B. [23] ὅτε — σκευάζεις· ὅτε — ἐμβάλλεις P. B.

τοῦ λιβάνου σκευάζῃς· ὅταν δὲ καὶ τὸν λίβανον ἐμβάλλῃς, ξηρὰ τὰ ἀμφότερα [1] κατάπασσε τοῖς τηκτοῖς τετηκόσιν ἐπ' ἀνθράκων, καὶ οὕτως ἐπιβληθέντος τοῦ μέλιτος, χρῶ θαῤῥῶν. [2] Ἄλλο· σποδοῦ κυπρίας πεπλυμένης καὶ [3] ἐξηραμένης, μολίβδου [4] κεκαυμένου καὶ πεπλυμένου, ῥόδων χυλοῦ ἀνὰ ∠ δ' ἀναλάμβανε καὶ χρῶ μετὰ ῥοδίνου· [5] τοῦτο παρηγορικώτατον ἐστίν. Εἰ δὲ πολλὴ καὶ νομώδης εἴη ἡ διάβρωσις, θαυμαστὸν ὅπως δραστικῶς βοηθεῖ [6] καὶ πολλὰ, ὥςτε [7] πολλάκις ἀπιστηθῆναι, ὅτι ἦν κακοήθη. Ἄλλο· [8] Εἰς Ἀδριανοῦ οἴνου, τουτέστι στύφοντος εὐώδους παλαιοῦ, ξε. κ' [9] βρέχε ῥοὸς βυρσοδεψικοῦ ξε. ιβ', κυπαρίσσου [10] σφαιρίων λίτρ. α', κηκίδος ὀμφακίτιδος οὐγγ. ϛ', κασσιάς οὐγγ. ϛ'· [11] ὅλα θλασθέντα βρέχε ἐπὶ ἡμέρας γ'· τῇ δὲ [12] τετάρτῃ ἕψε, [13] μέχρι ἂν τρὶς ἢ τετράκις ἀναζέσῃ κινούμενα [14] σπάθῃ κυπαρισσίνῃ· εἶτα τὰ μὲν ἐκθλιβέντα ῥίπτε, ἕψε δὲ τὸν χυλὸν, ἕως ἂν μέλιτος σύστασιν λάβῃ, καὶ τότε ἐν [15] ὑελίνῳ ἀγγείῳ ἀποτίθει. Χρῶ δὲ ἀκράτῳ μὲν τῷ φαρμάκῳ ἐπὶ τῶν [16] νεμομένων, οἴνῳ δέ ποτε εἰ παχύτερον γένοιτο [17] ἐνυγραίνων αὐτὸ, μάλιστα εἰ ἐπὶ γυναικείου κόλπου τοιαύτη

---

[1] κατάπλασσε τοῖς τικτοῖς P. B. [2] ἐκ τῶν Θεοδώρου πρὸς τὰ κακοήθη add. A. [3] ἐξηρασμένης P. B. [4] κ͞ε Codd. κεκαυμένου ex Sched. [5] τοῦτο om. P. B. παρηγορικωτ8 B. γὰρ, quod in P. et B. post παρηγορικ. erat, delevi. Lob. [6] καὶ πολλὰ om. A. [7] πολλάκις om. B. P. ἀπιστηθῆναι] ἀποστηθῆναι B. κακοήθη] κακόηθες P. B. Verbis ἀπέδειξε τοῦτο A. hoc caput concludit. [8] εἰς om. P. B. Ἀδιανοῦ B. [9] βρέχοι B. ῥοὸς βυρσοδεψικοῦ] ῥοὸς βυρσοδεψικῆς P. ῥοβυρσοδεψικῆς B. [10] σφαιρίων — κηκίδος] om. B. κικίδος Codd. mutavi in κηκίδος. Lob. [11] ὁλοθλασθέντα B. πάντα θλασθέντα A. [12] τρίτῃ A. [13] μέχρι γ' ἢ τετράκις ζέσαι P. B. [14] πάθη κυπαρισσι^Η8 B. [15] ὑελίνῳ ἀγγείῳ] ὑέλῳ P. B. [16] νεμυγμένων (μεμιγ superscr.) B. Sic! ex Sched. δὲ] om. P. B. [17] ἐνυγραίνοντες P. B. In sqq. γυναικίου B.

διαθέσει προσάγοιτο· οὐ μὴν ἀλλὰ [1]καὶ τῶν ὀδυνῶν παρηγορητικόν ἐστι γάλακτι γυναικείῳ ἢ ὀνείῳ ἀνιέμενον. Τοῦτο καὶ τὰς ἄλλας νομὰς ἀφλεγμάντους ἰᾶται καὶ τὰ ὦτα χρονίως [2]καὶ δυςαλθῶς πυοῤῥοοῦντα καὶ [3]οὖλα μυδῶντα καὶ δυςεντερίαν καὶ τὰ δυςεπούλωτα ἄγει εἰς οὐλὴν [4]μετρίως ἐπιτεινόμενον καὶ μέτρῳ ἀνίεμενον. Οὐ γὰρ ἀπειθήσει τὰ ἥμερα τῶν ἑλκῶν, ᾧ πείθεται τὰ θηριώδη· χρὴ δὲ μὴ πρότερον ἄγειν εἰς οὐλὴν τὰ ἕλκη, ἕως ἡ σύμπασα σκληρία διαλυθῇ [5]πῇ μὲν μοτοῖς [6]συμπεπτικοῖς, πῇ δὲ [7]σπληνίοις, οἷά ἐστιν ἡ Σεραπίωνος μηλίνη καὶ ἡ Ἱκεσίου καὶ ἡ [8]πανάκεια. Ἐχρησάμην [9]δὲ αὐτός ποτε ἐν τοῖς τῆς [10]ἀνέσεως καιροῖς καὶ τῇ θηριακῇ [11]ἀνέσας αὐτὴν γάλακτι καὶ ῥοδίνῳ, καὶ δι' ἐρίου μαλακοῦ τῷ ἕλκει προςαγαγὼν, καὶ ποτίζων αὐτὴν [12]μετὰ γλυκέος· μεγάλα γὰρ ἐπ' αὐτῶν δύνανται αἱ πρὸς τὰ [13]ἰοβόλα ζῶα καὶ τὰ δηλητήρια φάρμακα ἀντίδοτοι. Καὶ χρῶ ταύταις καταφρονῶν τῶν χλευαζόντων ἀπείρων ὄντων τῆς φύσεως τοῦ συμβαίνοντος.

### ξε'. Περὶ [14]τοῦ σκιῤῥωθέντος μαστοῦ.

Ἐπὶ μὲν τῶν ἄλλων μερῶν τοῦ σώματος προείρηται ὡς ὁ [15]σκιῤῥώδης ὄγκος ἀνώδυνος ἐστίν· ἐπὶ δὲ [16]τοῦ μαστοῦ γίνεται ὀδύνη, οὐ διὰ τὴν φύσιν τοῦ πάθους, ἀλλὰ [17]διὰ τὸ βάρος καθελκομένου τοῦ τιτθοῦ.

---

[1]ἄλλως post καὶ praeb. P. et B., qui contra sequens ἄλλων omittunt. [2]καὶ δυςαλθῶς om. P. B. πυοῤῥοοῦντα] πορορρooῦντα P. B. [3]οὐ λαμηδῶντα B. δυςεντερίαν] δυςαντέρειαν B. [4]μέτρῳ P. B. ἀνιέμενον] ἀνιώμενον B. [5]ἢ legunt ante πῇ P. et B. [6]συμπεπτηκοῖς B. [7]πληνίοις B. [8]πανάκια B. A. [9]δέ ποτε P. B. [10]ἀναβάσεως P. B. [11]ἀνιέσας ex Sched. [12]μετὰ γλυκέος μεγάλα τὰ γλυκία γλ μ: B. [13]ἰόβολα et infra δηλιτήρια B. [14]τοῦ om. P. B. Λεωνίδου post μαστοῦ add. A. [15]σκιρώδης P. B. [16]τοῦ om. A. ἡ post γίνεται add. P. B. [17]διὰ τοῦ βάρους καθελκωμένου etc. P. B.

Εἰ μὲν [1]οὖν ὅλος εἴη ἐσκιῤῥωμένος ὁ μαστὸς, συνημμένου τοῦ σκίῤῥου τῷ θώρακι καὶ μὴ δυναμένης τῆς ὑπὸ τῶν [2]ὑγιῶν ἐκτομῆς χωρὶς κινδύνου γενέσθαι, οὐ δεῖ ἐγχειρεῖν· ἐὰν δὲ τὸ ἄκρον τοῦ μαστοῦ ἢ καὶ ἕως [3]ἡμίσους [4]ἐσκιῤῥωμένον ᾖ, δοκιμαζέσθω ὁ ἀκρωτηριασμὸς χωρὶς καύσεως· οὐ γὰρ εὐλαβούμεθα ἐπὶ τοῦ σκίῤῥου αἱμοῤῥαγίαν, ὥςπερ ἐπὶ τοῦ καρκινώματος. Μετὰ δὲ τὴν ἀφαίρεσιν [5]διαμότωσις δοκιμάζεται καὶ τὰ ἀκόλουθα πρὸς τὴν τῆς ἑλκώσεως ἴασιν.

## ζς΄. [6]Πρὸς τὸ μὴ θρομβοῦσθαι τὸ γάλα ἐν μαζοῖς.

[7]Πρὸς τὸ μὴ θρομβοῦσθαι τὸ γάλα ἐν μαζοῖς [8]τὰς τετοκυίας [9]ἀποθηλάζεσθαι καὶ ἐκμυζᾶσθαι χρὴ τοὺς μαστοὺς [10]ἡσύχως διὰ τῶν τελειοτέρων καὶ ἐμπείρων γυναικῶν· καταχρίειν τε κυπρίνῳ μετ' ὠοῦ, καὶ κρόκου καὶ [11]τήλεως χυλῷ μετὰ τοῦ κυπρίνου, καὶ [12]κυμίνῳ λείῳ μεθ' ὕδατος ἡψημένῳ καὶ [13]προςλαβόντι [14]κρόκον. [15]Καλὸν δὲ καὶ τοῦτο· κηροῦ γο. α΄, ἀνδράχνης γο. ας΄· χρῶ τούτῳ ὡς δοκιμωτάτῳ μετὰ ἐλαίου σησαμίνου. Οὐκ ἐᾷ δὲ ἐπὶ τῶν θηλαζουσῶν τὸ γάλα τυροῦσθαι κηρὸς λευκὸς ἀναπλαττόμενος εἰς καταπότια, καὶ διδόμενος [16]καταπίνεσθαι καθ' ἑκάστην [17]ὅσον εἰς πλῆθος ὀρόβων γ΄· [18]παραιτεῖσθαι δὲ [19]ὑπὸ γυναικῶν ἢ παιδίων

---

[1] οὖν om. P. B. ὅλος] ὅλως P. εἴη] ᾖ P. B. [2] ὑγειῶν P. B. ὑγίειν A. Scripsi ὑγιῶν. Lob. [3] ἡμισέας B. ἡμισείας P. [4] ἐσκιῤῥωμένον εἴη P. B. ἐσκιῤῥωμένος ᾖ, A. Dedi ἐσκιῤῥωμένον ᾖ. Lob. [5] διαμότωσις B. [6] Cap. XXXVII. Aet. ex Sched. [7] δὲ add. A. [8] τὰς τετοκυίας] ταῖς τετοκυίαις P. ταῖς τικτούσαις ἢ τετοκυίαις B. [9] ἀποθηλάζεσθαι καὶ ἐκμυζᾶσθαι] ἀποθηλάζειν P. B. [10] ἡσύχων B. [11] τίλεως A. χυλῷ] χυλοῦ B. [12] κυπρίνου P. B. [13] προςλαβόντα P. λαβόντα B. [14] κρόκα P. B [15] Καλὸν — σησαμίνου.] om. P. B. [16] καταπίνειν P. B. [17] ὅσον ὀρόμβους γ΄: B. ὅσον ὀρόβους γ΄: P. [18] Verba: ὁ δὲ Σωρανός φησι antecedunt in A. [19] ὑπὸ τῶν A. B.

θηλάζεσθαι τοὺς [1]ὀδυνωμένους μαστοὺς συνεχῶς· ἐκ γὰρ τῆς μυζήσεώς φησι πλείων ἡ ὕλη ἐπὶ τοὺς μαζοὺς συῤῥεῖ, καλῶς δὲ ποιεῖ [2]καὶ Κιμωλία γῆ μετ' ὄξους, ἢ ὕδατος ἢ ἐλαίου ῥοδίνου βραχέος καὶ ῥίνισμα μαρμάρου λευκοῦ ἢ λίθων λευκῶν ὁμοίως [3]καταχριομένων καὶ γῆ Σαμία. [4]Εἰ δὲ βιαιοτέρα ἡ πλήρωσις γένοιτο καὶ διὰ τοῦτο [5]βαρύνοιτο τῷ πλήθει ἡ γυνὴ καὶ [6]ὀδυνῷτο, [7]φακὸν ἑψήσας ἐν θαλάσσῃ ἢ ἅλμῃ· τῷ μὲν [8]ἀφεψήματι [9]καταιόνα τοὺς μαστοὺς, τὸν δὲ φακὸν [10]λεάνας κατάπλαττε. Καλῶς ποιεῖ καὶ τὸ [11]σέλινον καταπλαττόμενον καὶ τὸ [12]ἡδύοσμον καὶ χολὴ μάλιστα βοεία καταχριομένη.

Ἄλλο κάλλιστον· [13]Φύκιον θαλάσσιον τὸ βαφικὸν λεάνας ἀναλάμβανε κηρωτῇ καὶ χρῶ· ἔστω δὲ τοῦ μὲν [14]φυκίου λειοτάτου οὐγγ. δ', κηροῦ οὐγγ. γ', [15]μυρσινίνου ἐλαίου οὐγγ. ι'· ἐπιτίθει [16]δὲ καὶ ἄλλασσε δὶς τῆς ἡμέρας. [17]Ἄλλο· ἐὰν ἐκ τόκου γάλακτος πεπληρωμένοι οἱ μαστοὶ ὀδυνῶνται, χρῶ τούτῳ. Μάννης αί, κηροῦ γο. ι', ἐν ἄλλῳ κ', ἐν ἄλλῳ γο. ζ', ∠ ί, [18]ἢ σμύρνης, [19]κισσήρεως ∠ κ', [20]ῥοδίνου ἐλαίου ∠ ζ'· χρῶ ὁμοίως. [21]Ἄλλο θαυμάσιον· λίθου Ἀσίου οὐγ. β', κηροῦ οὐγγ. β', ἐλαίου [22]ἢ ῥοδίνου ἢ [23]κικίνου [24]οὐγ. δ', ἐν ἄλλῳ ϛ', ἀναλαβὼν χρῶ δὶς τῆς ἡμέρας

[1] ὀδυνομένους P. B. [2] καὶ et paullo postea ἢ ὕδατος om. P. B. [3] καταχρηόμενον P. B. [4] ἡ δὲ βιαιο$^{τ8}$ P. B. [5] βαρύνεται A. [6] ὀδυνᾶται A. ὀδύνοιτο P. B. Scripsi ὀδυνῷτο. Lob. [7] Legebatur ut etiam infra φακκόν. Lob. [8] ἐφεψήματι offensioni erat. Lob. [9] καταιονῶν P. B. μαστοὺς] μαζοὺς P. B. [10] λεάνας om. A. [11] σέληνον P. B. [12] ἠδυόσμον Codd. καταχριομένη] καταχρειομένη P. B. [13] φύκον θαλάσσης P. B. [14] φύκου λυο$^{τ8}$ B. δ'] δὲ B. [15] μυρσίνου P. B. [16] δὲ om. P. B. [17] Ἄλλο· — ἐν ἄλλῳ γο. ζ,] om. P. B. [18] ἢ σμύρνης ἢ σμύρνης ∠ ί B. Sic! ex Sched. ἢ μάννης ∠ ί P. Prorsus deleta sunt in A. [19] κισίρεως ∠ ή ἢ P. B. [20] ῥοδίνου ἐλαίου ∠ ζ'·] ῥοδίνου οὐγγ. ζ· P. B. [21] Ἄλλο θαυμάσιον·] ἢ P. B. β'] ιβ' B. [22] ἢ om. A. [23] κοκίνου B. [24] οὐγ. δ', ἐν ἄλλῳ ϛ',] οὐγ. ϛ' P. B.

ἀλλάσσων· σβεννύει γὰρ τὸ γάλα [1]καὶ τὰς φλεγμονὰς παύει. Εἰ δὲ μὴ παρείη λίθος [2]Ἄσιος, χρῶ τῷ πυρίτῃ· πυριαζέσθωσαν δὲ συνεχῶς καὶ θαλάσσῃ ἢ ἅλμῃ.

## ξζ. Περὶ σπαργανώσεως μαστῶν.

Μέρος τι τῆς τῶν ἀποκεκυηκυιῶν ἐπιμελείας καὶ τὸ περὶ τοῦ προκειμένου διαλαβεῖν. Κατὰ γὰρ τὴν ἐπιφορὰν τοῦ γάλακτος διογκούμενοι συντόνως οἱ μαστοὶ βαροῦνται [3]τὸ πρῶτον· εἶτα καὶ ἀλγοῦσι καὶ διατεινόμενοι πυροῦνται καὶ τὸ τοιοῦτον καλεῖται σπαργάνωσις. Δεῖ τοίνυν ὡς πρὸς φλεγμονὴν ποιήσασθαι τὴν ἀπόστασιν καὶ καταρχὰς [4]μὲν χρῆσθαι τοῖς ἠρέμα [5]στύφουσιν, [6]οἷον σπόγγῳ καθαρῷ ὀξυκράτῳ βεβρεγμένῳ ἢ φοίνιξι λείοις μετὰ ἄρτου καὶ ὀξυκράτου [7]καὶ ἐπιδεσμεῖν καὶ σφίγγειν ἐπιμελῶς καὶ ἡσύχως προστετυπωμένοις· εἰ δὲ ἀποσβέσαι τις τὸ γάλα [8]βούλοιτο, [9]χρῶ στυπτηρίᾳ καὶ ψυλλίῳ μετ' ὄξους καὶ κοριάνδρῳ ἢ [10]ἀνδράχνῃ. [11]Συναυξήσεως ἂν γενομένης καὶ [12]διατάσεως ἢ θρομβώσεως, καταπλάσμασι τοῖς ἀνετικοῖς, οἷον ἄρτῳ δι' ὑδρελαίου, ἢ ὑδρομέλιτος καλῶς μεμαλαγμένῳ ἢ λινοσπέρμῳ καὶ πυρὶ ἢ [13]τήλει μεθ' ὑδρομέλιτος καταπλασσέσθωσαν· εἰ δὲ μὴ φέροιεν τὸ βάρος οἱ μαστοὶ, καταβροχὴ διὰ [14]γλυκέος ἐλαίου καὶ θερμοῦ [15]προπεριкειμένων πυρὶ, φέ-

---

[1]καὶ om. P. B. [2]Debebat Ἄσσιος. Lob. πυριαζέσθωσαν] πυριάσθησαν P. B. Sequens καὶ om. P. B. [3]In ora P. legitur: ὅπερ λέγεται χόνδρωσις. [4]δεῖ post μὲν iteratur in A. [5]στέλλουσιν P. B. παραστέλλουσιν in marg. A. [6]ἐξ ὧν σπόγγος ἐστὶ τρυφερὸς ὀξυκράτῳ νενοτισμένος μετὰ προστιποῦς (προστυποῦ B.) ἐπιδέσεως ἢ (οἱ B.) φοίνικες λεῖοι μετὰ ἄρτου καὶ ὀξυκράτου λειτριβηθέντες (λουτριβηθέντες B.)· P. B. [7]καὶ ἐπιδεσμεῖν — προστετυπωμένοις] om. P. B. [8]βούλει A. [9]καὶ στυπτηρίας, εἰ ψύλλιον, καὶ κορίανδρον ἢ ἀνδράχνην. P. B. [10]Hic finitur Cap. XXXIX. Aetii, et inde ille Codex Parisiensis Aetii 2193, cujus signum erat A., simul deficit Sorano nostro. [11]Unde? ex Sched. ἂν om. B. [12]διαθέσεως B. [13]τήλη praebebant Codd. Lob. [14]γλυκέως. Codd. [15]προσπεριкειμένων B.

ρων καὶ καταθλίβων [1]προπυριᾷν τὸ διὰ τῶν σπόγγων [2]ἀποθλιβομένων εἰς ὕδωρ θερμὸν, ἢ εἰς ἀφέψημα τήλεως ἢ μαλάχης, ἢ ἀπὸ σπερμοῦ [3]διαποιήσεως γενομένης ἐκλαμβάνειν τὸ ὑγρὸν, ὡς ἐν τοῖς χειρουργουμένοις ὑπεδείξαμεν· παρακμαζούσης δὲ τῆς φλεγμονῆς κηρωτὴν ἐπιβάλλειν καθ' ἑαυτήν. Εἰ δὲ μὴ μέλλοι δι' ἑαυτῆς ἡ ἀποκυήσασα τὸ βρέφος ἀνατρέπειν, καὶ [4]λίθου πυρίτου ἱκανῶς λελειωμένου μέρος τι συμπλέκειν· εἶτα κατ' ὀλίγον πεπιεσμένῃ χρῆσθαι τῇ τῶν μαζῶν περιειλήσει· συμπιπτόντων γὰρ τῶν ἀγγείων κωλύεται τὸ ἐπιφερόμενον, καὶ οὕτω τὸ γάλα σβέννυται. Εἰ δὲ μὴ, μᾶλλον [5]ἐμπλεονάζειν ταῖς πυρίαις καὶ ταῖς [6]πρὸς τυπώσεις συνεπιδέσεσι, παραιτεῖσθαι δεῖ τὴν ἐν τῇ πρώτῃ [7]παραίσθησιν τῶν μαζῶν ἐκμύζησιν ὡς τοῦ ἀποθηλασμοῦ διὰ τῆς ἐκκρίσεως τοῦ παρακουφίζοντος τὴν διάτασιν· πᾶν γὰρ τοὐναντίον πρὸς τὴν τῆς ἐκμυζήσεως οὖν αἴσθησιν πλείων ἐπὶ τοὺς τόπους συντρέχει. Καὶ πρὸς τὴν περίθλασιν ἀγανακτοῦσιν αἱ θηλαί· φυλακτέον δὲ καὶ τὴν δι' ἅλμης καὶ ὀξάλμης καὶ θαλάσσης πυρίαν· ὑπὸ γὰρ τῆς δριμύτητος ἡ φλεγμονὴ παροξύνεται. Τινὲς δὲ κυπέρῳ καταχρίουσι μετ' οἴνου καὶ κρόκου τοὺς μαζούς· ἔνιαι δὲ κυπρίνῳ καὶ [8]κίσσηρι λελειοτριβημένῃ, τινὲς δὲ κυμίνῳ μετ' ὕδατος ἢ ἐλαίῳ στυπτηρία ὑγρὰ μετ' ὄξους καὶ ῥοδίνου ὡς μέλιτος γενέσθαι πάχος· αἱ δὲ καταπλάττουσι κυμίνῳ μετὰ σταφίδος τῶν γιγάρτων [9]προεξῃρημένων ἢ [10]σησάμῳ μετὰ μέλιτος· αἱ δὲ [11]τριβόλοις χλω-

---

[1]προπυριὰν Codd. Sine dubio προπυριᾷν. Lob. [2]ἀποθλιβομένην B. ἀποθλιβόμενον ex Sched. [3]διὰποιήσεως B. διὰ ποιήσεως P. Fort. διαπυήσεως. Lob. [4]λίθου posui pro λίθος, et λελειωμένου pro λελυωμένου. Lob. [5]ἐμπλεονάζων B. [6]πρὸς τυπώσεις sub uno accentu scribebatur. Lob. [7]Leg. παραισθήσει; et fort. infra συναίσθησιν pro οὖν αἴσθησιν. Lob. [8]Leg. κισσήρει. Lob. [9]προηξηρημένων Codd. προεξηρημένων exSched. [10]σισάμῳ Codd. Scripsi σησάμῳ Lob. [11]προβόλοις B.

ροῖς ἠψημένοις ἐν ὄξει ἢ κισσῷ ἢ συκοῖς χλωροῖς ἢ πιτύροις ὁμοίως ἠψημένοις· θρομβώσεως δὲ γενομένης [1]σελίνῳ ἢ ἡδυόσμῳ ἢ κράμβῃ μετ' ἄρτου. Τούτων δὲ τὰ μὲν δριμέα παραιτητέον δι' ὅλου, τῶν δὲ ἄλλων τὰ μὲν ὄξει ἢ κισσῷ ἢ σύκοις ξηροῖς ἢ πιτύροις ὁμοίως [2]ἠψημένοις [3]ὑποστύφοντας καταρχὰς παραληπτέον, τὰ δὲ παρηγορικῶς ἀνιέντα κατὰ τοὺς ἑξῆς χρόνους. Καὶ τοιαύτη μὲν ἡ τῆς [4]λεχοῦς ἐπιμέλεια· [5]τὶς δὲ ἡ τοῦ βρέφους, ἑξῆς ὑποδεικτέον.

## ξη΄ [6]Περὶ τῆς τοῦ βρέφους ἐπιμελείας.

Ὁ περὶ παιδοτροφίας λόγος ἐστὶ μὲν πλατὺς καὶ πολυμερής· ἐν αὐτῷ γὰρ ἐξετάζεται, τίνα τῶν γεννηθέντων πρὸς ἀνατροφήν ἐστιν ἐπιτήδεια, καὶ πῶς [7]ὀμφαλοτομητέον καὶ σπαργανωτέον καὶ ἀποσμηκτέον τὸ ἀνατρεφόμενον, καὶ τίνα τρόπον λουτέον, καὶ πῶς κατακλιτέον καὶ ποταπὴν ἐκλεκτέον τιτθὴν, ποῖόν τε τὸ ἄριστον γάλα, καὶ τί πρακτέον ἐκλιπόντος αὐτοῦ, καὶ πότε καὶ πῶς ἀπογαλακτιστέον τὰ βρέφη, περί τε ὀδοντοποιήσεως καὶ τῶν κατὰ χρόνους αὐτοῖς ἐπιγινομένων συμπτωμάτων. Ἵνα δὲ μὴ δυςπερίγραφος ἡ πραγματεία γένηται, διὰ συντόμων ὑφ' ἓν παραδώσομεν. Ἡ τοίνυν μαία τὸ βρέφος ἀποδεξαμένη πρότερον εἰς τὴν γῆν ἀποτιθέσθω, προςεπιθεωρήσασα [8]πότερον ἄῤῥεν τὸ ἀποκεκυημένον ἐστὶν ἢ θῆλυ, καὶ καθὼς γυναιξὶν ἔθος ἀποσημαινέτω.

## ξθ΄. Πῶς γνωρίζεται τὸ πρὸς ἀνατροφὴν ἐπιτήδειον.

Κατανοείτω δὲ καὶ πρότερον, ἢ εἰς ἀνατροφήν [9]ἐστιν ἐπιτήδειον ἢ οὐδαμῶς· κριθήσεται δὲ τὸ πρὸς

---

[1]σελήνῳ erat. Lob. ἡδυόσμῳ] ἡδιόσμῳ B. [2]ἐψημένοις B. [3]ὑποστύφοι τας B. [4]Inveniebatur λέχους. Lob. [5]τῆς B. [6]Hoc totum caput deest in B. [7]Verbalia in Codice P. continuo exeunt in —ταῖον. ex Sched. [8]πρότερον P. Scripsi πότερον. Lob. [9]ἔστιν om. B.

ἀνατροφὴν εὐφυὲς ἐκ τοῦ τὴν ἀποκυήσασαν ὑγιεινῶς ἐν τοῖς τῆς κυοφορίας βεβιωκέναι χρόνοις, [1]ἐνοσήλïε γὰρ καὶ μάλιστα τοῦ σώματος [2]συνάδι κουσέτω κατὰ γαστρὸς τὰ πρῶτα τῆς ζωῆς αὐτοῦ θεμέλια θραύουσι· δεύτερον δὲ ἐκ τοῦ κατὰ τὸν ὀφείλοντα καιρὸν [3]ἀποκεκυῆσθαι, μάλιστα μὲν τὸν ἔννατον μῆνα καὶ εἰ τύχοι βράδιον, ἤδη δὲ καὶ τὸν ἕβδομον, εἶτα λοιπὸν ἐκ τοῦ τεθὲν ἐπὶ γῆς εὐθέως αὐτὸ κλαυθμυρίσαι μετὰ τόνου τοῦ προσήκοντος. Τὸ γὰρ ἕως πλείονος [4]ἀκλαυστὶ διάγον, ἢ καὶ παρέργως [5]κλαυθμυρίζον, [6]ἐν ὑπόπτῳ διά τινα περίστασιν τοῦτο πάσχον, ἔκ τε τοῦ πᾶσι τοῖς μέρεσι καὶ μορίοις καὶ ταῖς αἰσθήσεσιν αἴτιον ὑπάρχειν, καὶ τοὺς πόρους ἔχειν [7]ἀπαρεμποδίστους οἷον τῶν ῥινῶν, φάρυγγος, [8]οὐρήθρας, δακτυλίου, καὶ τὰς ἑκάστου φυσικὰς κινήσεις [9]μὴ νωθρὰς καὶ μηδὲ ἐκλύτους, καὶ τὰς τῶν ἄρθρων κάμψεις τε καὶ [10]ἐκστάσεις μεγέθει τε καὶ [11]σχήματι καὶ τὴν πᾶσιν ἐπιβάλλουσαν εὐαισθησίαν, [12]ἣν γνωρίζομεν κἀκ τῆς ἐπιφανείας [13]ἐπερείδοντες τοὺς δακτύλους. Κατὰ φύσιν γάρ ἐστι τὸ πρὸς ἕκαστον ἀλγεῖν τῶν [14]νυσσόντων ἢ θλιβόντων· ἐκ δὲ τῶν ἐναντίων τοῖς εἰρημένοις τὸ πρὸς ἀνατροφὴν ἐπιτήδειον.

## ο΄. [15]Περὶ τῶν ἐν νεφροῖς λιθιάσεων.

Ταῖς ἐν νεφροῖς λιθιάσεσι προβεβηκότες ἁλίσκονται μᾶλλον τῶν παιδίων ὥςπερ οἱ παῖδες συνεχέστερον τῶν προβεβηκότων. Αἰτίαι δὲ τῆς τούτων γενέσεως ἀπε-

[1] Sic! ex Sched. Fort. αἱ νοσηλεῖαι, et sequens καὶ ponendum ante τὰ πρῶτα. Lob. [2] συνάδι κουσέτω B. συναδικουσέτω P. συναδικοῦ ἔστω ex Sched. Fort. συναδικοῦσι τῷ etc. Lob. [3] ἀποκεκυεῖσθαι in textu! ex Sched. [4] ἀκλαυστῆ P. [5] κλαυθμυρίζων B. [6] ἐνυποπτόνως B. ἐν ὑποπτόνως P. Scripsi ἐν ὑπόπτῳ. Lob. [7] ἀπαραμποδίστους Codd. ἀπαρεμποδίστους ex Sched. [8] Scribebatur οὐρίθρας. Lob. [9] μηνωθρὰς B. [10] Fort. ἐκτάσεις. Lob. [11] σχήματα P. Pro πᾶσαν Codd. dedi πᾶσιν. Lob. [12] ἣ P. ἢ B. Scripsi ἥν. Lob. [13] ὑπερείδοντες B. [14] νοσοῦντων B. [15] Sequentia d·leta sunt in P.

ψίαι συνεχεῖς διὰ πλῆθος ὕλης ἀπέπτου ἀθροίζονται, καὶ πύρωσις περὶ τοὺς νεφροὺς καὶ τὴν [1]κύστιν ἀποτελεῖται, ἥτις κάτω [2]πτῶσα τὰ ὑγρὰ συνίστησι, καὶ ἀπὸ τούτου ὁμοιοτρόπως τοῖς ἐν τοῖς ἑψημένοις ὕδασι κατὰ τὰ χαλκεῖα μάλιστα τῶν βαλανείων εὑρισκομένοις [3]πόροις· συνίστανται δὲ καὶ ἐν τοῖς νεφροῖς οἱ λίθοι κατὰ τῆς κοιλίας αὐτῶν, ἢ μικροὶ ἢ μείζονες, καὶ ποτὲ μὲν ἐλάττονες, ποτὲ δὲ πλείονες, διαφέροντες δὲ τῷ μεγέθει καὶ τῷ σχήματι καὶ τῇ χροιᾷ καὶ τῇ τραχύτητι καὶ τῷ πλήθει. Καὶ γὰρ μέλανες εὑρίσκονται καὶ [4]ὑπόλευκοι καὶ ὠχροὶ, καὶ οἱ μὲν προφερεῖς καὶ [5]ἀλεῖοι καὶ [6]εὐέκκριτοι, οἱ δὲ ἄλλως πως ἐσχηματισμένοι, καὶ μάλιστα δὲ οἱ ἐπιμήκεις καὶ τραχεῖς δυςέκκριτοι. Παρέπεται δὲ τοῖς πάσχουσι βάρος ἐντόπιον ὄγκου μηδαμοῦ προφαινομένου. Ἐκτὸς εἰ μὴ φλεγμονὴ διὰ τοὺς λίθους ἀποτελεσθείη, [7]δυςκαμπής τε αὐτῶν ἡ [8]ῥάχη γίνεται καὶ τὸ ὅλον σῶμα δυςκίνητον νάρκη τε παρὰ τὰ σκέλη καὶ μάλιστα τοῦ καταλλήλου σκέλους· οὖρα τε ὀλίγα μὲν καταρχὰς τῆς [9]φωνήσεως ἐκκρίνεται ὑδατώδη, ὕστερον δὲ καὶ ἐποχὴ τελεία γίνεται· καὶ ἡ κοιλία ἀδιαχώρητος μὲν μένει, προθυμίας δὲ πρὸς ἐκδόσεις ποιεῖ πολλάς. Ἐκκρίνεται δὲ ἐνίοτε καὶ αἷμα ὑπὸ τῆς βίας τῶν λίθων καὶ μάλιστα τραχυτέρων ὄντων, μετακινηθέντων δὲ τῶν λίθων ἐκ τῶν νεφρῶν καὶ καταφερομένων ἐπὶ τὴν κύστιν, οὖρά τε πολλὰ ἐκκρίνεται ὑπόστασιν [10]ψαμμώδη ἔχοντα, καὶ ἡ κοιλία ἐκδίδωσι δαψιλῶς, συναίσθησις δὲ γίνεται τῷ πεπονθότι ὥςπερ ὁδευόντων ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν λίθων.

---

[1] κύστην. B. [2] Legendum πεπτῶσα. Lob. [3] πώροις ex Sched. [4] Scripsi ὑπόλευκοι pro ὑπόλοικοι. Lob. [5] ἄλλοι ex Sched. Fort. λεῖοι. Lob. [6] εὐέκριτοι B. Scripsi εὐέκκριτοι. Lob. [7] δυςκαμπές B. δυςκαμπής ex Sched. [8] ῥαχὶς ita dici solet. Lob. [9] Fort. κενώσεως vel σφηνώσεως. Lob. [10] Male ψαμώδη, ut antea ἄλασσε et ἀλάσσων. Lob.

οα΄. Θεραπεία τῶν [1]λιθιώντων νεφρῶν.

[2]Σφηνωθέντος δὲ ἐν τοῖς νεφροῖς τοῦ λίθου καὶ σφοδροτάτας ὀδύνας ἐπιφέροντος καὶ πλήθους αἵματος κίνδυνον ἀπειλοῦντος [3]ἐπὶ τὸ γινόμενον μέρος προςκαλεῖται τὰς ὕλας διὰ τὰς [4]ὀξείας ὀδύνας. Τέμνειν μὲν οὖν προςήκει τὴν ἐν ἀγκῶνι τῆς καταλλήλου χειρὸς φλέβα κατὰ τὸ πλῆθος τὸ διακείμενον σῶμα· κενοῦν δὲ ἔλαττον πολλῷ ἢ περιπατεῖ τὸ πλῆθος· οὐ γὰρ πάντως διὰ [5]ταχέων ἐλπίζομεν [6]ἀποσείεσθαι τῶν νεφρῶν τὸν λίθον, καὶ μάλιστα εἰ μὲν εἴη. Τηρεῖν οὖν χρὴ τὴν τοῦ αἵματος κένωσιν εἰς τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ σώματι τῷ χρόνῳ δαπάνην, καὶ τοῖς μὲν αἵματος πλῆθος ἀθροίζουσι φλεβοτομία χρήσιμος, τοῖς δὲ κακοχύμοις [7]καθαροῖς ἐπιτηδεία ἢ τῷ πλεονάζοντι χυμῷ κατάλληλος· καὶ δεῖ ταύτην παραλαμβάνειν, εἰ μηδὲν ἕτερον κωλύει, μετὰ δὲ τὴν τοῦ αἵματος κένωσιν ἢ τὴν κάθαρσιν παραλαμβάνειν ἐπ' αὐτῷ τὴν ὑποτεταγμένην κοινὴν ἐπιμέλειαν πάντων τῶν λιθιώντων. Ἀλγηδόνων μὲν οὖν ἐξαίφνης ἢ μετ' ὀλίγον εἰςβαλλουσῶν καὶ αὐξανομένων [8]ἐπὶ ψαμμὸν προκεκενωμένοις ἐν τοῖς οὔροις, καὶ ὑδατώδων οὔρων ἐκκριθέντων σημείων παρεπομένων κλύζειν αὐτίκα τὴν κοιλίαν [9]δι' ἀφεψήματος πιτύρων, ἰσχάδων, τήλεως καὶ ἀριστολοχίας, καὶ εἰ μὲν κενωθεῖειν δεόντως, ἀρκεῖςθαι, εἰ δὲ μὴ, καὶ δὶς καὶ τρὶς κλύζειν καὶ μάλιστα, εἴπερ μὴ ἐλήφθη τὸ τῆς φλεβοτομίας ἢ καθάρσεως βοήθημα· μετὰ δὲ τὸ ἱκανῶς ἐκκρίνειν τὴν κοιλίαν ἐνιέναι χρή τι τῶν πραΰνειν καὶ χαλᾷν τὰς φλεγμονὰς δυναμέ-

---

[1]λιθιόντων B. [2]φηνωθέντος B. Sine dubio σφηνωθέντος. Lob. [3]ἐπεὶ B. ἐπὶ ex Sched. [4]Scribebatur ὀξύας. ex Sched. [5]Male ταχέως. Lob. [6]ἀποσεῖσθαι B. ἀποσείεσθαι ex Sched. [7]Fort. κάθαρσις. Lob. [8]ἐπιψαμμὴν B. ἐπὶ ψαμμὸν ex Sched. [9]διαφεψήματος B. Divisi δι' ἀφεψήματος. Lob.

νων τῶν [1]περιλίθων σωμάτων. Τοῦτο δὲ ποιεῖν δυνήσεται ἀνήθινον καὶ ἔλαιον, ἐκτακέντος αὐτοῦ στέατος προςφάτου ὄρνιθος καὶ μάλιστα χηνὸς καὶ φασιανοῦ, ἢ [2]βουτύρου· μὴ παρόντων [3]δὲ τούτων [4]τήλεως καὶ τῆς ἀλθαίας τὴν ῥίζαν ἑψήσαντες τῷ ἐλαίῳ ἐνιέναι, καὶ ἐγκαθίσματα δὲ παραλαμβάνειν δι' ἀφεψήματος τήλεως, ἀλθαίας, ἀνήθου, ἀρτεμισίας, ἰσχάδων καὶ ἐλαίου· μάλιστα δ' ἐγκαθίσματα παραλαμβάνειν χρὴ τοῖς βαλανείοις, καὶ μετὰ ταῦτα βεβαίως καὶ εὐθέως ἐμβιβάζειν χλιαρωτέραν ἔμβασιν· καὶ τοῦτο συνεχῶς ποιεῖν. Καὶ πυρίαι δὲ τοῖς τόποις προςαγόμεναι ὠφελοῦσι· τὰ δὲ διὰ πιτύρου, [5]ἡψημίου τοῖς προῤῥηθεῖσιν ἀφεψήμασι καὶ μετὰ τὰς πυρίας καταπλάσμασι δι' ἀλεύρων [6]πυρίνων μετὰ λινοσπέρματος καὶ τήλεως μέλιτός τε καὶ ἐλαίου ἀνηθίνου καὶ [7]λευκίνου ἐπιπάσσοντα ἐν τῇ ἑψήσει τῷ καταπλάσματι καὶ [8]ἀλθαίας ῥίζαν κεκομμένην καὶ σεσημένην· ἐπὶ τέλος δὲ τῆς ἑψήσεως καὶ [9]τερεβινθίνου ἐμβαλέσθω. Κάλλιστον δὲ γίνεται κατάπλασμα καὶ ἐξ ἀλεύρων θερμίνων [10]ἡψημένων ἐν γλυκεῖ καταπλάσσειν ὀσφὺν καὶ κενεῶνας· οὐ μὴν οὐδὲ κύστιν καὶ ἦτρον καταπλάσσειν ἄθετον [11]πυκνάδα ἄλλα καὶ ἄλλα ἐπιφέρειν καταπλάσματα περὶ χροῒ γενέσθαι τὸν τύπον, εἰ μὴ θερμάσματι ἑτέρῳ ἔξω σκέπειν ὡς μὴ καταψύχεσθαι. Τοῦτο δὲ γενήσεται [12]σακκελίων ἐπιθεμένων τῷ καταπλάσματι ἢ πυριατῶν· πολλοῖς μὲν δὴ εἰς τὸ οὐρηθῆναι τὸν λίθον ἤρκεσαν καὶ ταῦτα μόνα. Σὺ δὲ καὶ τὰ διουρητικὰ προ-

[1] Sic! ex Sched. [2] βουτήρου B. βουτύρου ex Sched. [3] δὲ τούτων bis legebatur. Lob. [4] Hic τίλης et in sqq. τίλεως offendebat. Lob. [5] ἑψημένου ex Sched. [6] πηρίνων B. πυρίνων ex Sched. [7] λευκίνου ἐπιπάσσοντα scripsi pro λευκινίου ἐπιπάσοντος. Lob. [8] Scribebatur ἀλθέας. Lob. [9] τιρεβιντίνου B. Melius τερεβινθίνου. Lob. [10] ἑψημίων praebebatur. Lob. [11] Fort. πυκνὰ δὲ. Lob. [12] σακέλιον Cod. B. σακκελίων. ex Sched.

πότιζε· οὖρα δὲ πολλὰ φέρειν δύναται [1]μιαθαμαντικοῦ, [2]φοῦ ποντικοῦ, [3]ἀκόρου, ἀγρώστεως καὶ τῆς νάρδου τὸ ἀφέψημα, καλάμου ἀρωματικοῦ, ἄμεως, δαύκου, ἴρεως, σελίνου, ὑπερικοῦ, λιβανωτοῦ· ἀσάρου, ἀσφοδέλου ῥίζης καὶ [4]βρυωνίας ῥίζης το ἀφέψημα, καὶ κόκκος ὁ βαφικός. Τούτων ἕκαστον καὶ τὰ τούτοις παραπλήσια καθ' ἑαυτὰ καὶ σὺν ἀλλήλοις διδόμενα, οὖρα κινεῖ ἐναργῶς· παχεῖα δὲ ἄγει [5]οὐρασκολίας ῥίζης ἀφέψημα, ἐρυθροδάνου ῥίζης, [6]λένου πινομένων [7]καπάρεως ῥίζης φλοιὸς καὶ τὰ ὅμοια. ἐπεγείρει δὲ τῷ ἐρεθισμῷ πρὸς ἔκκρισιν τοῖς δυναμένοις [8]σκοράμου χαμαιδάφνης ἀσπάραγγοι, [9]βουβωνίας ἀσπαράγγου. Τὸ τρίτον ἀφέψημα [10]προαποχυθέντος τοῦ πρώτου καὶ τοῦ δευτέρου ἀφεψήματος [11]ποδηγητικὰ ἐπὶ τοὺς νεφροὺς γίνεται τὰ [12]τρίβειν τοὺς λίθους δυνάμενα [13]πευκεδάνου ῥίζαι βρυωνίαι, σέλινον στρούθιον· θρυπτικὰ δέ ἐστι τῶν νεφρῶν [14]ἰσίδιον, ἀδιάντον [15]βδέλλιον, μυρσίνης ῥίζαν, δάφνης φλοιὸς, τῆς ῥίζης [16]πολυεύσπερμα, τριβόλου ἀφέψημα, σαρξιφάγου βετονίκου, [17]ἀγρώστεως ῥίζης, [18]δαμασκηνίου ῥίζης, ἐρεβίνθου ὁ ζωμὸς, [19]κυπέρου ῥίζα, λιθόσπερμα [20]τικολῖ (θ): τῆς φιλανθρώπου καὶ κανθίου λεγομένης τὸ σπέρμα τὸ ἐν τοῖς ἀκανθώδεσι σφαιρίοις εὑρισκόμενον παρεοικὸς λίθων σπέρματος, [21]ἐλείου ἀσπαράγγου ῥίζαν, ὕελος κεκομμένος, [22]λεῖος ἀλθαίας σπέρμα, καὶ ῥίζα· λαπάθου ἡμέρου ῥίζα,

---

[1] *μία* vel *μήου*. ex Sched. Leg. *μήου ἀθαμαντικοῦ*. Lob. [2] *φουποντικοῦ* B. *φοῦ ποντικοῦ* ex Sched. [3] *ἀκόρως* B. Certe *ἀκόρου*. Lob. [4] Legebatur *βρυονίας*. Lob. [5] *οὖρα σκολίας* ex Sched. [6] Fort. *λίνου*. Lob. [7] Fort. *κυπέρου*. Lob. [8] Sic! ex Sched. [9] Fort. *βουβωνίου*. Lob. [10] *πρὸ ἀποχυθέντος* B. *προαποχυθέντος* ex Sched. [11] *ποδηγετικὰ* B. Scripsi *ποδηγητικά*. Lob. [12] *θρίβειν* B. *τρίβειν* ex Sched. [13] *πευκεδάμου* B. Dedi *πευκεδάνου*. Lob. [14] *ἰσάτιον* ex Sched. [15] *βδέλιον* male legebas. Lob. [16] Fort. *πολιόσπερμα*. Lob. [17] *ἀγρώσεως* B. Scripsi *ἀγρώστεως*. Lob. [18] *δαμασονίου* B. *δαμασκηνίου* ex Sched. [19] Inveniebatur *κυπάρου*. Lob. [20] Sic! ex Sched. [21] *ἐλείου* B. *ἑλείου* ex Sched. [22] Leg. *λεῖον*. Lob.

[1]κοκκυμηλέας κόκκους ὡς ἐκ τῶν σπόγγων λίθος γῆς ἔντερα ἑπτὰ τούτων ἕκαστον τὸ μὲν ἑψήσας τὸ δὲ λειότατον ποιήσας [2]δεῖ πίνειν. Ἔστι δὲ καὶ σύνθετα πλεῖστα λίθων θρυπτὰ, ὧν τὰ χρησιμώτερα [3]ὑποτάξωμεν τῇ θεραπείᾳ τῆς [4]λιθιάσεως κύστεως· τὰ μὲν οὖν διουρητικὰ καὶ τὰ τῶν [5]λίθων θρυπτικὰ [6]τότε ἐνδιδόναι προςήκει, ὅταν [7]ἔκδοσις τῶν σφοδροτάτων ὀδυνῶν γενήσεται. Μετακινουμένου γὰρ τοῦ λίθου καὶ σαλευομένου ἐκ τῆς ἕδρας, ἡ λώφησις τῶν ὀδυνῶν γίνεται. Εἰ δὲ ἐστερημένος εἴη ὁ λίθος, πεφυλάχθαι τὸ πλεῖον πότον καὶ τὰ διουρητικά· ταῖς πυρίαις δὲ καὶ καταναπλάσμασιν, ὡς μὴ πιεζόντων ὀδυνῶν, καὶ αἱ [8]σικύαι δὲ χρήσιμοι ἐπ' αὐτῶν παραλαμβάνουσι, καὶ μάλιστά γε αἱ σφοδραὶ τιθέμεναι φλεγμονῆς δὲ δῆλον ὅτι μὴ ὑποκειμένης. [9]Κιμοῦσι γὰρ πολλάκις αἱ σικύαι οὕτως ἀθρόως τοὺς λίθους ὡς ἀποκοπὴν ἐξ αἰφνιδίου φέρειν τὸν πόνον εἰς τὴν τὴς κύστεως εὐρυχωρίαν μετενεχθέντων τῶν λίθων· διὸ καταρχὰς ἄνωθεν ἀπὸ νεφρῶν ποιητέον τὴν τῶν [10]σικυῶν [11]πρόςθεσιν καὶ ἐπὶ βουβῶνα [12]μεθελκυστέον αὐτὰς λοξῶς κατὰ τὴν οὐρητικῶν θέσιν. Θερμοτέρου δὲ ὑπάρχοντος τοῦ θεραπευομένου σώματος καὶ δίψης σφοδρᾶς ἐνοχλούσης προκεκενωμένου τε ἤδη τοῦ παντὸς νοσήματος διά τε φλεβοτομίας ἢ καθάρσεως καὶ κλυστήρων πρακτικωτέρων, καὶ ἀπερίττου γενομένου εἴ γε ἔθος [13]ἔχει πρὸς ψυχροποσίαν σπλάγχνου μηδενὸς ἀσθενοῦς

---

[1]Simplici κ male. Lob. [2]δ' οὖ B. δεῖ ex Sched. [3]Desuntne capita? ex Sched. [4]λιθιώσεως B. Dedi λιθιάσεως. Lob. [5]λίθρων B. Posui λίθων. Lob. [6]τοτέον διδόναι B. τότε οὖν διδ. ex Sched. Placuit τότε ἐνδιδόναι. Lob. [7]Fort. ἔνδοσις. Lob. [8]Legebatur συκῦαι. Lob. [9]κιμοῦσι B. κενοῦσι ex Sched. Fort. κινοῦσι. Lob. [10]Recte scribitur in B. [11]Scribebatur πρόθεσιν. Lob. [12]μεθ' ἑλκυστέον sejungebatur. Lob. [13]ἔχειν B. ἔχει ex Sched.

ὑπάρχοντος, δεδώκαμεν πολλάκις ὕδωρ ψυχρὸν ἀθρόως τῷ κάμνοντι [1]πιεῖν καὶ παραχρῆμα ῥωσθέντων τῶν νεφρῶν ἐξώσθησαν τοὺς ἐσφηνωμένους ἐν αὐτοῖς λίθους, ἐπὶ δὲ τῶν πληθωρικῶν καὶ περιττωματικῶν σωμάτων, ἐφ' ὧν [2]σπλάγχνον ἀσθενὲς ὑπόκειται, παραφυλάττεσθαι δεῖ τὴν τοῦ ψυχροῦ πόσιν. Πολλάκις δὲ οἱ κατενεχθέντες ἐκ τῶν νεφρῶν ἐν τῇ [3]κύστει λίθοι, ὑπὸ μεγέθους ἐνισχόμενοι κατὰ τὸν τράχηλον τῆς κύστεως, εἰς ἔσχατον κίνδυνον ἄγουσι τὸν κάμνοντα τῇ τε τῶν πόνων ὀξύτητι, καὶ ὡς μὴ συγχωροῦντες τὸ οὖρον ἐκκρίνεσθαι. Σχηματίζειν μὲν οὖν τοὺς τοιούτους προςήκει κατὰ μὲν τὸ ὕπτιον σχῆμα [4]γιγνομένου, καὶ ὑψηλότερον πολλῷ τὰ πρὸς τὰ ἴσχια ἔχοντας, κἄπειτα διασείειν πολυειδῶς ἐκπεσεῖν τοῦ πόρου τῆς κύστεως τὸν λίθον [5]ἐπιτεχνωμένους δεῖ κελεύειν οὐρεῖν προθύμως, καὶ οὐρήσαντας μὲν ἐᾶν, μὴ κενοῦντας δὲ διασείειν αὖθις καὶ τοῦτο πράξαντας πολλάκις. Εἰ μὴ κενωθείη, καθιέναι σύμμετρον καθετῆρα πρὸς τὴν ἡλικίαν τοῦ κάμνοντος καὶ [6]κομίζειν τὸ ὑγρὸν· οὕτως δεῖ διαθρύπτειν τὸν λίθον διὰ τῶν πινομένων ἐν τῇ εὐρυχωρίᾳ τῆς κύστεως. Γιγνόμενον εἰ δεῖ ἐκτὸς τῆς κύστεως μὲν [7]ἐκπιέσας ὁ λίθος, κατὰ μέσον δὲ στηριχθῇ τῶν πόρων τοῦ αἰδοίου καὶ τιτρώσκων ἑλκώσεως κίνδυνον· ἐπιφέρειν ἀφεψήματός τινος τῶν προειρημένων, διουρητικῶν πλεῖστον διδόναι, καὶ ἀθροῖσαι κελεύειν πλῆθος οὔρων, κἄπειτα ἐπιτρέπειν οὐρεῖν, καὶ ἐξωθεῖσθαι σπουδαιότερον· οὕτω γὰρ [8]παρασύρεις ὁ λίθος ἐκπίπτει ταχέως. Οἶδα δὲ ἐπί τινος, φησὶν ὁ Φιλάγριος, τὰ μὲν ἄλλα διεξελθόντα τὸν λίθον, οὐ πολλῷ

[1]ποιεῖν B. πιεῖν ex Sched. [2]σπλάγχνων B. σπλάγχνον ex Sched. [3]κύστῃ mendose scribebatur. Lob. [4]Scrib. γιγνομένους. Lob. [5]ἐπιτεχνομένους B. [6]Legeb. κομίζων et sine interpunct. post ὑγρὸν. Lob. [7]ἐκπέσας B. ἐκπιέσας ex Sched. [8]Leg. παρασυρείς. Lob.

δὲ ἐσώτερον τοῦ ἄκρου τοῦ αἰδοίου [1]ἐμφαγέντα ἰσχυρῶς, καὶ ὀλίγον δεῆσαν ἀπολέσθαι τὸν ἄνθρωπον διὰ τὴν ἰσχουρίαν καὶ μεγίστην ὀδύνην· τῇ οὖν στενῇ λαβίδι ἠδυνήθημεν τοῦτον ἐξελκύσαι μοχλεύοντες ἠρέμα τῇ στενῇ μηλωτρίδι· εἰ δὲ μὴ οὕτως ἐξελκύσαι ἠδυνήθημεν, τέμνειν διελογισάμεθα τὴν τομὴν ἐμβαλόντες κατὰ τὸ μέγεθος τῆς [2]βαλούσης ἄνωθεν κάτωθεν. Κάτωθεν γὰρ οὐ δεῖ τέμνειν, ἐπειδὴ ὡς [3]ἐπὶ πᾶν συριγγοῦται καὶ ὕστερον διὰ τῆς διαιρέσεως [4]τὸ οὖρον ἐκκρίνεται· ὅταν δὲ οὐρηθῇ ὁ λίθος, γάλα ὄνειον [5]κεραννύονται μέλιτι ὀλίγῳ διδόναι, καὶ τὰ ἄλλα χρηστότερα διαιτᾷν, ὡς τὰ ἕλκη διὰ [6]τὸν ἐκ τῶν λίθων γινόμενον σκυλμὸν ἐν τοῖς τόποις· μετὰ δὲ ταῦτα προσφυλάττειν τὸν ἄνθρωπον, ὅπως μὴ πάλιν οἱ νεφροὶ λιθιῶσι.

### [7]Δίαιτα προφυλακτικὴ πρὸς τὸ μὴ παλιγγενεσίαν λίθων γενέσθαι.

Μέγιστον δέ ἐστιν ἐν τῇ προφυλακτικῇ μετριότης σιτίου καὶ πέψεις χρησταί· αἱ γὰρ πλησμοναὶ καὶ ἀπεψίαι οὐ μόνον παροξύνουσι τὴν νόσον, ἀλλὰ καὶ τὴν μὴ οὖσαν γεννῶσι. Διὸ δεῖ παραινεῖν ἡμῖν [8]ἀπὸ δείπνου πολλάκις καὶ τὸ ἀψίνθιον πίνειν συνεχῶς καὶ διά τινος χρόνου καθαίρεσθαι διὰ κοιλίας καταλλήλῳ τῇ κράσει τοῦ κάμνοντος καθαρτηρίῳ· σιτία δὲ αἱρεῖσθαι, ἀφ' ὧν οὔτε πλησμοναὶ οὔτε ἀπεψίαι ἔσονται, καὶ τοῖς διουρητικοῖς κεχρῆσθαι, ἐφ' ἡμέρας μὲν ἐσθίοντας [9]σταφυλίνον, καὶ μαράθρον, σίον, [10]σκόλυμον γλήχωνα, [11]καλαμίνθην, καὶ τῶν θαλασσίων ἐχίνους τε

[1] Fort. ἐμφραγέντα. Lob. [2] βαλάνου ex Sched. [3] Scribebatur ἐπειπαν. ex Sched. [4] Male τὸν. Lob. [5] Scrib. κεραννύντα vel κεραννύοντα. Lob. [6] τῶν errore aperto praebebatur. Lob. [7] Sequentium inscriptio videtur esse. Lob. [8] ἀπὸ δείπνου in unum legebatur. Lob. [9] Fort. σταφυλῖνον. Lob. μαράθρον] Sic! ex Sched. [10] σκόλιμον B. σκόλημον ex Sched. Accepi σκόλυμον. Lob. [11] Pro καλαμίνθι dedi καλαμίνθην. Lob.

προςφάτους καὶ στρόμβας καὶ καράβους καὶ ἀστακοὺς καὶ τοὺς ποταμίους καρκίνους· ταῦτα μὲν ἐφ' ἡμέρας. Διὰ δὲ πλειόνων ἡμερῶν [1]ἰρυγγίου ῥίζης ἀφέψημα πίνειν, καὶ [2]χαμαιπίτυος καὶ δικτάμου καὶ τριβόλου ῥίζης καὶ τὰ λοιπὰ τὰ ἤδη προρηθέντα καὶ τὰ ῥηθησόμενα θρυπτικὰ τῶν λίθων φάρμακα. [3]Χρὴ δὲ καὶ τὸ ὕδωρ πᾶσαν τὴν δίαιταν καθαρώτερον εἶναι καὶ διηθισμένον, καὶ οἶνος λεπτὸς καὶ λευκὸς καὶ διουρητικὸς, γυμνασίαις τε συμμέτραις κεχρῆσθαι καὶ [4]ἀνατρίμμασιν ἐν τοῖς λουτροῖς, νίτρον δὲ ὑπτίῳ καὶ τρυγίαν οἴνου, [5]κισσήρει πε̄ : ἀσβε̄ σινη̄ σταφίδας ἀγρίας ἀδάρκου θείῳ ἀπύρῳ ἴσοις χρῶ παραλείφων ἐλαίῳ καὶ [6]ψιλύθρῳ δὲ κεχρῆσθαι, καὶ τῇ λοιπῇ δὲ [7]προφυλακτικῇ διαίτῃ τῇ μελλούσῃ ῥηθήσεσθαι ἐν τῷ περὶ τῆς [8]λιθιάσεως κύστεως χωρίῳ.

Σύγχυσμα νεφρικὸν 'Οριβασίου· κυπρίνου ἐλαίου λίτρα γ', κηροῦ λιτ8 β', [9]τερεβινθίνου λιτρ. α', μαρακίνου μύρου καὶ δαφνίνου ἀνὰ λιτρας α', κενταυρίου, καστορίου, [10]σατυρίου ζζ : ππ : εὐφορβίου ἀνὰ ξο γ̄ κῡ8 : [11]πυρέθου γλήχωνος ἀνὰ [12]γο. α', ἀναλαβῶν μίγνυσο ἐπὶ τῷ τέλει καὶ ὀποβαλσάμῳ S. α', ἐν ἄλλῳ γ'· τινὲς δὲ εὐφορβίου γο. α' αὐτὴν βάλλουσι.

Ἔμπλαστρος νεφρικη· ποιεῖ δὲ [13]κοληκοῖς ἰσχιαδικοῖς· ἔστι δὲ Ἀσκληπιάδου δόκιμον· κηροῦ γο., στύρακος ἀλο̄ ἀνὰ γο. α', [14]πυρέθου, [15]κρόκου, ὀποπάνακος, χαλβάνης, λιβαν̄ ἀνὰ γο., [16]αμμ̄ : θ̄ον γο. β', ἐλαίου παλαιοῦ γο. δ'· σκευάσας κατὰ λόγον καὶ ἀναλαβὼν χρῶ θαῤ-

[1]Fort. ἠρυγγίου. Lob. [2]Ita correxi pro χαμαπίτυος. Lob. [3]Sic! ex Sched. [4]Erat mendosum ἀνατρίμασιν. Lob. [5]Scrib. κισσήρει. Lob. [6]ψιλώθρῳ fort. legendum. Lob. [7]Inveniebas προφυλακῇ. Lob. [8]λιθιώσεως prave. Lob. Deesse aliquid, ab editoris manu in margine notatur. [9]τερεβιντίνου male. Lob. [10]Ita pro σατορίου, quód erat. ex Sched. [11]Fort. πυρέθρου. Lob. [12]οὐγ. ex Sched. [13]Fort. κωλικοῖς. Lob. [14]Leg. πυρέθρου, ut supra. Lob. [15]Mendose κρόκκου. Lob. [16]ἀμμωνιακοῦ ex Sched.

ρῶν καὶ θαυμάσας φησὶν ὁ Ἀσκληπιάδης· ἐνίοτε δὲ τοῦ ἐλαίου γο. β΄. μόνον βάλλομεν διαίτας, ἐφ' ὧν λιθῶσι μὲν οἱ νεφροὶ, ἡ δὲ τοῦ σώματος ἕξις· ἰσχνὴ Φιλαγρίου μοχθηρὰ δὲ κατασκευὴ σώματος, καθ' ἣν οἱ μὲν νεφροὶ λίθους γεννῶσιν. [1]Εἰ δὲ τοῦ παντὸς σώματος φύσις ἰσχνὴ τετύχηκεν οὖσα· χρήζουσι μὲν οἱ λιθιῶντες φαρμάκων καὶ διαιτημάτων λεπτυνόντων· ἐναντιώτατα δέ ἐστι ταῦτα τοῖς ἰσχνοῖς σώμασι. Οἶδα γάρ τινα τῶν χρωμένων τῇ τοιαύτῃ διαίτῃ διὰ τὸ λιθιᾷν τοὺς νεφροὺς δυςκίνητόν τε καὶ δυςαίσθητον, καὶ ὥςπερ ψοφούντων καὶ καπυρῶν [2]αἰσθανόμενον τῶν ἑαυτοῦ δακτύλων· οἱ δὲ συνήθεις αὐτοῦ ἰατροὶ καταψύχεσθαι τοὺς δακτύλους αὐτοῦ νομίζοντες καὶ παραλυσιομελετᾶν, τοῖς δι' εὐφορβίου καὶ [3]ἀδάρμοις ἐχρῶντο φαρμάκοις. Ἡ δὲ διάθεσις πολὺ χεῖρον ἐγίνετο, καὶ προανέβαινεν ἀεὶ τὰ συμπτώματα τοῖς ἀνώτερον μέρεσι μετὰ καὶ τοῦ σφοδρὰς ὀδύνας ἐπειςφέρειν· ὕστερον δὲ συντυχών μοι ὁ κάμνων, φησὶν ὁ Φιλάγριος, καὶ δηλώσας τὰ συμβαίνοντα παρεκάλει βοηθεῖν. Δίαιταν τοίνυν ταύτην εὗρον, μεθ' ἣν ἄνευ τοῦ βλάπτεσθαι τοὺς νεφροὺς, ἰασάμην τὴν ξηρότητα τοῦ παντὸς σώματος. [4]Πτισάνης οὖν [5]χολὴν ἐπενόησα καὶ τῶν ἰχθύων τοὺς πετραίους τε καὶ πελαγίους· ὅσα τε ἄλλα μηδὲν ἔχουσι γλίσχρον· οὕτω δὲ καὶ τῶν πτηνῶν, ὅσα παραπλησίαν ἔχει τὴν σάρκα, οἷά ἐστι τὰ τῶν ὀρείων περδίκων καὶ [6]ἄττα γηνῶν ψαρῶν τε καὶ [7]κίχλων καὶ κοσσύφων, ἐφεξῆς δὲ τῶν ἐν τοῖς πύργοις περιστερῶν καὶ τῶν πυργητῶν στρουθῶν, εἶτα καὶ τῶν ἐν τόποις ὑψηλοτέροις τρεφομένων ἀλεκτορίδων· γάλακτος δὲ τοῦ μὲν τῶν ἄλλων ζώων ἀπέχεσθαι [8]παρεκελευσάμην,

---

[1] **Sic posui pro** ἤ. **Lob.** [2] **Inepte** αἰσθανομένων. **Lob.** [3] **Fort.** ἀδάρκαις. **Lob.** [4] **Legeb.** πτυσάνης. **Lob.** [5] **Fort.** χυλὸν. **Lob.** [6] **Fort.** ἀτταγήνων. **Lob.** [7] **Scrib.** κιχλῶν, **et mox** πυργιτῶν. **Lob.** [8] **Scribebatur** παρεγκελεύσαμεν. **Lob.**

μόνῳ δὲ χρῆσθαι τῷ τῶν ὄνων· καὶ συντόμως εἰπεῖν μέσα τῶν παχυνόντων ἐν τῇ διαίτῃ εἶναι χρὴ τὰ τούτοις διδόμενα τροφῆς λόγῳ.

ό. [1]Πῶς ὀμφαλοτομητέον.

Μικρὸν δὲ τοῦ βρέφους ἀπηρεμήσαντος, μετὰ τὸν ἐκ τῆς ἀποκυήσεως βρασμὸν βαστάζειν αὐτὸ καὶ τὴν ὀμφαλοτομίαν ἀπολαμβάνειν. Δεῖ δὲ τέσσαρας δακτύλους διαστήσαντας ἀπὸ τῆς γαστρὸς, ἀποκόπτειν τὴν ὀμφαλίδα διά τινος ἐπάκμου χάριν τοῦ μηδεμίαν γενέσθαι περίθλασιν· πάσης δ' [2]εὐνῆς τμητικώτατός ἐστιν ὁ σίδηρος. Αἱ πολλαὶ δὲ τῶν μαιουμένων ἥλῳ ἢ καλάμῳ ἢ ὀστράκῳ ἢ τῷ λεπτῷ τοῦ ἄρτου δοκιμάζουσιν τὴν ἀποκοπὴν, ἢ [3]λινωζιαίῳ [4]ἀποσφίγξας εἰς τὸ δυςαιώνιστον εἶναι τὴν ἐν τῷ πρώτῳ χρόνῳ σιδήρου τομήν, ὅπερ παντελῶς καταγέλαστον ἐστίν· [5]αἳ τὸ [6]κλέειν αἱ τὸ δυςαιώνιστον ἐστίν. Ἀπὸ δὲ τούτου τὸ γεννηθὲν ἄρχεται τοῦ ζῆν, ὅπως μήτε διὰ πρεζόμενον τὸ σῶμα μήτε περιθλώμενον συμπάθεια γένηται, καὶ [7]διαγανακτήσεις ἀμείνων ἀδυσιδαιμονῆ[18] σμιλίῳ μᾶλλον τὸν ὀμφαλὸν κόπτειν, ἵνα τὸ ἐν αὐτῷ περιεχόμενον [8]ἐκθλίβειν, ὅπερ οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ πεπηγὸς αἷμα· κἄπειτα τὸ ἄκρον τῆς διακοπῆς ἀποσφίγγειν ὡς ἐρίῳ [9]ἐστραμμένῳ ἢ μίτῳ ἢ κροκύδι, [10]ἢ τὴν παραπλησίως· τὸ γὰρ λίνον ἐκτέμνον τὴν [11]τρυφερίαν τῶν σωμάτων δυςυπομονήτους ἀλγηδόνας ἀποτελεῖ. Τὸ δὲ ἀποβροχίζειν τὸ μέρος, ὡς ὑπεδεί-

[1]Nunc pergit P., sed B. in sequentibus prorsus nos deficit. [2]Fort. ὕλης. Lob. [3]λίνῳ βιαίως ex Sched. [4]Fort. ἀποσφίγξασαι εἰς τὸ δυςοιώνιστον. Lob. [5]Sic! ex Sched. Fort. καὶ τὸ κλαίειν αὐτὸ δυςοιώνιστον ἐστίν. Lob. [6]κλαίειν ex Sched. [7]Sic! ex Sched. Fort. δι' ἀγανακτήσεις ἄμεινον ἀδεισιδαιμονεστέρῳ σμιλίῳ μ. τ. ὀ. κ. Lob. [8]Leg. ἐκθλίβῃ. Lob. [9]Male ἐστραμένῳ. Lob. [10]ἤ τινι παραπλησίῳ ex Sched. [11]Mendosum erat τρυφέριαν. Lob.

ξαμεν [1]ἀναγκαίως, ὥςτε μὴ τῆς αἱμοῤῥαγίας ἐπιγίνεσθαι κίνδυνον τῶν ἐντεῦθεν ἀγγείων τὸ ἀπὸ τῆς κυούσης αἷμα καὶ πνεῦμα διακονικῶς ἐπικεχορηγηκότων τῷ σώματι τοῦ βρέφους· διό τινες μὲν μετὰ τὴν ἀποκοπὴν ἐπέκαυσαν τὸν ὀμφαλὸν διὰ δαυλοῦ θερμαθέντος ἢ διὰ τοῦ πλατέος τῆς μήλης, ὅπερ ποιεῖν ἡμεῖς ἀποδοκιμάζομεν· τὰ γὰρ ἐπικαέντα περιωδυνίας καὶ φλεγμονὰς σφοδρὰς ὑπομένει. Μὴ ἐξῃρημένου δὲ τοῦ χορίου, κατὰ δύο τόπους ἀποβροχίζειν δεῖ τὸν [2]οὐραχὸν καὶ τότε μεταξὺ διακόπτειν, ἵνα διὰ μὲν τοῦ ἑτέρου βρόχου τὴν τοῦ βρέφους αἱμοῤῥαγίαν προφυλαξώμεθα, διὰ δὲ θατέρου [3]τὴν τῆς ἀποκεκυηκυίας· ἔτι γὰρ αὐτῇ προςέχεται τὸ χορίον. Μετὰ δὲ τὴν ὀμφαλοτομίαν ὡς πολλοὶ τῶν βαρβάρων, ὡς οἱ Γερμανοὶ καὶ Σκύθαι, τινὲς δὲ καὶ τῶν Ἑλλήνων, εἰς ψυχρὸν ὕδωρ καθιᾶσι τὸ βρέφος στερεοποιήσεως χάριν, καὶ τὸ μὴ [4]φέρειν τὴν ψύξιν, ἀλλὰ [5]πελιούμενον ἢ σπώμενον, ὡς οὐκ ἄξιον ἐκτροφήσεως ἀπολέσθαι. Τινὲς δὲ οἰνάλμῃ, τινὲς δὲ καθαρῷ λούουσιν οἴνῳ, τινὲς δὲ οὔρῳ παιδὸς ἀφθόρου, τινὲς δὲ μυρσίνῃ λεπτῇ συμπεπασμένῃ [6]κηκίδι· τούτων δὲ ἕκαστον ἡμεῖς ἀποδοκιμάζομεν· τὸ ψυχρὸν μὲν γὰρ διὰ τὴν πολλὴν καὶ ἀθρόαν πύκνωσιν, ἧς ἀμέτοχον ἢ τὸ γεννηθὲν πάντα βλάπτειν. Τῆς δὲ ἐξ αὐτοῦ βλάβης τὸ ἀποτέλεσμα λανθάνει μὲν ἐπὶ τῶν δυςπαθεστέρων, ἐλέγχεται δὲ ὑπὸ τῶν εὐπαθῶν σπασμοῖς καὶ ἀποπληξίαις ἁλισκομένων· οὐ μὴν ἐπὶ τὴν βλάβην οὐκ ἤνεγκε ζῆσαι. Μὴ βλαβὲν οὐκ ἠδύνατο καὶ τὰ δυςπαθέστερα βελτίω τὴν ἀνατροφὴν [7]ἕξει, μηδὲ ὅλως ἀδικούμενα, κἂν ἡ δὲ χρεία ψύξεως αὐτάρκης ἡ ἐπὶ τοῦ ἀέρος ψύξις, δι' ἣν εὐθέως κλαυθμυ-

[1]Scrib. ἀναγκαῖον et infra θερμανθέντος. Lob. [2]Praebebatur οἰράχον. Lob. [3]Offendebat τὸν. Lob. [4]Fort. φέρον. Lob. [5]Sic posui pro πελιώμενον. Lob. [6]κικίδι. P. [7]Scrib. ἕξειν. Lob.

ρίζειν ξενοπαθοῦντα τῇ ψύξει διὰ τὸ μὴ ἀπὸ θέρμης [1]συνεχοῦς προεληλυθέναι τῆς μήτρας. Ὁ δὲ οἶνος διὰ τὴν ἀποφορὰν πληκτικὸς καὶ καρώδης οὐ μόνον τῶν οὕτω τρυφερῶν παίδων, ἀλλὰ καὶ τῶν ἤδη τελείων· ὡςαύτως δὲ καὶ τὸ οὖρον ὅ,τι δυςῶδες· αἱ μυρσίναι δὲ καὶ [2]κηκίδες στύφουσι μὲν, οὐκ ἀποσμήχουσι δέ. Χρεία δὲ τῶν ἀπὸ στύψεως ἀποσμηχόντων, ἵνα ὁ φυσικὸς τοῦ γλίσχρου αἵματος καὶ ὁ τῶν σωμάτων ἐπίπαγος ἀποτακῇ μετὰ τοῦ πήγνυσθαι τὴν ἐπιφάνειαν καὶ δυςάλωτον εἰς τὴν τῶν ἐξανθημάτων γένεσιν ἀποτελεῖσθαι· διόπερ τοῦ ἁλισμοῦ ὁ τρόπος οὕτως ἂν ἀποτελεῖσθαι.

## οά. Περὶ ἁλισμοῦ.

Ἢ λεπτον καὶ χνοῶδες ἅλας ἢ νίτρον ἢ ἀφρόνιτρον λαβόντα δεῖ συμπάσσειν τὸ βρέφος, φυλασσόμενον τοὺς ὀφθαλμοὺς καὶ τὸ στόμα· τὸ γὰρ παρεμπεσὸν τοῖς μέρεσι τούτοις, [3]ἕλκωσιν ἐργάζεται καὶ [4]διαπήρωσιν ἢ πνιγμονήν. Μήτε δὲ πολλῷ τῷ ἁλὶ συμπάσσειν· διὰ γὰρ τὴν πλείονα δριμύτητα βρυώδης ἀκμὴν καὶ ἀσθενὴς ἄγαν ἡ σύγκρισις διαβιβρώσκεται· μήτε ὀλίγῳ, διὰ τὸ μὴ ἱκανῶς στερεοποιεῖσθαι τὴν ἐπιφάνειαν. Ἐνδέχεται δὲ τρυφεροῦ τοῦ βρέφους ὄντος τοὺς ἅλας μέλιτι δεῖν ἀνακόψαι ἢ ἐλαίῳ [5]χυλῷ πτισάνης ἢ τήλεως ἢ μαλάχης· μετὰ δὲ τὸ ἀποσμῆξαι τὸ σῶμα δεῖ χλιαρῷ ἀπολούειν ὕδατι, καὶ ἀποπλύνειν τὸ περικείμενον νίτρασμα πᾶν· εἶτα ἐκ δευτέρου τὸ αὐτὸ ποιεῖν καὶ συμπάσσειν μὲν τοὺς ἅλας· θερμοτέρῳ δὲ τῷ ὕδατι μᾶλλον ἀπολούειν καὶ δακτύλοις ἀποθλίβειν τὸ ἐγκείμενον ταῖς ῥισὶ γλί-

---

[1]*καὶ*, quod inter *θέρμης* et *συνεχοῦς* locum habebat, delevi. Lob. [2]*κικίδες*. P. [3]Pro *ἕλκοσιν* ita scribitur ex Sched. [4]Fort. *διαπύρωσιν*. Lob. [5]*ἢ χυλῷ* ex Sched.

σχρασμα· ἀποκαθαίρειν δὲ καὶ τὸ στόμα καὶ τοὺς τῶν ὤτων πόρους· ἐγχυματίζειν δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐλαίῳ· [1] σμῆξαι γὰρ ἀγαθὸν τούτων τῶν παχυτάτων ἐν αὐτοῖς ὑγρῶν· [2] οὐ μὴν γινομένου κατὰ τὸ πλεῖστον ἀμβλυωπεῖν συμβαίνει τὰ τρεφόμενα. Διὰ δὲ τοῦ σμικροῦ δακτύλου προαπωνυχισμένου τὸ δακτύλιον διαστέλλειν καὶ διαιρεῖν τὸ περιπεφυκὸς [3] αὐτῷ πολλάκις σῶμα λεπτὸν καὶ ὑμενῶδες εἰς ἀπαραπόδιστον τῶν περιττωμάτων ἔκδοσιν· παραχρῆμα γοῦν ἐκκρίνεται τὸ καλούμενον συνήθως μηκώνειον· κατὰ δὲ τοῦ ὀμφαλοῦ πτυγμάτιον [4] ἐπιρέψαι ἐλαιοβραχὲς ἢ καὶ ἔριον· τὸ δὲ κύμινον ὡς δριμὺ παραιτεῖσθαι δεῖ. Τοῦ μέντοι καταληφθέντος ὀμφαλοῦ τὸ ἀποσφιχθὲν ἔνιοι μὲν τῷ μηρῷ προσέδησαν· ἄμεινον δὲ διπλώσαντα καὶ τῷ ἐριδίῳ περιτυλίξαντα πράως ἐντιθέναι κατὰ τὴν μεσότητα τοῦ ὀμφαλοῦ· τάχα γὰρ καὶ τῷ βάρει πιεζούμενον τὸ μέρος εἰς εὐμορφωτέραν κοίλωσιν τυπωθήσεται· μετὰ δὲ τὸν ἁλισμὸν καὶ τὴν ἀπόλουσιν σπαργανοῦν τὸ βρέφος. Ἀντιγένης μὲν οὖν τὴν [5] θαλσαλίκην λεγομένην [6] παραλαμβάνων σπαργάνωσιν, εἰς ξύλον μεσόκοιλον καὶ παράμηκες βάλλει ψίεθον χόρτου πλήρη ἢ [7] ἀχύρων· εἶτα ἐπιστρώννυσι ῥάκος καὶ τὸ βρέφος κατακλίνων ἐπ᾽ αὐτοῦ [8] κατειλημμένον ἄχρι τῆς ὀσφύος ῥάκεσι καὶ [9] τενείαις, εἶτα καὶ πρὸς κατάδεσμον [10] κηρίας δεῖ ἐκβαλλόμενον διὰ τῶν πλαγίων ἐκκοπῶν, ἃς τὸ ξύλον ἔχειν δεῖ. Δυςκαρτέρητος δὲ καὶ ἀπηνὴς ὁ τρόπος οὗτός ἐστι τῆς διαδέσεως, ὅθεν δεῖ διαπλάσσειν μὲν ὡς ἔχει ἕκαστον φυσικοῦ σχήματος, [11] εἴ τι παρὰ τὸν

[1] Fort. σμῆξις. Lob. [2] Scrib. οὐ μὴ. Lob. [3] Legebatur αὐτῶν. Lob. [4] Fort. ἐπιῤῥίψαι. Lob. [5] πασσαλικὴν vel θεσσαλικὴν ex Sched. [6] Pro παραλαμβάνειν accepi παραλαμβάνων. Lob. [7] Sic scripsi pro ἀχύρῳ. Lob. [8] Male legebatur κατηλημμένον. Lob. [9] Fort. ταινίαις. Lob. [10] Male κηρείας. Lob. [11] ἐστὶν P. εἴ τι ex Sched.

τῆς ἀποκυήσεως χρόνον διέστραπται, τοῦτο ῥυθμίζειν καὶ εἰς τὸ κατὰ φύσιν [1]μετάγειν. Σχήμασι δέτι παραθλίβειν ἐξοίδηκεν, ψιμμυθίῳ περιχρίειν λελειοτριβημένῳ μεθ' ὕδατος ἢ λιθαργύρῳ· κατατιθεμένην δὲ αὐτὸ πράως ἐπὶ τῶν ἰδίων μηρῶν, [2]συνεσκεπασμένων ἐρίῳ ἢ ῥάκει χάριν τοῦ μὴ ψυγῆναι γεγυμνωμένον ἐν τῇ κατὰ μέρος σπαργανώσει, [3]λαμβάνειν τελαμῶνας ἐρεούς τε καθαροὺς τρυφερούς τε, καὶ μὴ λίαν τετριμμένους, τοὺς μὲν τριῶν δακτύλων τῷ πλάτει, τοὺς δὲ τεσσάρων· ἐρεοὺς μὲν, διὰ τὸ τῆς ὕλης προσηνὲς καὶ διὰ τὸ περισφίγγεσθαι τοῖς ἱδρῶσι τοὺς λινοὺς· τρυφεροὺς δὲ χάριν τοῦ μὴ μετὰ [4]περιθλάσεως τὴν σκέπην τρυφεροῖς ἔτι σώμασι καθεστῶσι παρέχειν· καθαροὶ δὲ, ἵνα κοῦφοι καὶ μὴ βαρεῖς ὦσι καὶ μὴ δυσώδεις, μηδὲ νιτρούμενοι τὴν ἐπιφάνειαν δάκνωσι· μὴ λίαν δὲ τετριμμένους· οἱ [5]καινοὶ μὲν γὰρ βαρεῖς ὑπάρχουσιν, οἱ δὲ τριβακοὶ λίαν ψυχροὶ καθεστᾶσι, ποτὲ δὲ καὶ τραχεῖς καὶ παντελῶς εὐδιάσπαστοι, μὴ ἔχοντες δὲ [6]παρωὰς, μηδὲ παραστροφίδας, ἵνα μὴ [7]ἐντέμνωσιν· μηδὲ ἀνωμάλους· ἃ μὲν μᾶλλον [8]θλίβουσιν, ἃ δὲ ἧττον· συμμέτρους δὲ κατὰ τὸ πλάτος· οἱ στενοὶ μὲν γὰρ τέμνουσιν, οὐ πλατεῖς δὲ οὐ πιέζουσιν, ἀλλὰ ῥυτιδοῦνται· τριῶν δὲ καὶ τεσσάρων δακτύλων, ἵνα μὲν οἱ μὲν ἐπὶ τῶν κώλων ἁρμόσσωσιν, οἱ δὲ ἐπὶ τοῦ θώρακος. Λαβοῦσα τοίνυν τὴν ἀρχὴν τοῦ τελαμῶνος κατὰ τοῦ ἀκροχείρου τιθέτω, καὶ τὴν ἐπίλυσιν ἐς κυκλίον ἀγέτω κατὰ τῶν δακτύλων ἐκτεταμένων· εἶτα κατὰ τοῦ ἐπικαρπίου πήχεώς τε καὶ [9]βραχίονος, πιέζουσα μὲν τὰ

---

[1] δέτι] εἴ τι ex Sched. Fort. μετάγειν σχῆμα. Εἰ δέ τι ἐξοίδηκεν παραθλίβειν. Lob. [2] συνεσκεπασμένον ex Sched. [3] λαμβάνει P. Dedi λαμβάνειν. Lob. [4] Dedi περιθλάσεως pro περιπλάσεως. Lob. [5] κενοὶ P. καινοὶ ex Sched. [6] παρειὰς ex Sched. [7] Mendose ἐντέμνουσαν. ex Sched. [8] Pro θλιβῶσιν rectius θλίβουσιν. Lob. [9] Male βραχίωνος. Lob.

κατὰ τοὺς καρποὺς ἡσυχῇ, τὰ δὲ ἄλλα μέχρι μασχάλης ἀνιεῖσα. Τῷ δὲ αὐτῷ τρόπῳ καὶ τὴν ἑτέραν σπαργανώσασα τῷ θώρακι λοιπὸν κυκλοτερῶς [1]περιειλείτω τῶν πλατυτέρων τελαμώνων, ὁμαλῶς μὲν ἐπὶ τῶν ἀῤῥένων πιέζουν τὴν [2]ἐνδεοῖν, μᾶλλον δὲ τὰ κατὰ τοὺς μαστοὺς σφίγγουσα τῶν θηλειῶν, ἀνιεῖσα δὲ τὸ περὶ τὴν ὀσφὺν· ἀπρεπέστερον γάρ ἐστιν ἐπὶ γυναικῶν τοῦτο τὸ σχῆμα. Μετὰ δὲ [3]ταῦτα σπαργανοῦν κατ' ἰδίαν ἑκάτερον τῶν σκελῶν· τὸ γὰρ ζυγώσασαν αὐτὰ γυμνὰ συνεπιδεσμεῖν ὁμοῦ, [4]ποιητικόν ἐστιν ἑλκώσεως γὰρ καὶ τρυφερῶν ἀκμὴν ἐπὶ τῶν σωμάτων παραθέσεις τῇ πυρώσει ταχέως· ἐπεὶ καὶ εἰς [5]τάςδε περιειλήσεις τῶν τελαμώνων ἕως ἄκρων ποιείσθω δακτύλων, ἀνιεῖσα μὲν τὰ κατὰ τοὺς μηροὺς καὶ τὰς γαστροκνημίας, σφίγγουσα δέ τὰ πρὸς τοῖς γόνασι καὶ ταῖς ἰγνύαις τά τε κατὰ τοὺς ταρσοὺς καὶ τὰ σφυρὰ, ἵνα τὰ μὲν ἄκρα πλατύνηται τῶν ποδῶν, τὰ δὲ μέσα συνάγηται. Μετὰ δὲ ταῦτα παραβάλλουσα τοὺς μὲν βραχίονας τοῖς πλευροῖς, τοὺς δὲ πόδας ἀλλήλοις πλατεῖ τελαμῶνι κυκλοτερῶς ὅλον τὸ βρέφος ἀπὸ θώρακος ἄχρι ποδῶν [6]κατειλείτω· παραβεβλημέναι γὰρ αἱ χεῖρες ἔνδοθεν τῆς περιειλήσεως εἰς ἔκστασιν [7]ἐθίζονται· παχυτικαὶ γὰρ τῶν νεύρων αἱ μέχρι πλείονος τῶν ἄρθρων εἰσὶ [8]συνζεύξεις, ὥστε καὶ ἀγγύλας ἐπιφέρειν· τῷ μέντοι πρὸς τὸ κατειλῆσθαι τὰ χέρια κωλύεται, διὰ τῆς ἀτάκτου παραφορᾶς διαστρέφεσθαι· πολλάκις δὲ καὶ διὰ τοῦ κατὰ τῶν ὀφθαλμῶν τοὺς δακτύλους ἐπιφέρειν κακῶς διατίθεσθαι τὰς ὄψεις· μεταξὺ μέντοι

---

[1] Pro *περιειλίτω* dedi *περιειλείτω*. Lob. [2] *αἰδοί* ex Sched. [3] Prave *ταῦτας* et paullo post *γυμνὰς*. Lob. [4] Deest aliquid. ex Sched. [5] Legebatur *τὰς δε*. Lob. [6] Pro *κατειλήτω* scripsi *κατειλείτω*. Lob. [7] *ἐθείζονται*. P. [8] Scrib. *συζεύξεις* et statim *ἀγκύλας*. Lob. *πρὸς τὸ κατειλῆσθαι τὰ χέρια*] *κατειλῆσθαι πρὸς τὰ χέρια* adnotatur in margine MS. Dietziani.

τῶν ἀστραγάλων καὶ τῶν γονάτων, ἔτι δὲ καὶ τῶν ἀγκώνων ἔριον παρεντιθέσθω πρὸς τὸ μὴ ἑλκοῦσθαι τὰς ἐξοχὰς τῇ βιαιοτέρᾳ θλίψει καὶ παραθέσει τῶν μερῶν. Τὸ δὲ [1]κεφάλιον σκεπαζέσθω κυκλοτερεῖ περιειλήσει ῥάκους ἢ ἐρίου τρυφεροῦ τε καὶ καθαροῦ· ἐνδέχεται δὲ καὶ ὑπὸ τὸ μετάφρενον ἐπίμηκες καὶ πλατὺ ῥάκος ἢ ἔριον προυποβάλλειν· εἶτα μετὰ τὴν ἔμπροσθεν εἰρημένην σπαργάνωσιν δίχα τοῦ ἔξωθεν ἑνὸς καὶ κοινοῦ κατὰ πάντων [2]τελαμῶνος ἀναδιπλοῦν τὸ ὑποκείμενον ῥάκος ἢ τὸ ἔριον, πρῶτον μὲν κατὰ τὰ ἄνω μέρη ὑπὸ τὸν τράχηλον, εἶτα καθ' ὅλου τοῦ νηπίου δίχα τῆς κεφαλῆς· ὕστερον δὲ πλατυτέρῳ τελαμῶνι καὶ ὡσανεὶ πέντε δακτύλων τὸ πλάτος ὅλον περιτυλίττειν τὸ βρέφος· τὴν δὲ κεφαλὴν ὡς ὑπεδείξαμεν σκέπειν. Ἐνδέχεται δὲ καὶ δύο μὲν ὑποστρωννύναι ῥάκη, ἵν' ᾖ τὸ μὲν εὐμέγεθες καὶ τὸ ὅλον περιλαβεῖν σῶμα δυνάμενον, τὸ δὲ χάριν τοῦ μόνην τὴν ὀσφὺν περιελθεῖν [3]αὐταρκὲς εἰς ὑποδοχὴν τῶν σκυβάλων· οὐδὲ γὰρ ὡς [4]ἐπαχθέντος ἐρίῳ μὲν καθαρῷ τὸν θώρακα μετὰ τοῦ ἐπιγαστρίου περιλαβεῖν, τὰ δὲ λοιπὰ περιλαβεῖν, ὡς ἔμπροσθεν εἰρήκαμεν.

## οβ'. Περὶ τῆς τοῦ βρέφους κατακλίσεως.

Εἶτα [5]τὸ βρέφος κατακλίνειν μήτε ἐπὶ στερεοῦ τινος καὶ ἀντιτύπου, καθάπερ πράττουσι Θρᾷκές τε καὶ Μακεδόνες, ὁμαλαῖς σανίσιν ἐπικαταδεσμοῦντες τὰ βρέφη χάριν τοῦ περιπλατέα τὰ περὶ τὸν τράχηλον καὶ τὸ ἰνίον αὐτῷ ἀποτελεσθῆναι. Συμβαίνει γὰρ οὕτως ἑλκοῦσθαί τε καὶ περιθλᾶσθαι τὰ σώματα διὰ τὴν [6]ἀπήνειαν τῶν

---

[1] Sic restitui ex depravato *κεφαλίαιον*. Lob. [2] Legebatur *τελαμώνειν* et infra *εἶθα*. Lob. [3] Sic! [4] *ἐπαχθὲς τὸ* ex Sched. [5] Inepte *τοῦ βρέφους* locum habebat. Lob. [6] *ἀπηνίαν* scribebatur Lob.

ὑποκειμένων, καὶ ἀπρεπῆ τὴν κεφαλὴν ἀποτελεῖσθαι σὺν τῷ [1]καίει [2]τοῦτο εὐπρεπές ἐστι τὸ σχῆμα διὰ τῆς περὶ τὰ λουτρὰ πλάσεως ἀκινδύνως αὐτὰς καὶ ἀσυμπαθῶς ἀποδοθήσεσθαι κατὰ τρυφεροῦ τινός· συμμέτρως οὖν κατακλινέσθω [3]λαπαρῶς τε πάλιν διὰ τὴν πολλὴν [4]σὺν νυξὶν διαστρέφεσθαι τὴν ῥάχην ἢ τὸν τράχηλον. Κατακλιτέον τὸ βρέφος οἷον κατὰ προςκεφαλαίου πεπληρωμένου [5]κναφάλων· εἰ δὲ μὴ, χάρτου ἁπαλοῦ, σωληνοειδῶς κοιλαινομένης τῆς στρωμνῆς ὥςτε τὸ βρέφος τίθεσθαι περικυλισθῆναι· μετέωρον δὲ ποσῶς σχηματιζέσθω τὸ κεφάλαιον· διόπερ οὐ κάτω πως ἐν ταῖς σκάφαις ἐστρωμέναις ἐᾶσθαι κατακλίνεσθαι· καὶ τὰ ἐπιβλήματα πρὸς λόγον τῆς ὥρας θερμότερα ἔστω ἢ τριβακώτερα· τὰ δὲ ὑποκείμενα κατὰ μέρος ψυχέσθω καὶ ἀλλασσέσθω πρὸς τὸ μήτε περιψύξαι, μήτε τῆς δυςωδίας πληρῶσαι τὸ βρέφος· ὅθεν τινὲς καὶ φύλλα [6]ἔστρωσαν ἢ δάφνης ἢ μυρσίνης κατ' ἐπιτήδευσιν εὐωδίας· οἱ δὲ, καὶ αὐτὴν φυλασσόμενοι τὴν εὐωδίαν ὡς πληκτικὴν, ἀπεδοκίμασαν αὐτά. Τὸν οἶκον δὲ δεῖ καθαρὸν εἶναι καὶ συμμέτρως θερμὸν, καὶ μηδὲ ἄγαν ἔχοντα πληκτικὴν ἀποφορὰν μηδὲ περιαυγίαν, παρὸ καὶ οἱ τὰ τῆς ψυχῆς ἄφθονα καὶ κωνωπίων [7]ἐπεριθέσης ἐστὶν. Τινὲς δὲ τῶν βαρβάρων ἀγγιολογοῦσι τὰ βρέφη καὶ συμπάττουσι τέφρῃ προαδικοῦντες τὰ πήξεως καὶ δυςπαθείας δεόμενα. Πέρσαι δὲ [8]προαποξυροῦσι τὰς κεφαλὰς αὐτῶν, εὐγενείας σημεῖον τὸ περὶ τὰς τρίχας αὐτῶν ὑπολαμβάνοντες δύςρητον· μετὰ μέντοι τὴν τὴς σπαργανώσεως κατάκλισιν, ἐὰν τὸ βρέφος

[1]Fort. σκεύει. Lob. [2]Alterum μήτε deest. ex Sched. [3]λαμπῶς, ut P., mutatum est in λαπαρῶς ex Sched. [4]Fort. contrahendum in σύννυξιν. ῥάχην] Fort. ῥάχιν. Lob. [5]Scribebatur κναφαλλῶν. περικυλισθῆναι.] Sic dedi pro περικοιλ. Lob. [6]ἰῶσθαι P. ἐᾶσθαι ex Sched. [7]Ita transposui ἢ ἔστρωσαν δάφνης, ut P. obtulit. Lob. [8]Fort. ἐπερεύθεσις et ἐπέρεισις. ex Sched.

[1]ἠρεμῇ, [2]καὶ πάσης ἀπέχεσθαι προςφορᾶς μέχρι δύο κατὰ τὸ πλεῖστον ἡμερῶν καὶ γὰρ βράσσεται πανταχόθεν ἀκμὴν καὶ πολλῆς ἔτι καθ' ὅλον τὸ σῶμα [3]μητρῴας τροφῆς ἐστι πλῆρες, ἣν ὀφείλει διοικῆσαι πρῶτον, ἵνα κατὰ καιρὸν εὐκαίρως ἄλλην λάβῃ, χωρὶς εἰ μὴ πρότερον [4]ἐπιδείξειεν ἡ ὄρεξις, ὅπερ τίνι τρόπῳ σημειωτέον ὑποδείξομεν ὕστερον. Μετὰ δὲ τὸ διαστῆσαι δοτέον ἐκλείχειν τροφὴν, μὴ τὸ [5]φούτυρον, βαρὺ γάρ ἐστι καὶ κακοστόμαχον· [6]ἀδικεῖν, ἀλλ' οὐδὲ ἀβρότονον μετὰ βουτύρου, δριμύτερον γὰρ καὶ τοῦτο [7]καταρακτικὸν, ἀλλ' οὐδὲ κάρδαμον οὐδὲ μακτὸν ἄλφιτον· τὸ κάρδαμον μὲν γάρ ἐστι δριμὺ, καὶ τὸ ἄλφιτον [8]τραχὺν ὂν φλεγμονὴν ἐργάζεται· πάντως δὲ [9]ἐπιξένη τῇ κατάποσιν· μέλι δὲ συμμέτρως ἑφθὸν· τὸ μὲν γὰρ ὠμὸν ἐμπνευματοῖ καὶ δριμὺ τυγχάνει, μᾶλλον δὲ τὸ [10]ὑπερηψημένον τυγχάνει· τὸ δ' εὐμέτρως ἄπεφθον [11]ἣ ἀνακαθαίρει τὸν στόμαχον καὶ τὴν κοιλίαν. Δεῖ δὲ τῷ δακτύλῳ τὸ στόμα τοῦ βρέφους ἠρέμα διαχρίειν, εἶτα χλιαρὸν ὑδρόμελι παραστάζειν· διὰ τοῦτο γὰρ τὸ μὲν ἀργὸν καὶ παχὺ τῆς ὕλης λεπτοποιεῖται· διατείνεται δὲ ἡ ὄρεξις εἰς ὑπόμνησιν· διανοίγεται δὲ ἡ κατάποσις· [12]εὐοδεία δὲ καὶ ἀνακάθαρσις τῶν πόρων ἡ ἀνάδοσις ἑτοιμάζεται· τρέφεται ἡ σύγκρισις. Τῇ δὲ ὑστεραίᾳ τῶν ἡμερῶν μετὰ τὴν ἐπιμέλειαν γάλακτι λοιπὸν τρέφειν ἔκ τινος τῶν τιτθεύειν καλῶς δυναμένων· τὸ γὰρ [13]μητρῷον ἕως ἡμερῶν εἴκοσιν

---

[1] Inveniebas ἠρεμεῖ. Lob. [2] Fort. pro καὶ convenit δεῖ. Lob. [3] μητρώας erat. Lob. [4] ἐπιλείξειεν P. ἐπιδείξειεν ex Sched. [5] Fort. βούτυρον. Lob. [6] Legebatur ἀδικειν sine accentu. ὥςτε ἀδικεῖν ex Sched. [7] καὶ ταρακτικὸν ex Sched. [8] Fort. contrahendum τραχῦνον. Lob. [9] Pro ἐπιξένη τῇ fort. scrib. ἐπιξαίνει τὴν. Lob. [10] Male ὑπερεψημένον. Lob. [11] Fort. ἣ delendum. Lob. [12] Scrib. εὐοδίαν et deinde ἀνακάθαρσιν. Lob. [13] μητρῷον, ut bis statim infra, scribebatur. Lob.

ἐπὶ τὸ πλεῖστον φαῦλόν ἐστιν, ὡς ἂν παχὺ καὶ τυρῶδες ἄγαν καὶ διὰ τοῦτο δύςπεπτον καὶ ἀργὸν καὶ ἀκατέργαστον καὶ ἀπὸ σωμάτων κεκακοπαθηκότων καὶ ἐκτεταραγμένων φερόμενον καὶ τοσαύτην μετακόσμησιν εἰληφότων, ὅσην ἐροῦμεν συμβαίνουσαν μετὰ τὴν ἀποκύησιν, ἰσχνουμένου καὶ ἀτονοῦντος καὶ ἀχροοῦντος τοῦ σώματος καὶ πολλὴν αἵματος ἀπόκρισιν ὑπομένοντος, τὰ πολλὰ δὲ καὶ πυρέττοντος, ὧν χάριν πάντων τὸ μητρῷον γάλα μέχρις ἂν εὐσταθήσῃ τὸ σῶμα σύντασιν ἄτοπόν ἐστι, [1] διὸ καὶ δαμαστεῖν. Ἐικιμεμπτέον κελεύοντα, παραχρῆμα τῷ βρέφει τὴν μητέρα τὸν μαστὸν ὀρέγειν· ὡς διὰ τοῦτο καὶ τῆς φύσεως τὸ γάλα ποιῆσαι πρότερον ἐν οἰκονομήσεσιν εὐθέως καὶ τὴν τροφὴν εὐθέως τὸ βρέφος ἔχειν. Μεμπτέον δὲ καὶ τοὺς ἀποδεξαμένους αὐτὸν· ἐπὶ τούτων καθάπερ καὶ τὸ βιβλίον ὠνόμασαν Ἀπολλώνιον· πιθανῷ γὰρ λόγῳ σοφίσασθαι τὴν ἐνέργειαν θέλουσιν. Εἰ δὲ [2] εὐπόρως παρείη τις τὸ γάλα παρέχειν δυναμένη, ταῖς πρώταις τρισὶν ἡμέραις μόνῳ τῷ μέλιτι χρηστέον· ἢ καὶ [3] τὸ ἀγγεῖον αὐτῶν γάλα συμπλεκτέον· εἶτα τὸ μητρῷον ἐπιχορηγητέον τοῦ πρώτου [4] προςεκμυζηθέντος διὰ μειρακίου τινός· βαρὺ γάρ ἐστιν, ἢ πράως διὰ χειρῶν ἀποθλιβέντος· ἐπεὶ καὶ δυςεκμύζητόν ἐστι τὸ παχυμερὲς καὶ δυνάμενον ἐπὶ τῶν ἀρτιγενῶν διὰ τὴν τρυφέρειαν τῶν οὐλῶν [5] εἰπενασθῆναι. Παρεχούσης δὲ τῆς παραστάσεως τὰς [6] τιτθεύειν δυναμένας, ἐκλέγειν [7] δὲ τὴν ἀρίστην καὶ οὐ πάντως τὴν μητέρα, πλὴν εἰ μὴ καὶ περὶ ταύτην ὑπάρχει τὰ ὀφείλοντα ταῖς ἀρίσταις συμβεβηκέναι τιτθαῖς· ἄμεινον γὰρ τῶν ἄλλων ἐπίσης ἐχόντων τῷ μητρῴῳ

---

[1] Fort. διὸ καὶ Δαμαστὴν εἶναι μεμπτέον, κελεύοντα etc. Lob. [2] εὐπόρῳ mutavi in εὐπόρως. Lob. [3] τῷ ἀγγείῳ αὐτοῦ ex Sched. [4] προεκμυζεθέντος ex Sched. [5] Fort. ἐπιναοθῆναι. Lob. [6] Sic posui pro τιτθύειν. Lob. [7] Fort. scrib. δεῖ pro δὲ. Lob.

γάλακτι, τρέφεσθαι τὸ νήπιον. Τοῦτο γὰρ οἰκειότερον αὐτῷ, καὶ πρὸς τὰ γεννηθέντα συμπαθέστεραι μᾶλλον αἱ μητέρες γίνονται· καὶ ὡς φυσικώτερον πρὸ τῆς ἀποτέξεως τοῦ καὶ μετὰ τὴν ἀπότεξιν ἀπὸ τῆς μητρὸς τρέφεσθαι. Κωλύοντος δέ τινος, τὴν ἀρίστην ἐκλέγειν τιτθὴν ὥστε μηδὲ τὴν μητέρα προσγηράσαι διὰ τῆς ἐκμυζήσεως καθ' ἡμέραν δαπανωμένην· ὡς γὰρ [1]μετὰ τὴν σπορὰν ἀποδοῦσα τοὺς καρποὺς ἀτονεῖ καὶ διὰ τοῦτο πρὸς τὸ ἐπὶ πλεῖον ἄκαρπος γίνεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ γυνὴ τρέφουσα τὸ ἀποτεχθὲν, εἴτε καὶ πρὸς γῆρας καὶ μίαν προσφερομένην τροφὴν, ἢ τὸ ἀπουσιαζόμενον εἰς τὴν τοῦ γεννηθέντος ἀνατροφὴν, ἀτροφώτερον [2]ἀναγκάζει γίνεσθαι τὸν ὄγκον. Ἄμεινον οὖν ἡ μήτηρ ἀπαλλάξει πρός τε τὴν ἑαυτῆς ἀνάκτησιν καὶ πρὸς τεκνοποιίαν ἄλλων ἀναπαυσαμένην, καὶ τοῦ ὑπάρχειν τὸν μαστὸν ἐν ἀποτάσει· καθάπερ γὰρ καὶ τὰ λαχανευόμενα πρὸς τὴν τῶν [3]κηπευόντων, ἐν ἄλλῃ μὲν γῇ σπείρεται χάριν τῆς ἀναφυσήσεως, εἰς ἄλλην δὲ μεταφυτεύεται πρὸς τὴν εὐχερῆ τελείωσιν, ἵνα μὴ μία πρὸς ἀμφότερα κακοπαθήσῃ· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ βρέφος ἐῤῥωμενέστερον ἂν γένοιτο γεννηθὲν μὲν ὑφ' ἑτέρας, τρεφόμενον δὲ ὑπ' ἄλλης, ἐὰν ἡ τεκνώσασα διά τι πάθος [4]ἐμποδίζηται τὴν τροφὴν ἐπιχορηγεῖν.

## ογ'. Περὶ ἐκλογῆς τιτθῆς.

Ἐκλεκτέον δὲ τὴν τιτθὴν οὔτε νεωτέραν τῶν εἴκοσιν οὔτε πρεσβυτέραν ἐτῶν μ', προκεκυηκυῖαν δὶς ἢ τρὶς, ἄνοσον, εὐεκτοῦσαν, [5]εὐμεγέθη τῷ σώματι, καὶ εὐχρου-

---

[1] Sine dubio ἄρουρα vel simile quid excidit. Lob. [2] ἀναγκάζῃ scribebatur. Lob. [3] Deest aliquid. ex Sched. ἀναφυσήσεως] scrib. ἀναφυήσεως. Lob. [4] Male ἐμποδίζεται. Lob. [5] Ita dedi pro falso εὐμεγέθει, et mox εὐχρουστέραν pro εὐχουστέρα. Lob.

στέραν, μαστοὺς ἔχουσαν συμμέτρους, χαύνους, μαλακοὺς, ἀρυσσώτους, καὶ θηλὰς μήτε μεγάλας μήτε μικροτέρας καὶ μήτε πυκνοτέρας, μήτε ἄγαν [1] συραγγώδεις καὶ ἀθροῦν [2] ἀφιείσας τὸ γάλα, σώφρονα, συμπαθῆ καὶ ἀνόργιστον, Ἑλληνίδα καθάριον. Τούτων δὲ ἕκαστον παρακειμένους ἔχει τοὺς ἐπιλογισμούς· ἀκμάζουσαν μὲν γὰρ, ὅτι αἱ νεώτεραι ἄπειροι παιδοτροφίας ὑπάρχουσι καὶ ἀμελεστέραν ἔτι καὶ παιδικὴν ἔχουσι τὴν γνώμην· πρεσβυτέραν δὲ, διὰ τὴν ἀτονίαν τοῦ σώματος ὑδαρές τε γεννῶσι τὸ γάλα· ταῖς δὲ ἀκμαζούσαις, συνευτονεῖν πᾶν φυσικὸν ἔργον· προκεκυηκυῖαν δὲ δὶς ἢ τρὶς, ὅτι αἱ [3] πρωτότοκαι μὲν ἀκμὴν παιδοτροφίας ἀγύμνασται καὶ παιδικὸν ἔτι καὶ ἀμέγεθες καὶ πυκνότερον τὸ σύγκριμα τῶν μαστῶν [4] ἔχουσι· αἱ δὲ πολλάκις μὲν ἀποκυήσασαι, πολλάκις δὲ νηπιοτροφήσασαι, ῥακωοῖσαι λεπτὸν καὶ οὐκ [5] ἀκμαῖον ἀποτελοῦσι τὸ γάλα, καὶ τρόφιμον ἐξ ὑγιεινοῦ σώματος, νοσῶδες δὲ καὶ φαῦλον ἐκ νοσεροῦ, καθάπερ καὶ τὸ διὰ τῆς γῆς φαῦλον ῥέον ὕδωρ καὶ αὐτὸ γεννᾶται φαῦλον, ταῖς ἐκ τῶν [6] εὐρυχωριῶν διαφθειρόμενον ποιότησιν· ἐνεκτοῦσαν δὲ, τουτέστιν εὔσαρκόν τε καὶ ῥωμαλέαν, καὶ τοῦ αὐτοῦ μὲν χάριν, ἤδη δὲ καὶ μὴ εἰς τὸ ῥαδίως τὰς ὑπηρεσίας καὶ τὰς νυκτερινὰς φροντίδας ἐξασθενεῖν· διὰ τοῦτο δὲ καὶ τὸ γάλα μεταβάλλειν ἐπὶ τὸ χεῖρον· εὐμεγέθη δὲ τῷ σώματι· τροφιμώτερον γὰρ τῶν ἄλλων ἐπίσης ἐχόντων τὸ ἀπὸ μεγάλων σωμάτων γάλα· [7] εὐχρουστέραν δὲ· [8] μείζων γὰρ

---

[1] Scrib. σηραγγώδεις. Lob. [2] Certe ita scribendum pro ἀφίσας, ut P. praebet. Lob. [3] Scrib. πρωτοτόκοι et statim ἀγύμναστοι. Lob. [4] Pro ἔχουσα necessarium videbatur ἔχουσι. Lob. [5] Sine dubio ἀκμαῖον pro ἀκμέον, ut P., recte scripsi. Lob. [6] Mendose εὐρυχωρίων legebatur. Lob. [7] Sic posui e prioribus pro εὐρωστέραν. Lob. [8] Male μείζονα. Lob.

ἐπὶ τῶν τοιούτων αἰτία, ἐπὶ τοὺς μασθοὺς ἀναφέρειν τὴν ὕλην, ὥςτε πλεῖον τὸ γάλα γίνεσθαι· μαστοὺς δὲ [1]ἔχουσαν συμμέτρους· οἱ μικροὶ μὲν γὰρ ὀλίγον ἔχουσι τὸ γάλα, οἱ ὑπέρογκοι δὲ καὶ περιττότερον τοῦ δέοντος, ὥςτε μετὰ τὴν τιτθείαν, εἰ μὲν ὑπομένοι τὸ πλεῖον, μηκέτι νεαρὸν αὐτὸ πρὸς τοῦ βρέφους ἑλκυσθήσεσθαι, [2]τόπῳ δέ τινι προδιεφθαρμένον· εἰ δὲ πᾶν ἀποθηλάζοιτο δἰ ἄλλων παιδίων [3]ἢ καὶ ἑτέρων ζώων, καταλυθήσεσθαι [4]γαλουθοῦσαν· εἶθ' οἱ μείζονες καὶ βαροῦσιν ἐπιπίπτοντες τοῖς τρεφομένοις· ἄλλως τε τινὲς ὑπολαμβάνουσιν [5]...... ὀλιγότερον πολλάκις ἔχειν τὸ γάλα πρὸς τὴν αὔξησιν τῆς σαρκὸς αὐτῶν δαπανωμένης τῆς εἰς αὐτοὺς φερομένης τροφῆς, καὶ οὐκ εἰς τὸ πλῆθος τοῦ γάλακτος· χαύνους δὲ καὶ μαλακοὺς καὶ [6]ἀῤῥυσώτους, καὶ μήτε φανεροῖς καταπεπλεγμένοις τοῖς ἀγγείοις, μήτε θρομβώδεις συστάσεις ἐνεωρουμένας ἔχοντες· οἱ πυκνοὶ μὲν γὰρ καὶ σκληροὶ καὶ καταπεπλεγμένοι τοῖς [7]αἰτίοις ὀλίγον τὸ γάλα ποιοῦσιν· οἱ ῥυσοὶ δὲ καὶ ῥακώδεις, ὥςπερ ἐν τοῖς [8]γραώδεσι καὶ ἀραιοῖς συγκρίμασιν, ὑδαρεῖς· οἱ δὲ θρομβώδεις συστάσεις ἔχοντες, παχὺ καὶ ὑπανώμαλον· τὰς δὲ θηλὰς μήτε μεγάλας μήτε μικράς· αἱ μεγάλαι μὲν θρομβοῦσι τὰ [9]οὖλα καὶ τῇ καταπόσει κωλύουσι συνεργεῖν τὴν γλῶσσαν· αἱ μικραὶ δὲ [10]δύςληπτοι τυγχάνουσιν καὶ κατ' ὀλίγον ἐκροφοῦσι τὸ γάλα· διὸ κακοπαθοῦντα τὰ βρέφη πρὸς τὰς ἐκμυζήσεις ταῖς λεγομέναις ἄφθαις εἴωθεν περιπίπτειν· μήτε πυκνοτέρας μήτε σηραγγώδεις ἄγαν καὶ ἀθρόον τὸ γάλα προϊε-

---

[1]ἔχουσα erat. Lob. [2]τρόπῳ ex Sched. [3]Pro εἰ posui ἢ. Lob. [4]Fort. γαλουχοῦσαν. Lob. [5]Lacunae nota. ἔχειν] ἔχου P. ἔχειν ex Sched. [6]Erat ἀρυσώτους. Scrib. mox καταπεπλεγμένους et infra ἔχοντας. Lob. [7]Fort. σιτίοις. Postea pro ῥυσσοὶ posui ῥυσοὶ. Lob. [8]Mendose legeb. γρεώδεσι καὶ ἀρτοῖς συγκοίμασιν ὑδαρὲς. Lob. [9]Ita correxi pro οὔλη. Lob. [10]δυςμήληπτοι P. δύςληπτοι ex Sched.

μένας· [1]γενοποροῖ μὲν γὰρ οὐ ῥᾳδίως ἄνευ τοῦ θλίβεσθαι τὸ γάλα προΐᾶσιν, ὥστε κακοπαθεῖν ἐν ταῖς ἐκμυζήσεσιν τὰ βρέφη, μὴ ἐπιχορηγουμένου τοσούτου γάλακτος, ὅσον ἐσπούδακεν· ἐπισπάσασθαι δὲ ἄγαν σηραγγώδεις, κίνδυνον ἐπάγουσι πνιγμοῦ, πρὸς γὰρ τὴν ἐκμύζησιν ἀθροῦν ἐπιφέρεται τῷ στόματι τὸ γάλα· σώφρονα δὲ πρὸς τὸ συνουσίας ἀπέχεσθαι καὶ μέθης καὶ λαγνείας καὶ τῆς ἄλλης ἡδονῆς καὶ ἀκρασίας· αἱ συνουσίαι μὲν γὰρ [2]μετὰ τοῦ τὴν προστρεφόμενον φιλοστοργίαν ἀποψύχειν περισπασμῷ τῆς ἐκ τῶν ἀφροδισίων ἡδονῆς ἔτι καὶ [3]φθειρούση τὸ γάλα καὶ μειοῦσιν ἢ τελείως ἀφανίζουσιν, τὰς διὰ τῆς μήτρας ἐρεθίζουσαι καθάρσεις, ἢ συλλήψεις ἀποτελοῦσαι· διὰ δὲ τὰς μέθας πρῶτον μὲν ἡ γαλουχοῦσα βλάπτεται καὶ τῇ ψυχῇ καὶ τῷ σώματι· διὰ τοῦτο δὲ καὶ τὸ γάλα διαφθείρει· δεύτερον δὲ, ὕπνῳ [4]δυςδιετέρῳ [5]κατεχομένη καταλείπει τὸ βρέφος ἀνεπιμέλητον, ἢ καὶ κινδυνῶδες ἐπ' αὐτῷ καταπίπτει· τρίτον ἡ τοῦ πλείονος οἴνου ποιότης, [6]συναναδίδοται τῷ γάλακτι καὶ διὰ τοῦτο νωθρὰ καὶ καρώδη· ποτὲ δὲ καὶ ἔντρομα καὶ ἀπόπληκτα καὶ σπασμώδη τὰ τρεφόμενα γίνονται βρέφη· καθάπερ συὸς τρύγα προσενεγκαμένης καροῦται καὶ σκοτοῦται τὰ γαλουχούμενα· συμπαθῆ δὲ καὶ [7]φιλόστοργον, ἵνα καὶ τὰ τῆς ὑπηρεσίας ἀόκνως παρέχῃ καὶ [8]ἀγογγύστως· ἔνιαι γὰρ [9]οὕτως ἔχουσιν ἀπαθῶς πρὸς τὸ γαλουχούμενον, ὥςτε μηδὲ ἐπὶ πολὺ κλαυθμυρίζοντος αὐτοῦ ποιήσασθαι πρόνοιαν· ἀλλὰ μηδὲ σχηματίσαι τὸ κοινὸν· ἐᾶσαι δὲ ἐφ' ἑνὸς σχήματος, ὡς πολλάκις διὰ

---

[1] Sic! ex Sched. [2] Fort. μετὰ τοῦ τὴν πρὸς τὸ τρεφόμενον φιλοστοργίαν ἀποψ. Lob. [3] Scrib. φθείρουσι. Lob. [4] Fort. probatur δυςδιεγέρτῳ. Lob. [5] κατεχομένη καταλείπει requirebatur pro κατεχομένῳ καταλίπει. Lob. [6] συναδίδοται P. συναναδίδοται ex Sched. [7] Pro φιλόστοργα scripsi φιλόστοργον. Lob. [8] ἀοργίστως ex Sched. [9] οὐ ταῖς P. οὕτως ex Sched.

τὴν θλίψιν προκακοπαθοῦν, [1]ναρκᾷ τε καὶ φαύλως διατίθησι τὸ νευρῶδες· ἀόργιστον δὲ, ὅτι φύσει συνεξομοιοῦται τὰ τρεφόμενα ταῖς τρεφούσαις, καὶ διὰ τοῦτο βαρύθυμα μὲν ἐξ ὀργίλων, ἐπιεικῆ δὲ ἐκ μετρίων γίνεται· καὶ ἄλλως μανιώδεις εἰσὶν αἱ θυμούμεναι, καὶ φόβῳ [2]κλαυθμυρίζον ποτὲ τὸ βρέφος, ἐπισχεῖν μὴ δυνάμεναι, ῥιπτοῦσιν ἐκ τῶν χειρῶν, ἢ καταστρέφουσιν ἐπικινδύνως. διόπερ οὐ δεισιδαίμονα δὲ καὶ θεοφόρητον εἶναι τὴν γαλοῦχον, ἵνα μὴ παραλογισθεῖσά ποτε καὶ μανιωδῶς σαλευθεῖσα, κινδύνῳ τὸ βρέφος περιβάλῃ· καθάριον δὲ δεῖ εἶναι τὴν τιτθὴν, ἵνα μὴ διὰ τὴν τῶν σπαργάνων ὀσμὴν ὁ στόμαχος ἐκλύηται τῶν νηπίων· [3]ἀγρυπνεῖται διὰ τοὺς ὀδαξισμοὺς ἢ τὴν ὑστεροέλκωσιν ὑπομένει· Ἑλληνίδα δὲ, χάριν τοῦ τῇ καλλίστῃ διαλέκτῳ ἐθισθῆναι τὸ τρεφόμενον ὑπ' αὐτῆς. Εχέτω δὲ κατὰ τὸ πλεῖστον δυοῖν ἢ τριῶν μηνῶν γάλα· τὸ μὲν γὰρ πρόςφατον, ἄγαν ὡς ἐλέγομεν παχυμερέστερον καὶ δυςδιοίκητον· τὸ δὲ παλαιὸν, ἄτροφον καὶ λεπτὸν. Ἔνιοι δέ φασιν, ὅτι δεῖ τὴν ἄῤῥεν μέλλουσαν τρέφειν, ἄῤῥεν τετοκέναι· τὴν δὲ θῆλυ, [4]πάλιν θηλύοις, οὐ προςεκτέον· οὐ γὰρ θεωροῦσιν, ὅτι δι' ἑνὸς καὶ τοῦ αὐτοῦ γάλακτος αἱ τὰ δίδυμα τεκοῦσαι τρέφουσιν, καὶ τὸ μὲν αὐτῶν ἄῤῥεν, τὸ δὲ θῆλυ· κοινῶς δὲ καὶ πᾶν γένος ζώων τῇ αὐτῇ τροφῇ χρῆται, καὶ τὸ ἄῤῥεν καὶ τὸ θῆλυ· καὶ διὰ τοῦτο πάντως ἢ τὸ ἄῤῥεν γίνεται θηλύτερον, ἢ τὸ θῆλυ ἀῤῥενικώτερον. Δεῖ δὲ τοῖς ἀσφαλῶς καὶ εὐτυχῶς τραφησομένοις παιδίοις πλείονας [5]παρεσκευάσθαι γαλουχούς· ἐπισφαλὲς γὰρ τὸ πρὸς μίαν τρεφόμενον, [6]συνηθεῖσθαι καὶ νοσῆσαι δυναμένης αὐτῆς καὶ ἀποθανεῖν, ὁπηνίκα τῇ ἀλλαγῇ τοῦ

---

[1] ναρκῶν erat Lob. [2] Male κλαυθμηρίζον. Lob. [3] ἀγρυπνεῖ τε ex Sched. [4] Fort. πάλιν θῆλυ, οἷς οὐ προςεκτέον. Lob. [5] Ita scripsi pro παρασκευάσθαι. Lob. [6] συνησθενῆσθαι ex Sched. Scrib. συνειθίσθαι. Lob.

γάλακτος ποτὲ μὲν ξενοπαθοῦν λυπεῖται τὸ νήπιον, ποτὲ δὲ καὶ παντελῶς ἀποστρεφόμενον, λιμῷ διαφθείρεται.

### οζ. Περὶ δοκιμασίας γάλακτος.

Δεῖ δὲ καὶ αὐτὸ προσεχέστερον τὸ γάλα κρίνειν, ὅπως ἄριστον [1] ᾖ· δοκιμάζεται δὲ πρῶτον μὲν ἐκ τοῦ τὴν τιτθὴν τοιαύτην ὑπάρχειν, οἵαν τὴν ἀρίστην ὑπεδείξαμεν· δεύτερον, ἐκ τοῦ τὸ ὑπὸ ταύτης τρεφόμενον παιδίον εὐεκτικὸν ὑπάρχειν. Οὐ μὴν ἔτι σημεῖόν ἐστι τοῦ ἐπιτηδείου γάλακτος, τὸ [2] εὐεκτικὸν ἐξ αὐτοῦ τρεφόμενον παιδίον· διὰ τοῦτο καὶ τοὐναντίον τοῦ φαύλου σημεῖον ἂν γένοιτο, καθάπερ ὑπολάβοι τις τὸ [3] ἀτρόφητον παιδίον· ἐνδέχεται δὲ τὸ γάλα μὲν ἐπιτήδειον εἶναι, τὸ δὲ παιδίον ὑπό τινος νοσήματος ἐμποδίζεσθαι πρὸς τὴν εὐεκτικὴν θρέψιν· καὶ γὰρ τῶν τελείων οἱ νοσοῦντες ἀτροφοῦσιν, καὶ τῆς ἀρίστης τροφῆς μεταλαμβάνοντος τοῦ σώματος φθείροντες τὸ θρέψαι δυνάμενον· καθάπερ καὶ τὰ ὀξηρὰ τῶν ἀγγείων ἀφανίζει καὶ τὸν ἐγχεόμενον οἶνον εἰς αὐτὰ κἂν ἄριστος ᾖ· τρίτον ἐκ τῶν συμβεβηκότων τῷ [4] γάλακτι, χρόας, ὀσμῆς, συστάσεως, πήξεως, τῆς πρὸς γεῦσιν ποιότητος, τῆς ἐν χρόνῳ δυςμεταβλησίας· χρόας μὲν, εἰ λευκόν ἐστι συμμέτρως· τὸ μὲν γὰρ πελιδνὸν ἢ ὑπόχλωρον ἔφθαρται, τὸ δὲ γυψῶδες, παχὺ καὶ δυςοικονόμητον· τὸ δὲ ξανθὸν ἄπεπτον καὶ ἀκατέργαστον, καὶ διὰ τοῦτο τὴν αἱματώδη χρόαν ἐμφαίνει. Ὀσμῆς δὲ χάριν· οὐ γὰρ δεῖ δυςῶδες ἢ βρομῶδες ἢ τρυγῶδες [5] ὀξίζον· πᾶν γὰρ τὸ τοιοῦτον κακόχυμον. Συστάσεως δὲ, λεῖον καὶ ὁμαλὸν καὶ συνεχὲς ἑαυτῷ· τὸ γὰρ ἰνῶδες καὶ διαφύσεις [6] ἔχον ἐρυθρὰς ἢ σαρκοειδεῖς ἄπεπτον·

---

[1] εἴ P. ᾖ ex Sched. [2] εὐέκτιτον P. εὐέκτητον ex Sched. Dedi εὐεκτικὸν. Lob. [3] ἀτρόφιτον P. ἀτρόφητον ex Sched. [4] γάλακι praebebatur. Lob. [5] Ita oportebat pro ὀξίζων, post quod εἶναι desideratur. Lob. [6] ἔχων, ut P., correxi. Lob.

πήξεως δὲ καὶ παχύτητος, εἰ μετριοπαγές· τὸ μὲν γὰρ ὑγρὸν καὶ λεπτότερον καὶ ὑδαρὲς, ἄτροφον καὶ κοιλίας ἐκταρακτικόν· τὸ δὲ παχὺ καὶ [1] ταγῶδες, δυςκατέργαστον, καὶ ὅμοιον τοῖς ἀδρότερον μεμασημένοις σιτίοις· ἀποφράττει τοὺς πόρους καὶ τὰς κυριωτάτας τοῦ σώματος κατέχον διαπνοὰς, τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπάγει· τὸ δὲ ἀνώμαλον καὶ τὴν ὡς λεπτοῦ καὶ τὴν ὡς παχέος κατασκευάζει βλάβην. Γνωρισθήσεται τὸ μετριοπαγὲς διὰ τοῦ ἐπισταγὲν αὐτο ὄνυχι ἢ φύλλῳ δάφνης ἢ ἄλλῳ τινὶ παραπλησίως λείῳ, πράως πλατυνθῆναι, καὶ ὥςπερ ἐν τῷ αὐτῷ σαλευόμενον μεῖναι σχήματι· τὸ μὲν εὐθέως ἀποῤῥέον, ὑδαρές· τὸ δὲ μελιτοειδῶς συστραφὲν κείμενον, ἀκίνητον [2] παχύ· τὸ [3] αὐτὸ δὲ καταλαμβάνεται καὶ ἐκ τοῦ κατὰ διπλασίονος ὕδατος ἐπιστάξαι τὸ γάλα καὶ πρὸς ὀλίγον αὐτὸ διαμεῖναν, ὕστερον διαλυθῆναι· λευκὸν δὲ [4] ὡς ἔσχατον διαφυλαχθέν· τὸ μὲν γὰρ εὐθέως διαλυόμενον ὑδαρές· φαῦλον δὲ μᾶλλον, εἰ καὶ εἰς ἰνώδεις καταλύοιτο κοτυληδόνας, οἱονεὶ ἀπόπλυμα κρεῶν· τοῦτο δὲ καὶ ἄπεπτον. Τὸ δὲ μέχρι πλείονος χρόνου μὴ σκορπιζόμενον καὶ [5] ὑφιζάμενον, ὥςτε τοῦ ὕδατος ἀποχυθέντος εὑρεθῆναι περὶ τῷ πυθμένι, τυρῶδες, παχὺ καὶ δυςδιάλυτον· διὰ δὲ τῆς πρὸς τὴν γεῦσιν ποιότητος, εἰ γλυκὺ καὶ στομῶδες· τὸ γὰρ ὑπόδριμυ ἢ ὀξίζον ἢ πικρὸν ἢ ἁλμυρίζον ἢ στρυφνὸν, καὶ ἐν τῷ ἐπιστάζεσθαι τοῖς ὀφθαλμοῖς δριμύτητός τινος παρέχον ἔμφασιν, μοχθηρόν. Διὰ δὲ τῆς ἐν χρόνῳ δυςμεταβλησίας ἄριστον τὸ μὴ ἀποξυνόμενον ἐν τῷ τίθεσθαι ταχέως, μηδὲ ποιοῦν ὀρὸν ἢ παντελῶς ὀλίγον· νόστιμον γὰρ τὸ τοιοῦτον· τὸ δὲ ἀποξυνόμενον ἐν τῷ τίθεσθαι εὐχερῶς, καὶ πολὺν

[1] τρυγῶδες scribendum. ὡς παχέος] Male legeb. ὡς παχέως. Lob.
[2] παχὺν P. παχὺ ex Sched. [3] Male αὐτῷ. Lob. [4] εἰς ex Sched.
[5] Scrib. aut ὑφιζόμενον aut ὑφιζανόμενον. Lob.

ἐργαζόμενον ὀρὸν, ἄνοστον· φαῦλον δὲ καὶ τὸ ἀφρῶδες· [1]πνεύματι γὰρ καὶ τὸ ἔπαφρον τοῦ ὑγροῦ, καὶ εἰς πομφόλυγας διογκούμενον κατὰ παράθεσιν γίνεται. Πνεύματος πλείονος, ἔσθ' ὅτε δὲ καὶ [2]παχύτητος τοῦτο τεκμήριον· διορισθήσεται δὲ ἐκ τοῦ τὰς ἐπιγινομένας πομφόλυγας ἐπιμένειν ἄχρι πλείονος, ὡς ἂν τοῦ πνεύματος κωλυομένου συντόμως διαπνεῖσθαι διὰ τὴν παχύτητα τοῦ γάλακτος.

### οέ. Πῶς διαιτητέον τὴν [3]τροφήν.

[4]Ζητεῖσθαι δὲ καὶ πότε δεῖ τὸ γάλα δοκιμάζειν· οἱ πλείους μέν φασιν, ὅτι εἰ μηδὲν τὰ περὶ τὴν δίαιταν ἡμάρτηται τῆς τιτθῆς, εὐπέπτηκε δὲ καὶ ὕπνωκεν αὐτάρκως, καὶ ἀποτέτριπται τὸ [5]περίσσευμα, νῆστις δὲ ἀκμήν ἐστιν, μηδὲν [6]φαρμάκῳ δὲ συνειληφυῖα· τὸ γὰρ φύσει καλὸν γάλα διὰ τὴν προςάγουσαν κακοδιαιτησίαν λοξίφαυλον εἶναι μεταβαλὸν πρὸς ὀλίγον, ὡς καὶ τὸ πνεῦμα τῶν ἀπέπτων δυςῶδες γίνεται προςκαίρως οὐκ ἐνδιαθέτως· τινὲς δὲ τοὐναντίον μετὰ κακοδιαιτησίαν· τὸ γὰρ μηδὲν πρὸς τὰ φαῦλα [7]αὐτὰ τρέπειν δυνάμενα διαφθειρόμενον, ἄριστον. Ἡμεῖς δὲ ἀμφοτέραις ταῖς διαίταις τὸ γάλα κρίνομεν· τὸ γὰρ ἐπὶ μηδεμιᾷ διαίτῃ φθειρόμενον, ἄριστον· τὸ δὲ μηδ' ἐν τῇ ὑγιεινῇ τὰς κακίας ἀποβάλλον, φαυλότατον· τὸ δὲ καταλλήλως τῇ διαίτῃ τρεπόμενον, μέσον, ὅθεν καὶ πρὸς τὸ ἄριστον αὐτὸ παραμένειν. Οὐ παρέργως δὲ δεῖ προνενοηκέναι τῆς τιτθῆς, ἵνα μήτε φθειρομένου τοῦ γάλακτος νοσηλεύηται τὸ βρέφος, μηδ' ἐνδεοῦς γενομένου ἀτροφήσῃ τὸ

[1] Fort. πνευματοῖ. Lob. [2] Ita pro παχύτατος restitui. Lob. [3] τροφόν ex Sched. [4] ζητεῖτε P. ζητεῖται ex Sched. Scripsi ζητεῖσθαι. Lob. [5] Erat περίσευμα et νήστεις. Lob. [6] Haereo, an scribendum sit φαρμακῶδες. Lob. [7] αὐτὸ ex Sched.

νήπιον καὶ [1]κακωθῇ τὴν κατάποσιν, [2]ἕλκωμεν τὴν θηλὴν ἐπὶ πλείονα χρόνον, οὐχ εὑρίσκον ἐκπληρῶσαι τὴν ὄρεξιν. Ἁρμόζει τοίνυν τὴν μὲν ἀργίαν καὶ τὴν ἀκινησίαν τοῦ σώματος φεύγειν· παχὺ γὰρ ὑπ' αὐτῆς καὶ δυσδιοίκητον τὸ γάλα γίνεται· χρῆσθαι δὲ καὶ γυμνασίοις, οὔτε τοῖς βαρυτέροις καὶ ἀθλητικοῖς· ἐπιπονώτερα δὲ ἢ κατὰ γυναῖκάς ἐστι ταῦτα· καὶ τῆς ὕλης περιελκομένης εἰς τὴν εὐεκτικὴν τοῦ σώματος θρέψιν, ἔλαττον ἀεὶ τὸ γάλα γίνεται· τοῖς δὲ μετρίοις τε καὶ κούφοις. Διόπερ τὸ μὲν πρῶτον ἀπὸ τῶν ὕπνων ἐγειρομένη τῆς κοίτης μὴ παραυτίκα ἐξανιστάσθω, πρὶν τῆς τροφῆς αἴσθηται διοικουμένης, καὶ τοῦ μὲν ὑποχονδρίου κούφου, τῆς γαστρὸς δὲ λαγαρᾶς καὶ τῶν ἐρυγῶν διακένων, καὶ μήτε καπνωδῶν μήτε ὀξωδῶν· εἶτα περὶ τὴν διάτριψιν ἀσχοληθεῖσα τῶν [3]περισσευμάτων, ἐπὶ περίπατον ἐξίτω· μετὰ δὲ ταῦτα καὶ [4]τὴν δι' ὑποζυγίων ἑώρα· ἐπιτηδευέτω δὲ καὶ τοῖς γυμνασίοις ἐκείνοις διαπονεῖν τὸν ὄγκον, οἷς δύναται μὲν σαλευθῆναι παντά τὰ μέρη, ἐπὶ πλείονα δὲ τὰ περὶ τὰς χεῖρας καὶ τοὺς ὤμους, ἕνεκα τοῦ τὴν τροφὴν ἐκεῖ φέρεσθαι μᾶλλον. Ἐκ δὲ [5]τοῦ ἐστιν ἥ,τε διὰ σφαίρας [6]πέγνια καὶ μάλιστα τῆς διακένου καὶ διὰ τῶν κούφων ἁλτηρῶν [7]βολῇ· ταῖς δὲ πενιχροτέραις, τὸ ἐρέσσειν ἢ καὶ ἀνιμᾷν κάδον [8]καταπεσεῖν καὶ ἀλήθειν, καὶ σιτοποιεῖν καὶ στρωννύναι κοίτην, καὶ ὅσα κατ' ἐπίκυψιν [9]ποσὴν ἐπιτελεῖται τοῦ σώματος. Τά τε γὰρ ἄνω μέρη γυμνάζεται μᾶλλον, καὶ ἀπαιωρούμενοι μέχρι πλείονος οἱ μαστοὶ, [10]τοῦ μήτε αὐτοὺς μένειν ἀργούς· νοστιμώ-

---

[1]Mendose κακοθῇ inveniebatur. Lob. [2]Fort. ἕλκον μὲν pro ἕλκωμεν sententiam explet. Lob. [3]περισευμάτων P. Dedi, ut supra. Lob. [4]τὴν—ἑώρα·] Sic! ex Sched. [5]τούτων ex Sched. [6]Fort. παιγνιὰ. Lob. [7]Scrib. βολὴ. Lob. [8]Pro καταπεσεῖν leg. ἢ καταπέσσειν. ex Sched. [9]Ita scripsi pro ποσὶν. Lob. [10]χάριν suppl. ex Sched.

τερον γὰρ καὶ πλεῖον ἀποτελοῦσι τὸ γάλα, τῆς ὕλης ἐπ' αὐτοὺς ἀφθόνως φερομένης. Διὸ καὶ λελυμένους αὐτοὺς ἀεὶ μὲν ἔχειν συμφέρει, πρὸς τὸ μὴ διὰ τῆς περιειλήσεως ἀνακοπὴν γενέσθαι τοῦ γάλακτος. Μάλιστα δὲ περὶ [1]τὸν καιρὸν τῶν γυμνασίων, ἕνεκα τοῦ συγκινηθῆναι ὅλοις τοῖς σώμασιν· μετὰ δὲ τὰ γυμνάσια, ταῖς μὲν πλείοσιν ἡμέραις ἐπὶ μόνου μένειν τοῦ ἀλείμματος· τὰ λουτρὰ γὰρ ἐξυδατοῖ τὸ γάλα· ἐκ διαστήματος δὲ καὶ λουσάσθω, μὴ τῷ θερμῷ μόνον, ἀλλὰ καὶ τῷ ψυχρῷ μετὰ τοῦ θερμοῦ. [2]Ἐν δὲ τῇ τροφῇ τὰς μὲν κακοχύμους καὶ ἀτρόφους καὶ δυςπέπτους παραιτεῖσθαι, τὰς εὐχύμους δὲ καὶ τροφίμους καὶ εὐοικονομήτους παραλαμβάνειν· κατ' εἶδος δὲ παραιτεῖσθαι πράσα καὶ τὰ κρόμυα, σκόροδα, ταρίχους, ῥαφάνους, ὅσπρια καὶ πάντα τὰ ταριχευτά· δριμὺ γὰρ ποιεῖ τὸ γάλα· καὶ τὰ πλείονα τῶν λαχάνων· ἄτροφα γάρ ἐστι καὶ ὑδαρῆ· κρέα τε προβάτεια, καὶ [3]βόεια, μάλιστα δὲ τούτων ὀπτὰ, κακοστόμαχα καὶ δυςδιοίκητα καὶ κακόχυλα ταῦτα πρὸς γάλακτος ἀπόδοσιν ἐκτενοῦς. [4]Λαμβάνειν δὲ καθαρὸν ἄρτον πεπονημένον τε καὶ [5]ζυμίτην ἀπὸ σιτανίων γεγονότα πυρῶν, [6]ὠλιθάτους, ἐγκέφαλον κιχλῶν, νεοσσοὺς περιστερῶν καὶ τῶν κατοικιδίων ὀρνίθων, [7]ἰχθῦς τε πετραίους, λάβρακας, τρίγλας, καὶ κοινῶς τοὺς εὐστόμους τε καὶ εὐστομάχους καὶ εὐχύμους καὶ τὰ τῶν νεωτέρων χοίρων κρέα. [8]Φεύγειν δὲ πᾶν τὸ [9]πολυάρτυτον καὶ κεκαρυκευμένον· [10]κολακεῦον γὰρ ἐπὶ πολὺ τὴν γεῦσιν, ἀπεψίας παρα-

---

[1] Legebas τῶν καιρῶν. Lob. [2] Titulus: Περὶ τροφῆς τιτθῆς. in margine P. legitur. [3] βόϊα inveniebas. Lob. [4] εὔχυμα titulus in marg. ex Sched. [5] Ita sine dubio scribendum erat pro ζυμήτην. Lob. [6] Sic! ex Sched. [7] Mendose legeb. ἰχθὺς τε πετρέους. Lob. [8] ἀπὲ ταῦτ titulus in marg. ex Sched. [9] Sic dedi pro πολυάρτιτον et κεκαρικευμένον, quod erat. Lob. [10] Scribebatur κολακεύων. Lob.

σκευάζει, δι' ἃς [1]φαρμάσσεται τὸ γάλα τοῖς ἐν τῷ σώματι παραπλησίως. Διὸ καὶ τῆς συμμετρίας τῶν λαμβανομένων στοχάζεσθαι χρὴ, ἵνα μὴ διὰ τὸ πλῆθος ἀπεψία γένηται, ληφθῇ δὲ ὅσα ῥαδίως πεμφθήσεται, καὶ μάλιστα [2]εἰ διὰ τὴν τοῦ βρέφους ἐπιμέλειαν καὶ ἀγρυπνίαι παρεμπίπτουσιν· [3]ὡρισμένοις δὲ δεῖ καὶ ταῖς εἰρημέναις τροφαῖς χρῆσθαι τὴν γαλουχοῦσαν. [4]Λαμβανέτω δὲ ταῖς πρώταις ἡμέραις ἑπτὰ, καὶ κατὰ τὸ πλεῖστον δὲ ἀεὶ τὴν ἁπλῆν καὶ εὐοικονόμητον τροφὴν οἷον ῥόφημα πολὺ [5]τὸ λιπαρώτερον, καὶ ὠὰ καὶ ἄρτον καὶ ποτὸν ὕδωρ· εἰ δυνατὸν δὲ, καὶ πρὸ μιᾶς τοῦτο διδόναι· λεπτότερον γὰρ ἐκ τούτου καὶ εὐκατεργαστότερον τὸ γάλα γίνεται· τοιοῦτον γὰρ τὸ βρέφος χρήζει βρυῶδες ἔτι τυγχάνον καὶ στενόπορον, ὥςτε δυςδιόδευτον εἶναι πρὸς τὸ παχύτερον ἀκμὴν γάλα. [6]Μετὰ δὲ τὴν πρώτην ἑβδομάδα καὶ ἰχθύδιον τρυφερὸν σὺν τοῖς εἰρημένοις, ἢ νέων χοίρων σάρκας ἢ κεφάλους ἕως δευτέρας καὶ τρίτης ἑβδομάδος, ὥςτε τροφιμώτερον τὸ γάλα γίνεσθαι. Μετὰ δὲ τὴν δευτέραν ἢ τρίτην ἑβδομάδα τουτέσται πηγνυμένου τοῦ νηπίου καὶ δεκτικοῦ γινομένου τροφιμωτέρας ὕλης, κἀκ τῶν μέσων λαμβανέτω τι πτηνῶν. Εἶθ' οὕτως πρὸς λόγον [7]τῆς τοῦ βρέφους τονώσεως καὶ αὐξήσεως καὶ τῶν μειζόνων· εἶτα καὶ κρέας λάγειον ἢ [8]δορκάδειον ἢ ἐρίφειον· μετὰ δὲ ταῦτα καὶ χοίρειον· τὸ γὰρ ἐκ τῆς εὐτροφωτέρας ὕλης γάλα, τροφιμώτερον· ὕστερον δὲ ποικίλοις χρήσθω σιτίοις, ἵνα καὶ τὸ βρέφος ἐθίζῃ πρὸς τὴν ποικιλίαν τῶν [9]δυναμένων. Συναναφέρονται γὰρ

---

[1] Inveniebas φαρμάσεσθαι. Lob. [2] εἴν P. εἰ ex Sched. [3] ὡρισμένως ex Sched. [4] ὁπόταν γεννηθ ἕως ή σσ in marg. ex Sched. [5] Male τὸν. Lob. [6] μετὰ τὰς ζ' in marg. ex Sched. [7] τοῖς legeb. Lob. [8] Inepte δορκάδιον Lob. [9] Fort. scrib. δυνάμεων. Lob.

αἱ ποιότητες τῶν λαμβανομένων τι σὺν τῷ γάλακτι, διὸ καὶ τὸ μὲν τῶν αἰγῶν [1]εὐστομώτερον ἔση καὶ παραστῦφον, [2]ἐπὶ τοιαύταις πόαις χαίρουσιν αἱ αἶγες τρεφόμεναι· τὸ δὲ τῶν προβάτων ἀστομώτερον καὶ γλυκὺ ὂν, ὅτι τοιαύτη καὶ ἡ τροφὴ τῶν προβάτων· τὸ δὲ ποτὸν ὕδωρ ἄχρι μὲν [3]σαράντα ἡμερῶν λαμβανέτω τὸ ἐλάχιστον· τὸ δ' ἐντεῦθεν οἰνομέλιτος μίαν καὶ δευτέραν ἡμέραν πόσιν [4]Διευτονήσαντος δὲ τοῦ βρέφους καὶ παγέντος καὶ μετὰ εὐτροφίας εὐχροήσαντος, οἰνάριον πινέτω λευκὸν διαυγὲς, ἀθάλασσον μετρίως ὑπαύστηρον, μέσον δὲ κατὰ τοὺς χρόνους, ἀλλ' ἅπαξ δὲ κατὰ τὸ πρῶτον καὶ διά τινων ἡμερῶν, εἶτα καὶ παρὰ δύο καὶ παρὰ μίαν, μετὰ δὲ ταῦτα καὶ καθ' ἡμέραν, καὶ οὐ μόνον ἅπαξ, ἀλλὰ ιαὶ δίς· εἶτα καὶ ὅσον ἱκανὸν παρηγορῆσαι τὸ δίψος· [5]οὕτω γὰρ ἀβλαβῶς τὸ βρέφος ὑπὸ τοῦ πεπιωμένου τῷ οἴνῳ τραφήσεται γάλακτος, ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀβλαβῶς τὴν δύναμιν ταύτην φέρει οὐ πεφυκὼς, μὴ διαφορήσει τις. Πῶς οὖν [6]ἅπασαι ὕστερον ὑπάρχον πρὸ τῆς ἀποτέξεως ἔφερε τὰς εἰρημένας ποιότητας τῆς μητρὸς αὐτοῦ, καὶ οἶνον καὶ ποικίλην τροφὴν προςφερομένης; πρὸς ὃν λεκτέον, ὅτι ταῖς τῆς μητρὸς δυνάμεσι τότε διοικούμενον, ὡςπερεί μέρος, οὐκ ἔκαμνεν· μετὰ δὲ τὴν ἀπότεξιν, ἰδίᾳ χρησάμενον [7]ὑποστάσει καὶ [8]ἀσθενεῖς ἔτι τὰς ἐνεργείας ἔχον, εὐμαρῶς ἐπὶ τὸ πληκτικώτερον πάσχει· καθ' ὃν τρόπον καὶ τὰ φυτὰ προςηνωμένα μὲν ἔτι τοῖς μεγάλοις δένδρεσι καὶ τῇ τούτων συνδιοικουμενα στερεότητι, καρποφορεῖ τε καὶ ἀνέμων ἐμβολὰς

[1] Fort. εὐστομώτερόν ἐστι. Lob. [2] Fort. ἐπεὶ Lob. [3] Τὸ ποτὸν ἕως μ' ὕδωρ.} in marg. ex Sched. [4] Legebatur διευτονώσαντος et mox εὐχρόσαντος. Lob. [5] Fort. οὕτω — ὑπὸ τοῦ πεποιωμένου — φέρειν οὐ πεφυκός. Μὴ διαπορήσει τις, πῶς οὖν — προςφερομένης, πρὸς ὃν etc. Lob. [6] ἅπαν ἐν ὑστέρᾳ ex Sched. [7] ὑποτάσει P. ὑποστάσει. Lob. [8] ἀσθενὴς B. ἀσθενεῖς ex Sched.

ὑποφέρει, χωρισθέντα δὲ καὶ πρὸς ἰδίαν ὑπόστασιν φυτευθέντα ῥαδίως ἐξ [1] ὀλίγης βλάπτεται.. Οὐκ ἐκ τοῦ τοίνυν μὴ ἀδικεῖσθαι τὴν γαλουχὸν ἐξ οἴνου νῦν νομιστέον, μηδέ τὸ βρέφος κακωθήσεσθαι· διαλογιστέον δὲ, ὅτι τῆς κατὰ [2] τοῦ συστάσεως εὐτονώτερον ὁ οἶνος· ἔνθεν τὰ πολλὰ τῶν ἀμελῶς τρεφομένων ἐπιληπτικοῖς ἁλίσκεται σπασμοῖς.

### ϛ'. Τί ποιητέον σβεννυμένου τοῦ γάλακτος ἢ φθειρομένου ἢ παχυνομένου ἢ λεπτυνομένου.

Ἐλαττουμένου δὲ τοῦ γάλακτος καὶ σβεννυμένου, ἢ φθειρομένου ἢ λεπτυνομένου, παραδοτέον, ἢ παχυνομένου· καλὸν μὲν γὰρ ἑτέρας τιτθῆς γάλα διδόναι [3] τὸ βρέφος· μὴ ἐπιτρεπούσης δὲ τῆς περιστάσεως, τὴν παροῦσαν δίαιταν, ὡς μὴ νόσῳ περιπεσεῖν τὸ βρέφος. Ἀποσβεννυμένου τοίνυν τοῦ γάλακτος, [4] θεωρητέον, πότερον διὰ νόσον γίνεται τοῦτο [5] μερικὴν ὑστέρας, ἢ καὶ ἄλλων τινῶν [6] τόπων, ἢ καὶ ὅλου τοῦ σώματος ἀτροφίαν κοινῶς ἢ φυσικῶς ἐλαττοῦται τὸ γάλα, μηκέτι τῆς φύσεως τοσοῦτον ἀπογεννᾷν δυναμένης, ὅσον ἱκανῶς ἐστι τῷ τρεφομένῳ. Κἂν μέν τις νοσώδης ὑποπίπτῃ διάθεσις, ταύτην δεῖ ἀκολούθως ἀνασκευάζειν· τοῦ γὰρ πάθους λυθέντος, καὶ ὁ παραποδισμὸς λύεται τῆς ἐνεργείας· ἐὰν δὲ μὴ διὰ πάθος, γυμνασίοις δεῖ χρῆσθαι τοῖς [7] ἀνειμένοις καὶ περιπάτοις καὶ τρίψεσι ταῖς δι' αὐτῆς καὶ ταῖς δὶ ἄλλων μετὰ κατοχῆς πνεύματος· ἐπὶ τέλει δὲ καὶ τοὺς μαστοὺς τρίβειν ἠρέμα. Χρῆσθαι δὲ καὶ ἀναφωνήσει καὶ λουτρῷ καὶ τροφαῖς εὐχύμοις καὶ τῇ διαχύσει τῆς ψυχῆς, καὶ τοῖς δυναμένοις μάλιστα

---

[1] αἰτίας? ex Sched. [2] Scrib. τοῦτο. Lob. [3] Suppl. εἰς. Lob. [4] Antecedit spatium vacuum in Cod. [5] μερικῆς P. μερικὴν ex Sched. [6] τόνων P. τόπων. Lob. [7] ἀνημένοις P. ἀνειμένοις Lob.

γυμνάζειν τὰ ὑπερκείμενα μέρη· διὰ τούτων γὰρ εἰς ἀτροφίαν ἀγομένου τοῦ ὅλου σώματος, [1] συνευτρέφει καὶ τὰ περὶ τοὺς μαστούς. Συνεχεστέρα δὲ ἔστω καὶ ἡ ἐκμύζησις· πρὸς γὰρ τὴν τοιαύτην αἴσθησιν, ὕλης ἐπιφορὰ γίνεται πλείονος. Μνησίθεος δὲ δὶς τῆς ἡμέρας ἐμέτῳ χρῆσθαι παραινεῖ, μὴ ἐφιστὰς, ὅτι διὰ τῶν ἐμέτων διαφθορὰ γίνεται μᾶλλον, χωρὶς εἰ μὴ χρόνιον νόσημά τι θέλοι διορθώσασθαι. Τινὲς δὲ τοῖς ἀρωματικοῖς ποτήμασιν [2] ἐχρήσαντο, καὶ τοῖς καταποτίοις τοῦ γάλακτος λεγομένοις· ἔδοσαν δὲ καὶ τοὺς μαστοὺς ἐσθίειν τῶν πολυγαλακτούντων τῇ φύσει ζώων· οἱ δὲ γλαῦκάς τε καὶ νυκτερίδας ἔκαυσαν, καὶ τὴν σποδιὰν αὐτῶν τοῖς πινομένοις ἐπέπασσον, ἢ μεθ' ὑγροῦ τινος τοὺς μαστοὺς ἐπέχριον, ἅπερ ἀποδοκιμαστέον ἕκαστον· τὸν γὰρ στόμαχον ἀνατρέποντα καὶ φθορὰν ἐργαζόμενα [3] διπλασιάσει τὴν ἀποτροφίαν. Πλείονος δὲ γενομένου γάλακτος, τοῖς εὐτονωτέροις γυμνασίοις· τὰ σώματα δὲ καταπυκνοῦν. [4] Παχυτέρου δὲ ὄντος, λουτροῖς τε χρῶ ὡς καὶ τροφαῖς ῥοφηματώδεσιν, καὶ τοῖς ὀλιγοτρόφοις τῶν προςφερομένων καὶ ὑδροποσίᾳ. Τινὲς δὲ ὧν εἰσιν οἱ περὶ Μοσχίωνα καὶ [5] Πάριν, [6] ἔδοσαν καὶ ῥαφανίδας καὶ ταρίχους, οἷς οὐ συγκαταθετέον· διὰ γὰρ τῆς δριμυφαγίας ἡ κατὰ τὸ πάχος [7] τέμνοιτο τοῦ γάλακτος ποιότης αὐτοῦ, φθαρεῖσα καὶ [8] δεικτικὴ γενομένη μᾶλλον. Λεπτοτέρου δὲ τοῦ γάλακτος γενομένου, τὰ μὲν λουτρὰ ἀποδοκιμαστέον, [9] ἐξυδατωτικὴν φύσιν ἔχοντα. Χρηστέον δὲ [10] τροφῇ

---

[1] σὺν τροφεῖ ex Sched. Fort. συνατροφεῖ. Lob. [2] ἔχρησαν P. ἐχρήσαντο ex Sched. [3] Sic pro διπλασιάσῃ. ex Sched. [4] Pro παχύτερον et pro subsequente χρῇ necessarium videbatur παχυτέρου et χρῶ. Lob. [5] Ππάριν P. Πάριν ex Sched. [6] Legebamus ἔδωσαν. Lob. [7] Sic! ex Sched. [8] Fort. δηκτική. Lob. [9] πνευματωτικὴν in marg. MS. Dietziani. [10] Male τροφὴν. Lob.

πολτοῖς σκευαζομένοις ἐκ φαρός τε καὶ χόνδρου καὶ ᾠοῖς ῥοφητοῖς καὶ [1]στροβίλοις καὶ ποσὶ χοιρείοις καὶ τοῖς ἀκροκωλίοις· γλίσχρον γάρ τι καὶ κολλῶδες ὂν ἐν τούτοις· καὶ [2]ἐριφείοις κρέασι ποτὲ μὲν ὀπτοῖς ποτὲ δὲ ἑφθοῖς, καὶ [3]οἰναρίῳ, [4]τῆς γε τοῦ βρέφους παρακοπῆς ἐπιτρεπούσης. Διαφθειρομένου δὲ τοῦ γάλακτος, ὅπερ ἐπὶ τὸ πλεῖστον ἐξ ἀπεψιῶν γίνεται, καὶ συνουσιῶν καὶ τῆς κακοχυμοτέρας τροφῆς, ὑφαιρετέον μὲν τούτων ἕκαστον· εἰς δὲ τὴν εὔχυλον καὶ ὑγιεινὴν ἐπιτρεπτέον δίαιταν. Καὶ τὰ μὲν περὶ τῶν γαλουχῶν ταῦτα· ἀνακαμπτέον δὲ ἐπὶ τὰ λοιπὰ, εἰς τὴν τοῦ βρέφους ἐπιμέλειαν.

## οζ΄. Περὶ λουτροῦ καὶ τρίψεως τῶν βρεφῶν.

Προσεκτέον τοίνυν ἀκριβέστερον τοῖς λουτροῖς, ἵνα μήτε συνεχῶς λούηται τὸ βρέφος, μήτε ἐπὶ πολὺ καθέψηται διὰ τῆς ἐξαντλήσεως, ὅπερ αἱ πλεῖσται πράττουσι γυναῖκες· τρὶς γὰρ αὐτὸ λούουσι δι ἡμέρας καὶ νυκτὸς, καὶ μέχρι τῆς ἐκλύσεως καταντλοῦσιν, ἡδόμεναι τῷ μετὰ τὸ λουτρὸν αὐτὸ κεκοπωμένον ἡσυχάζειν τε καὶ κοιμᾶσθαι. Τοῦτο δ᾽ἐστὶ βλαβερώτερον· ἄτονον γὰρ γίνεται τὸ σῶμα καὶ εὐπαθὲς καὶ εὐπερίψυκτον, καὶ πρὸς πᾶσαν βλάβην εὐάλωτον· ἐξοχώτερον δὲ κεφαλὴν πέφυκεν ἀδικεῖσθαι, καὶ τὰ περὶ τὰς αἰσθήσεις, ὅθεν καὶ καθ᾽ ἡμέραν [5]μέντοι δεῖ λούειν, οὐδέποτε δὲ νυκτὸς, ἀλλ᾽ οὐδὲ δὶς οὐδὲ τρὶς· μόνον δὲ, ὅταν [6]ἐπὶ γῆν τι μολυνόμενον ἐπὶ πλεῖον ἢ ἐξανθήμασιν τραχυνόμενον. Ὁ δὲ τρόπος ὁ τοῦ λουτροῦ καὶ τῆς τρίψεως τοιοῦτός ἐστιν· δεῖ πρῶτον οἰκημάτιον ἐκλέγειν συμμέτρως θερμὸν, καὶ τὴν [7]αὐτὴν ἀποκλίνειν· καθίσασαν δὲ τὴν

---

[1]στροβήλοις P. [2]ἐριφίοις P. [3]Sic dedi pro οἰναρίου. Lob. [4]τῆς τε P. τῆς γε ex Sched. [5]μὲν τὸ P. μέντοι ex Sched. [6]ἐπιφαίνηται ex Sched. [7]Fort. αὐγὴν. Lob.

μαῖαν καὶ ἐπὶ τῶν μηρῶν καὶ ἐπὶ τῶν γονάτων ἁπλώσασαν ὠμόλινον ῥάκος, ἔπειτα κατακλίνειν τὸ βρέφος καὶ ἀποσπαργανώσασαν ἀλείφειν ἐλαίῳ χλιαρῷ· εἶτα κατέχουσαν τῇ εὐωνύμῳ χειρὶ τὸν δεξιὸν βραχίονα ὑπὸ τὴν μασχάλην ὥςτε τὸ στῆθος αὐτοῦ τῷ πήχει προσαναπαύεσθαι παρεγκεκλιμένου ποσῶς ἐπὶ τὸ δεξιὸν πλευρὸν, καταντλᾷν τε διὰ τῆς δεξιᾶς χειρὸς ὕδωρ θερμὸν εὔκρατον, καὶ ὡς πρὸς τὴν τοῦ βρέφους εὐαρέστησιν· τὸ γὰρ ὡς πρὸς ἡμᾶς εὔκρατον ζεστότερον ἀκμὴν τῷ νηπίῳ διὰ τὴν ὑπερβάλλουσαν τρυφερίαν τοῦ σώματος.· [1]παρεπιχέειν δέ τινα κατὰ λόγον ἁρμόσει ὕδωρ θερμόν. [2]Επιψύχεσθαι τὸ πρῶτον καὶ καταντλεῖν μέχρις ἂν εὐανθὲς γένηται τὸ σῶμα, καὶ ὁμαλῶς θερμόν· εἶτα στρέφειν τὸ βρέφος καὶ [3]ὑπτιωθέντος αὐτοῦ, προςαπολούειν καὶ ἀποκαθαίρειν τὰ μηρία καὶ τὴν ἕδραν καὶ τὰ περὶ τὸν τράχηλον καὶ τὰ περὶ τὰς μασχάλας. Ῥύπος γὰρ αὐτοῖς περιφύεται, κἄπειτα λοιπὸν εἰς καθαρὸν ὕδωρ ἢ ἔλαιον ἀποβαπτομένῳ τῷ λιχανῷ τὰ ἐκκείμενα τῷ στόματι σίελα κομίζεσθαι, καὶ ἡσυχῇ γλῶττάν τε καὶ οὖλα καὶ χαλινὰ διαψηλαφᾷν· κούφως δὲ θλίβειν τὸ ἦτρον εἰς ὑπόμνησιν ἀπουρήσεως· μετὰ δέ τινας ἡμέρας καὶ διὰ γαλακτώδους ὕδατος μετὰ τὸ θερμὸν ἐθίζειν αὐτὸ λοῦσθαι χάριν τῆς πρὸς τὴν ψυχρολουσίαν συνηθείας, ὑφ' ἧς δυςπερίψυκτον φυλαχθήσεται. Μετὰ δὲ τὸ λουτρὸν ἐκ τῶν σφυρῶν αὐτὸ κρατούμενον ἐπὶ κεφαλὴν αὐτὸ δεῖ κρεμνᾷν χάριν τοῦ διάστασιν λαμβάνειν τοὺς σπονδύλους καὶ εὐκαμπῆ τὴν ῥάχην ἀποτελεῖσθαι καὶ τὰ νεῦρα καθάπερ ἐκ συστροφῆς τινος ἁπλοῦσθαι, κἄπειτα προςηνῶς αὐτὸ σχηματίζειν κατὰ

---

[1] παρεπιχέει P. παρεπιχέειν ex Sched. [2] Ita scripsi pro ἐπιψύχεται. Lob. [3] ὑπτιφθέντος P. ὑπτίῳ θέντος ex Sched.

[1]τῶν τῆς λουκυίας μηρῶν, καὶ τῷ προυποκειμένῳ ῥάκει ἢ ὠμολίνῳ περιβληθὲν ἐκμάσσειν. Εἶτα συναλείφειν ἐκτενῶς καὶ τρίβειν μετὰ διαπλασμοῦ μέρος ἕκαστον, ὥςτε τὸ λεληθότως ἕκαστον ἀκμὴν ἀδιαμόρφωτον εἰς τοὺς κατὰ φύσιν διατυπωθῆναι χαρακτῆρας· διακρατήσασα γὰρ οὖν ἡ τιτθή ποτὲ μὲν τὸν καρπὸν μετὰ ἀποστάσεως τῆς δεξιᾶς χειρὸς λοξὴν κατὰ ῥάχεως ἀπὸ εὐωνύμου γλουτοῦ τὴν τρίψιν ἀγέτω· ποτὲ δὲ καὶ τὸ δεξιὸν σφυρὸν κατασχοῦσα πάλιν ἀπὸ τῆς εὐωνύμου ὠμοπλάτης ἐπὶ τὸ δεξιὸν ἀγέτω σκέλος. Εἶτ' ἐπὶ ῥάχιν ἀνακλάτω τὰ κῶλα, δεξιὸν μὲν ἀκροπόδιον [2]ἀριστερῷ προςάγουσα χειρὸς ἄκρῳ, εὐώνυμον δὲ δεξιῷ· μαλάσσεται γὰρ οὕτω τὰ νεῦρα τῶν [3]ἀῤῥωῶν ἕκαστον εὐκινητότερον ταῖς ποικίλαις περιαγωγαῖς ἀποτελεῖται· καὶ εἴ τι γλισχρῶδες συνισταμένῳ τῷ ζώῳ παςεισεδύετο τοῖς ἄρθροις, ἐνθλίβεται. Μετὰ δὲ τὴν καθ' ἓν μάλαξιν, ἀμφότερα τὰ σκέλη πρὸς ἄλληλα συνάγουσα, διὰ μὲν τῆς ἑτέρας χειρὸς μετ' ἀποστάσεως συνεχέτω· διὰ δὲ τῆς ἑτέρας ὅλον κατὰ μῆκος τριβέτω· καὶ τοπικῶς ἰγνύας μὲν ἐκπλατυνέτω τῇ τοῦ θέναρος ἐπαγωγῇ· σφυρὰ δὲ ἀλλήλοις [4]προςηγμένα [5]ζυγῶν τε καὶ ῥυθμιζέτω κατὰ τὴν ἀνάτριψιν τὴν ἀπὸ τῶν στέρνων, τὰς προτέρας ὑπεροχὰς καταστελλέτω διορθουμένη τὸ ἐκ πτερνῶν· εἶτα προςανακλάτω τὰ κῶλα τοῖς [6]πυγαίοις προςάγουσα τὰς πτέρνας· ἐντεῦθεν δὲ καὶ πλατείαις ταῖς χερσὶν ἐπ' εὐθείας τε καὶ [7]τὰ περισπασμὸν ἐξομαλιζέτω τὴν ῥάχιν· εἶτα τῷ μεγάλῳ δα-

---

[1] Male τὸν inveniebamus. Fort. λελουκυίας pro λουκυίας. Lob. [2] ἀριστρὸν — ἄκρον· P. ἀριστερῷ — ἄκρῳ· ex Sched. [3] Sic! Fort. ἄρθρων, ὧν ἕκαστον. Lob. [4] Offensioni erat προςηγμένους. Lob. [5] Pro ζυγῶν τε leg. ζυγούτω. Lob. [6] Sic pro mendoso πυγέοις, et infra μεσοπυγαίον pro μεσοπυγέου. Lob. [7] Fort. κατὰ. Lob.

κτύλῳ κάτωθεν ἀπὸ μεσοπυγαίου ἕως ἰνίου [1]καταπόσην θλίβειν, [2]ἐπικοιλαινέτω τὴν ἀπὸ τραχήλου ἕως ἱεροῦ ὀστέου κατ' εὐθεῖαν, ἵνα ἡ μετὰ τοῦ ἀπρεποῦς καὶ ἡ μετ' εὐκινήσεως τῶν σπονδύλων σύνθεσις [3]ἀποτελεσθῇ· μετὰ δὲ ταῦτα, διὰ τοῦ μεγάλου καὶ λιχανοῦ δακτύλου τὰ περὶ τὰ πυγαῖα ταῖς [4]ἐμπιέσεσιν εὐτρεπίας ἕνεκα κοιλαινέτω· συνεστραμμένης δὲ τῆς χειρὸς ἐπαγωγῇ τὰ ὑπὲρ τὸν ἔσχατον τῆς ῥάχεως σπόνδυλον λεληθότως ἀπωθείσθω πρὸς τὸ μὴ [5]γενέσθαι λόρδωσιν. Οὕτω δὲ καὶ κατὰ νώτου καὶ μεταφρένου χάριν τοῦ [6]δυςεξώβωτα καὶ ἀνώμαλα εἶναι. Μετὰ δὲ ταῦτα τὸ κεφάλιον πρῶτον μὲν [7]περιαγωγῇ ἑκατέρᾳ χειρὶ τριβέτω στρογγύλως· δεύτερον δέ πως ὑπὸ τὸ αὐτό, ποτὲ μὲν [8]ἐξ ἀντιθέντων τῶν χειρῶν ἡ μὲν κατ' ἰνίου, ἡ δὲ κατὰ μετώπου τασσομένη, ποτὲ δὲ ἡ μὲν κατὰ κορυφῆς, ἡ δὲ ὑπ' [9]ἀνθεριῶν· εὐρυθμιζέτω δὲ δεξιῶς τὸ κρανίον ὥςτε μὴ προμηκέστερον ἢ φοξὸν ἀποτελεσθῆναι· ποτὲ δὲ καὶ κινείτω προςεπαίρουσα τὸ κεφάλιον· καὶ ἀποτεινέτω γυμνασίας ἕνεκα [10]τῶν τενόντων καὶ κινήσεως τῶν σπονδύλων· ἐπεὶ δι' αὐτοῦ ταῦτα τὰ μέρη κινεῖν ἀδυνατεῖ τὸ [11]νήπιον τούτου. Τῶν δὲ, ἐπιμεληθείσας τρεφέτω τὸ βρέφος καὶ τὰ ἔμπροσθεν συναλειφέτω, καὶ διά τινων ἡμερῶν τοὺς ὀφθαλμοὺς ἐγχυματιζέτω καὶ μὴ καθ' ἡμέραν· [12]ὀφθαλμιᾶ γὰρ ἐντεῦθεν ἐνίοις ἐπακολουθοῦσιν, ἑλκουμένων ποτὲ καὶ τῶν ὑμένων. Τριβέτω δὲ πάλιν ἀπὸ

---

[1] ποσὸν et ἀπόστασιν adnotatur in marg. MS. Dietz. [2] Male ἐπικοιλενέτω P. [3] Praebebatur ἀποτελεσθῆναι. Lob. [4] Scribebatur ἐνπιέσεσιν. [5] Parum apte legebas γενέσθω. Lob. [6] Sic! ex Sched. [7] περιαγωγὴν P. περιαγωγῇ vel κατὰ περιαγωγὴν ex Sched. [8] In unum legeb. in P. Sejunctim scrib. ex Sched. [9] Fort. ἀνθερεῶνα. Lob. [10] τῶν τενῶτων P. τῶν τενόντων vel τῶν τε νώτων ex Sched. [11] Fort. ἐπεὶ — ἀδυνατεῖ τὸ νήπιον. Τούτων δὲ ἐπιμεληθεῖσα τρεφέτω τὸ βρ. etc. Lob. [12] ὀφθαλμιᾶ P. Fort. ὀφθαλμίαι. Lob.

ἀκρωμίου κατὰ μίαν ἀποτεταμένην χεῖρα· κἄπειτα λοιπὸν αὐτὰς ἀντιπαραλλασσέτω περιστερὸν ὂν ὡς ἐπὶ πλευρὰς [1]ἄγουσα καὶ περιπτύσσουσα, καθάπερ ἐπὶ τῶν [2]παραμβανόντων εἴωθε γίνεσθαι μετὰ ποσῆς ἐκστάσεως. Προσανατριβέτω δὲ κοιλίαν καὶ θώρακα, καὶ καθ' ἓν πάλιν σκέλος, ἀποτεταμένον· εἶθ' ὑφ' ἓν ἐζυγωμένα τὰ δύο· διασαλευέτω δὲ καὶ τὰς ἐπιγονατίδας, ἵνα μὴ δυσκίνητοι τῇ [3]συμβολῇ τῶν κώλων [4]καθιοῦνται, καὶ προσεκπλατυνέτω χάριν εὐμορφίας ἁπλῇ τῇ χειρί κατὰ μῆκος [5]ἀντιπαραγομένῃ, συνηγμένων πρὸς ἄλληλα τῶν σκελῶν. Τριβέτω δὲ τοῖς ἀντίχερσιν ἑκατέροις καὶ τοὺς ὀφθαλμούς· [6]περιπλαττέτω καὶ τὸν μυκτῆρα, διεγείρουσα μὲν αὐτὸν ἐπὶ σιμῶν, θλίβουσα δὲ ἐπὶ γρυπῶν προσαναστέλλουσα, ἐφ' ὧν τὸ γρυπὸν, οὐ κατὰ μετεωρισμὸν ἐπὶ τοῦ ὑψώματος, κατὰ προπέτειαν δὲ τῶν περὶ τὸ [7]πτερὸν ἄκρων· ἐπισπωμένη δὲ ἀνεσταλμένα τὰ πτερυγώματα τῶν ῥινῶν. Εἰ δὲ ἄῤῥεν τὸ νήπιον ὑπάρχον φαίνοιτο λειπόδερμον, τρυφερῶς ἐπισπάσθω τὴν ἀκροποσθίαν, ἢ καὶ διὰ κροκύδος συνεχέτω πρὸς διακράτησιν· ἑλκομένη γὰρ ἐκ τοῦ πρὸς ὀλίγον καὶ συνεχῶς ἐπισπωμένη ῥᾳδίως ἐπιδίδωσι, καὶ τὸ κατὰ φύσιν ἀπολαμβάνει μῆκος καλύπτουσα τὴν [8]λαμβάνον καὶ [9]συνηθιζομένη τὴν φυσικὴν εὐμορφίαν τηρεῖν· προσαναπλασσέτω δὲ καὶ τὸν ὄσχεον, ἐκ τῶν συμμηριῶν, ἵνα μὴ θλίβηται, καὶ ὑποβάλλουσα ἔριον κατὰ τῶν μηρῶν, οὕτως αὐτὸ ἀποτιθέτω. Μετὰ δὲ τὸν διαπλασμὸν σπαργανούσθω τὸ βρέφος,

---

[1] ἄγους P. ἄγουσα restitui. Lob. [2] Scrib. παραβαινόντων. Lob. [3] συμβουλῇ, ut P., mutavi in συμβολῇ. Lob. [4] Sic! ex Sched. [5] Male locum habebat genitivus. Lob. [6] Erat περιπλακέτω. ex Sched. [7] σφερὸν P. πτερὸν ex Sched. [8] βάλανον ex Sched. [9] Scrib. συνεθιζομένη.

ὀλίγῳ [1]λελιπασμένον ἐλαίῳ· τὸ γὰρ πλεῖον [2]ψύχεται καὶ οὐκ ἐᾷ μένειν τὰ σπάργανα [3]ἑδρασμένα καὶ ὀλισθανόντων καὶ περιτρεπομένων, διαστρέφεται τὰ κῶλα. Συμφέρει δέ ποτε καὶ κηρῷ [4]τυῤῥηνικῷ ἀνιέντα ἐλαίῳ πρὸ τῆς σπαργανώσεως ἀλείφειν τὰ σώματα· [5]μαλάσσει γὰρ οὕτως καὶ θάλπει τὸν ὄγκον· ἔτι δὲ προστρέφει καὶ λευκαίνει τὸ σῶμα. Μετὰ δὲ τὸ λουτρὸν ἐκμυζάτω τὰ ὦτα καὶ τοὺς μυκτῆρας τοῦ βρέφους, ὅπως μὴ ὑπομεῖναν ὑγρὸν τρυφεροὺς ἐπιτυγχάνοντας τοὺς φυσικοὺς πόρους βλάψῃ.

## οη΄. Πῶς δεῖ καὶ πότε διδόναι τῷ βρέφει τὸν μαστόν.

Διαστήσασα δὲ ὀλίγον ὥστε τὴν ἐκ τοῦ λουτροῦ ταραχὴν [6]αὐτῷ παρατιθέντων· τὸ γὰρ εὐθέως παρέχειν τὴν τροφὴν ἐπιβλαβὲς οὐ μόνον νηπίων, ἀλλὰ καὶ τελείων· πεπυρωμένη γὰρ ἡ σύγκρισις ἀθρόως ἐπισπᾶται τὴν τροφὴν καὶ διαφθείρει, καὶ [7]αὐτὴ γαλουχοῦσα εἴπερ ἀπὸ [8]βαλανείου τυγχάνει διαστήσασα [9]τῷ τὸ αὔταρκες καὶ προλαμβανέτω πρότερον ὑδάτιον· οὐ γὰρ [10]τεταραγμένῳ τῷ σώματι μόνον ἐπιβλαβῶς λαμβάνειν τὴν τροφὴν, ἀλλὰ καὶ [11]ἀπὸ τεταραγμένου σώματος τροφὴ βλάπτει. Καὶ τὸ νήπιον οὖν ἀπὸ τοῦ λουτροῦ διαστησάτω, καὶ ἡ τροφὸς ἀπαμελξάτω τὸ παρακείμενον τοῖς μαστοῖς, καὶ ἀποθλίψασα τὸ ἀπὸ τῆς ταραχῆς διεφθαρμένον γάλα, τότε διδότω καθαρὰν τροφὴν εὐσταθοῦν-

---

[1]Pro δὲ λιπασμένον dedi λελιπασμένον. Lob. [2]ψύχηται P. ψυχή τε ex Sched. Scripsi ψύχεται. Lob. [3]ἱδρασμένα puncto praecedente P. ἱδρυσμένα ex Sched. Accepi ἡδρασμένα. Lob. [4]Ita debebat scribi pro τυρηνικοῦ. Lob. ἀνιέντι P. ἀνιέντα ex Sched. [5]μαλάσσειν γὰρ οὗτος, ut P., non quadrat. Lob. [6]αὐτῷ καταστῆσαι παρατιθέτω ex Sched. [7]αὐτὴν γαλουχοῦσαν P. αὐτὴ γαλουχοῦσα ex Sched. [8]Legebas βαλανίου. [9]Sic! ex Sched. [10]τεταραγμένον P. Dativum revocavi. Lob. [11]ἀποτεταραγμένου divisi. Lob.

τος τοῦ σώματος. Ἀεὶ μέντοι παρέχουσα τὸν μαστὸν καθεζέσθω καὶ [1]προςστερνισαμένη ταῖς ἀγκάλαις τὸ βρέφος ποσῶς ἀνάῤῥοπον, ἐπὶ πλευρὰν ἐσχηματισμένον, ποτὲ μὲν δεξιὸν ποτὲ δὲ εὐώνυμον, ἐντιθέτω τοῖς χείλεσιν αὐτοῦ τὴν θηλήν. Καθεζέσθω μὲν οὖν οἷον ἐπινενευκυῖα, ἐπειδήπερ ὑπτιωμένης αὐτῆς ἢ καταῤῥόπου ἐσχηματισμένης, δυςκολωτέρα γίνεται ἡ κατάποσις, ὥςτε ποτὲ μὲν ἀνταποδίδοσθαι τὸ πινόμενον, ποτὲ δὲ καὶ πνιγμοῦ γίνεσθαι παραίτιον· τοῦ αὐτοῦ δὲ χάριν καὶ τὸ βρέφος ποσῶς ἀνάῤῥοπον [2]ἐσχηματίσθω· μὴ διηνεκῶς δὲ, ἐπὶ τὸ δεξιὸν πλευρόν, πρῶτον μὲν εἰς τὸ ἐναλλάξαι· ἐφ' ἑκατέρου δὲ μαστοῦ τρέφεσθαι· δεύτερον δὲ, πρὸς τὸ μὴ μετὰ τὴν λύσιν τῶν σπαργάνων μὴ πάντοτε κατεχομένην τὴν δεξιὰν μελέτην ὑπομεῖναι τῆς ἀνεργησίας. Ἐνθεῖσα μέντοι τὸν μασθὸν, ὡς εἴρηται, πρὸ τοῦ τὸ νήπιον [3]ἐπισπασθῆναι τὴν θηλὴν, πράως ἐνθλιβέτω τὸ γάλα, πρὸς ὑπόμνησιν τῆς ὀρέξεως, καὶ μὴ εἰς τὸ κακοπαθεῖν ἐπὶ πολὺ τὸ νήπιον τὴν πρώτην [4]βιαζόμενον ὁλκήν. Ἀφ' ὕπνου δὲ ἡ τροφὸς ὑπάρχουσα πάντοτε περιπατείτω, διατριψαμένη καὶ σαλεύουσα τοὺς μαστούς· οὕτω τὸ γάλα τῷ τρεφομένῳ παρεχέτω· διατμίζεται γὰρ τὸ περισσὸν καὶ λύεται τὸ παχυμερὲς ἐκ τῆς τοιαύτης [5]προδιακινήσεως· μικρὰ δ' ἐν ταῖς ἀγκάλαις αὐτὰ προδιακατέχουσα μετὰ τοῦ συμμέτρου μετασχεῖν γάλακτος, κοιμιζέτω καθ' οἵας ὑπεδείξαμεν κοίτης. Προςόπτον δὲ καὶ ἐγκλίνον καθεδρίῳ, πάντοτε δὲ ἄνωθέν τι περιβαλλέσθω σκέπης ἕνεκεν· ἢ τοὺς ὀφθαλμοὺς

---

[1]Mendose προςσθερνισαμένη. Lob. [2]ἐσχημάτισθαι P. ἐσχημάτισται ex Sched. Haud improbatur ἐσχηματίσθω. Fort. ordo sequentium ita se habet: μὴ διηνεκῶς δὲ ἐπὶ τὸ δ. πλευρον· ἐφ' ἑκατέρου δεῖ μαστοῦ τρέφεσθαι· πρῶτον μὲν τὸ ἐναλλάξαι, δεύτερον δὲ etc. Lob. [3]ἐπισπασθῇ P. ἐπισπασθῆναι ex Sched. [4]βιαζομένη ex Sched. [5]προδιακινήσεως posui pro προςδ. Lob.

αὐτῶν ἐπικαλυπτέτω διά τινος, οὐ μόνον τῇ τρυφερίᾳ πρὸς πᾶν τὸ παρεμπεσεῖν δυνάμενον εὐαδικήτους ὑπάρχοντας, ἀλλὰ καὶ ὑπὸ τοῦ πλείονος φωτὸς καὶ τῆς [1]ἀναιδεστέρας αὐγῆς [2]εἰωθότας ἀποστραβοῦσθαι. Μὴ συγκοιμάσθω δὲ τὸ βρέφος αὐτῇ καὶ μάλιστα ἐν ἀρχαῖς, ἵνα μὴ ἀπροόπτως ἐπικυλισθεῖσα περιθλάσεως ἢ πνιγμοῦ γένηται παραιτία· διὸ καὶ παρακείσθωσαν αἱ βαυκάλαι τῇ κλίνῃ κἂν [3]ἔνιόν τι [4]σπουδάζῃ τὸ βρέφος ἔχειν· ἢ σκάφη κατὰ τῆς κλίνης ἐπιτιθέσθω. [5]Παραινετέον δὲ τῇ [6]τροφῷ καὶ ὥστε μὴ δι' ὅλης τῆς ἡμέρας ἢ νυκτὸς διδόναι τὸ γάλα· διὰ γὰρ τὴν ἀμετρίαν νόσοις [7]ἁλίσκεται πρὶν ἐξοικονομῆσαι τὸ πρῶτον, ἕτερον λαμβάνον, καὶ οὕτως διαφθεῖρον τὸ πρῶτον, καὶ μάλιστα νυκτὸς· πλεονάκις μὲν οὖν παρέχειν τὸν μαστόν, παρ' ὅσον τὴν αὐτάρκη τροφὴν οὐ δύναται λαμβάνειν· καὶ γὰρ τὸ γάλα φύσει [8]πλησμόνως τε κόρον [9]ἐμποιῆσαι τῷ νηπίῳ, πρινὴ αὔταρκες αὐτῷ πρὸς τὴν διάθρεψιν παρατεθῆναι. Καὶ αὐτὸ δὲ τὸ βρέφος κάμνον διὰ τὴν ἀτονίαν [10]τοῦ ἐπισπᾶσθαι ἄχρι πλείονος τὴν θηλὴν, ἀφίσταται πρὸ τοῦ λαβεῖν τὸ αὔταρκες, παρὸ πλεονάκις μὲν αὐτῷ δεῖ τὸ γάλα δίδοσθαι, πλὴν οὐκ ἀδιαλείπτως οὐδὲ πρὸ τοῦ λουτροῦ, πολὺ δὲ μᾶλλον οὐδ' ἐν αὐτοῖς τοῖς βαλανείοις, ὅπερ ἀπαραιτήτως ποιοῦσιν αἱ γυναῖκες ῥαδίως κλαῖον αὐτὸ σιτῆσαι ἐθέλουσαι. Διαφθειρομένου δὲ καὶ ἀποξυνομένου τοῦ γάλακτος, κακοῦται τὸ νευρῶδες ἐπιληψίαι τε καὶ ἀποπληξίαι γίνονται. Πάντων δὲ χαλεπώτατον καὶ εἰς προφυλακὴν [11]τοῦ μηδόλως αὐτὸ κλαῦσαι, τὴν θηλὴν δεῖ τῷ στόματι καταλιπεῖν αὐτοῦ κοιμωμένου·

---

[1]ἀναδεστέρας P. [2]εἰωθότως P. Scripsi εἰωθότας. Lob. [3]ἐν ἰόντι ex Sched. [4]σπουδάζει erat. [5]παρενετέον P. [6]τροφῇ P. τροφῷ ex Sched. [7]ἁλίσκονται P. ἁλίσκεται ex Sched. [8]Fort. πλησμονῆς. Lob. [9]ἐνποιῆσαι P. [10]τῷ ex Sched. [11]Vetatur. ex Sched.

θλιβομένων γὰρ τῶν μυξωτήρων καὶ ἀποφρασσομένου τοῦ στόματος, καὶ βαρυνομένου τοῦ φάρυγγος [1]ἔσθ' ὁπότε τοῦ γάλακτος χωρὶς ἐκμυξήσεως ἐπιῤῥέοντος, τὸ νήπιον πνίγεται· [2]ἄλλως δὲ μὴ διὰ τὸ κλαίειν πάντοτε μαστὸν αὐτῷ παρέχειν. Πρῶτον μὲν γὰρ αὐτῷ συμφέρει ποτὲ καὶ ὁ κλαυθμός· γυμνάσιον γὰρ φυσικὸν τούτοις εἰς τόνωσιν τοῦ πνεύματος, καὶ τῶν ἀναπνευστικῶν ὀργάνων· πρός τε τὴν διάστασιν διευρυνομένων τῶν πόρων ἡ ἀνάδοσις τῆς τροφῆς εὐχερεστέρα παρασκευάζεται πλὴν [3]οὐχ ἕως πλείονος. Πλὴν ἀνετέον αὐτούς· καὶ γὰρ τοὺς ὀφθαλμοὺς ἀδικεῖ καὶ τῆς εἰς [4]ὀσχέον ἐντέρων κατολισθήσεως αἴτιον γίνεται· δεύτερον, οὐ διὰ μόνην [5]εὐδίαν κλαυθμυρίζει τὸ βρέφος, ἀλλὰ καὶ διὰ σφίγξιν ἢ θλίψιν κακῶς ἐσχηματισμένον, ἢ διὰ δῆξιν περισσωμάτων καὶ ζώου τινὸς ἢ νυγμὸν ἢ πλῆθος τροφῆς ἐπιβαρούσης τὸν ὄγκον ἢ ῥῖγος ἢ καὶ τὸ μὴ δύνασθαι διαχωρῆσαι, [6]σκληροτέρου παρακειμένου τοῖς ἐντέροις περισσεύματος, ἢ διὰ δυσαρέστησιν ἄλλως ἢ ποσὸν, ὧν ἕκαστον ἐφόσον ἐνδέχεσθαι Σημειοῦσθαι δὲ πέφυκεν, ὥςτε κατάλληλα πρᾶξαι τοῖς ὀχλοῦσιν, καὶ οὐ πάντως [7]ἐπὶ τὸ δοῦναι τὸν μαστὸν τῷ βρέφει παρελθεῖν· ὅτι μὲν οὖν θλίβεται, γνωρίσωμεν τῷ δακτύλῳ τὴν θλίψιν τῶν τελαμώνων καταλαμβάνοντες καὶ πελιούμενον ἄκρον ἰδόντες ἢ μὴ κατὰ φύσιν ἐσχηματισμένον· ὅτι δὲ δάκνεται ἢ νύσσεται ὑπό τινος, διὰ τὸ αἰφνίδιον κραυγάσαι μήτε μετασχηματισθὲν, μήτε ἐσφιγμένον ὑπὸ τῶν σπαργάνων· ὅτι δὲ βαρεῖται διὰ πλείονος τροφῆς παράθεσιν, διὰ τοῦ ἀσᾶσθαι καὶ [8]ῥυγιάζεσθαι, πολλάκις δὲ καὶ μετέωρον ἔχειν τὸ ὑποχόνδριον· κἀκ τούτου μαθεῖν πρόςεστι, πο-

[1]Praebebatur ἐσθώποτε. Lob. [2]Pro ἄλλος τε scripsi ἄλλως δὲ; post μὴ delevi ineptum οὐ. Lob. [3]Male οὐκ P. [4]Pro ὀσχέων dedi ὀσχέον. Lob. [5]Fort. ἀηδίαν. Lob. [6]κληροτέρου P. σκληροτέρου ex Sched. [7]ἐπί τι P. ἐπὶ τὸ ex Sched. [8]Fort. ῥιπτάζεσθαι. Lob.

σάκις πέπωκε γάλα· ὅτι δὲ [1]ῥιγοῖ, διὰ τοῦ πυκνοῦσθαι καὶ συστρέφεσθαι καὶ ἀπεψύχθαι, ποτὲ δὲ καὶ πεπελιῶσθαι τὰ γυμνὰ καὶ τὸν ὄγκον, ἐν ᾧ τρέφεται φαίνεσθαι ψυχρόν· ὅτι δὲ καυματίζεται, διὰ τοῦ θερμοτέρου μὲν ἡμᾶς ἀντιλαμβάνεσθαι τοῦ [2]ἀέρος, ἐρυθραίνεσθαι δὲ καὶ πνευστιᾷν τὸ νήπιον, ἢ πολλάκις παρὰ τὸ δέον σκεπάσμασι περιβεβλῆσθαι· ὅτι δὲ παρὰ τὸ [3]σκληρὸν εἶναι τὸ σκύβαλον καὶ δυςδιαχώρητον, ἐκ τοῦ μετὰ διατάσεως καὶ συνολκῆς τοῦ σώματος κλαίειν ἔνεστι γνῶναι· ὅτι δὲ [4]δυςαρέστησιν καὶ ὁποιανδή ποτε νόσον, διὰ τοῦ συνάγεσθαι τοῖς χαρακτῆρσιν καὶ ἀποστρέφεσθαι τὸν μασθὸν, ἐπὶ μηδεμίαν τῶν ἔμπροσθεν αἰτιῶν [5]εἰρημένων. Τὸ δὲ τῆς τροφῆς ὀρεγόμενον, διὰ τοῦ μηδενὸς τῶν εἰρημένων παρόντος, τὰ χείλη μὲν σαλεύειν, τὸ δὲ στομάτιον ἀνοίγειν, καὶ μάλιστα εἴ τις ἑαυτοῦ δάκτυλον [6]παράψαιτο διὰ τῆς ἀφῆς εἰς ὑπόμνησιν ἄγων τῆς θηλῆς· ἔτι δὲ διὰ τοῦ προςεπιθεωρῆσαι πόσον μὲν εἴωθεν ἀρκεῖσθαι γάλακτι, πόσον δὲ ἔλαβε νῦν, καὶ ἔτι [7]ἐπὶ πολὺ ὁ μεταξὺ γεγένηται χρόνος καὶ ὑποχόνδριον κάθειντο· τότε γὰρ παρέχουσα τῷ βρέφει τὸν μαστὸν ἡ γαλουχὸς εἰς διόρθωσιν τῶν διὰ τὴν ἔνδειαν τῆς τροφῆς κλαυθμυριζόντων, οὐ διαμαρτήσεται. Φυλάττεσθαι δὲ καὶ μετὰ τὸ πληρωθῆναι τοῦ γάλακτος εὐθέως αὐτὸ κινεῖν· καὶ γὰρ οἱ [8]τέλειοι μετὰ τροφὴν αἰωρούμενοι βλάπτονται, φθειρομένης τῆς τροφῆς, πολλῷ δὲ μᾶλλον τὸ ἀκμὴν νήπιον, διά τε τὴν τρυφερίαν τοῦ σώματος καὶ διὰ τὸ φύσει πως εὐεπιπόλαστον εἶναι τὸ γάλα, δι' ἣν αἰτίαν ὡς εἰκὸς, καὶ τὰ βρέφη συνεχέστερον [9]ἐξερᾶν, πρὸς τὴν

[1] ῥυγοῖ P. ῥιγοῖ ex Sched. [2] Sic scripsi pro δέρος. Lob. [3] σκηρὸν P. Scripsi σκληρὸν. Lob. [4] διὰ vel παρὰ inserendum. ex Sched. [5] Legeb. ἠρημένων. ex Sched. [6] Fort. παραφάσαιτο. Lob. [7] εἰ inserendum. ex Sched. κάθειντο] καθῆτο ex Sched. [8] Legebas τέλιοι. Lob. [9] Sic! ex Sched.

ἄτακτον καὶ [1]ἀδιάλειπτον κίνησιν ναυτιῶντα καὶ ἀνατρεπόμενα, ὅμοια τοῖς δυςθαλάσσοις τῶν πλοϊζομένων [2]ἐμφερῶς. Διὰ τοῦτο καὶ τὰ οὕτω τρεφόμενα πλαδαρὸν [3]ποιεῖ τὸ σῶμα καὶ πρὸς τὰς νόσους εὐεπηρέαστα, [4]ὅμοιον τι πάσχοντα τοῖς σιτευομένοις ἐρίφοις, [5]ὡς οἱ κατ' ἐπιτήδευσιν λιπαροὺς ποιῆσαι θέλοντες, ὅταν πληρωθῶσι τοῦ γάλακτος, ἐν σπυρίδι κρεμάσαντες, κινοῦσι δι' ὅλης ἡμέρας τε καὶ νυκτός· οὕτω γὰρ διὰ τὸν σάλον τῆς τροφῆς εἰς ὅλα τὰ σώματα φερομένης, [6]διοικεῖ καὶ ἐμπιπλᾶται μέρος ἕκαστον· εἰ δὲ ἐπιμόνως κλάοι τὸ βρέφος, ἀπὸ τῆς γαλακτοποσίας ἐν ταῖς ἀγκάλαις [7]αὐτὸ διακρατείτω ἐρεθισμοῖς τισιν καὶ ψελλίσμασι καὶ φωναῖς προςηνέσι, παρηγοροῦσα τὸν κλαυθμόν μήτε δὲ ἐκφοβοῦσα, μήτ' ἐπιταράττουσα ψόφοις τισὶν ἢ ἄλλαις ἀπειλαῖς· ἡ γὰρ ἀπὸ τ῀ν τοιούτων ἔκπληξις αἰτία παθῶν γίνεται, ποτὲ μὲν σωματικῶν ποτὲ δὲ ψυχικῶν. Οὐκ εὐθέως οὖν μετὰ τὴν τροφὴν [8]αἰωρητέον, ἀλλὰ ἢ μετ' αὐτὴν ἀναδοθῆναι, ἢ πρὸ τροφῆς· πρὸς ἀναλογίαν δὲ τῆς ἕξεως καὶ διὰ τῆς ἐώρας κίνησις ἐπιτηδευέσθω, τὸ πρῶτον [9]μικρὸν σαλευομένης τῆς σκάφης, ἢ τῆς βαυκάλης κρεμαμένης, ἢ ἐπὶ διαγωνίων λίθων [10]ἐπηρειμμένης· εἰς ὕστερον δὲ καὶ [11]διάφορος. Μετὰ δὲ τέσσαρας μῆνας καὶ τῆς τροφοῦ διακρατούσης ἐν ταῖς ἀγκάλαις αὐτὸ καὶ περιπατούσης ἢ διὰ [12]ζεύγους αἰωρουμένης· τὸ γὰρ βαστάζειν ἐπὶ τῶν ὤμων αὐτὸ καὶ κινεῖν ἀποδοκιμάζομεν· θλιβόμενοι γὰρ οἱ δίδυμοι, ποτὲ μὲν ἀνατρέχουσιν εἰς

[1] ἀδιάληπτον P. ἀδιάλειπτον ex Sched. [2] Pleonasmus. ex Sched. [3] Scripsi ποιεῖ pro ποιοῦ. Lob. [4] ὅμοιά τι P. ὅμοιόν τι ex Sched. [5] Scripsi ὡς οἱ — θέλοντες pro ὅσοι — θέλοντας, ut legebamus. Lob. θέλοντες. ex Sched. [6] Fort. διογκοῖ. Lob. [7] αὐτῷ P. αὐτὸ ex Sched. [8] Scripsi αἰωρητέον pro ἐωρηταῖον et consuetius αἰώρας pro ἐώρας. Lob. [9] μικρᾶς P. μικρὸν ex Sched. [10] Erat ἐπιρειμμένης. ex Sched. [11] διὰ φορείου ex Sched. [12] Pro ζεύγου ἐωρουμένης dedi ζεύγους αἰωρ. Lob.

τὰ ὑπερκείμενα, ποτὲ δὲ διαλύονται, καὶ οὕτως οἱ μὲν γίνονται κρυψόρχαιοι, οἱ δὲ εὐνοῦχοι· [1]Αἱ δὲ καὶ τὰ λοιπὰ τῶν κατὰ πρόσβασιν τῶν χρόνων παραγγελμάτων ἐπιθεωρεῖν.

### οθ'. Περὶ τῆς τοῦ ὀμφαλοῦ ἀποπτώσεως.

Καὶ πρῶτον μὲν μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας ἢ ὁπωσοῦν τοῦ ὀμφαλοῦ [2]καταμερασμὸν ἀποπεσόντος, τὸ ὑπολειφθὲν καὶ κατὰ τὴν βάσιν ἑλκύδριον ἀποθεραπεύειν. Αἱ πολλαὶ μὲν οὖν γυναῖκες καύσασαι χοίρειον ἀστράγαλον καὶ λειοτριβήσασαι κοχλίας ἢ βολβοὺς ἐπιπάσσουσιν· αἱ δὲ μόλιβδον κεκαυμένον καὶ πεπλυμένον· ἄμεινον δὲ τοῦτο, καὶ σφονδύλῳ τῷ ἐριουργικῷ παραπλησίως [3]σχηματίσασαι, κατὰ τῆς τοῦ ὀμφαλοῦ χώρας ἐρείδουσι, διὰ τὸ ἐμψυκτικὴν εἶναι τὴν ὕλην ἐπουλωθησομένης τῆς ἑλκώσεως, διὰ δὲ τὸ [4]βαρεῖαν εὐπρεπῶς εἰς κοιλότητα [5]τυπωθησομένου τοῦ ὀμφαλοῦ.

### π'. Πότε καὶ πῶς παραλυτέον.

Προϊόντος δὲ τοῦ χρόνου, καὶ ἀπὸ τῶν σπαργάνων αὐτὸ δεῖ λύειν· ἔνιοι μὲν οὖν περὶ τεσσαρακοστὴν ἡμέραν τοῦτο ποιοῦσιν· οἱ πολλοὶ δὲ περὶ τὴν ἑξηκοστήν· οἱ δέ καὶ μακροτέραν ταύτης προθεσμίαν ὁρίζουσιν. Ἡμεῖς δὲ περιπήξεως ἕνεκα πρὸς διαστροφὴν χρηματισμὸν εὔχρηστόν φαμεν τὰ σπάργανα τότε [6]παραγκέλλειν αὐτὰ δοκιμάζομεν, ὅτε ἤδη μετρίως πεπηγότος τοῦ σώματος, οὐκέτι φόβος ἐστὶ τοῦ διαστραφῆναί τι μέρος αὐτῶν· τοῦτο μὲν ἐφ' ὧν διὰ [7]βελτίονα σώματος σύ-

---

[1]καὶ δεῖ ex Sched. [2]Fort. κατὰ μερισμόν. Lob. [3]σχηματίσαι P. σχηματίσασαι ex Sched. [4]Pro βαρεῖ ἀνευπρεπῶς, quod offert P., βαρεῖαν εὐπρεπῶς. ex Sched. [5]Legeb. τυποθησομένου. Lob. [6]Sic! ex Sched. [7]βελτίωνος male P. Dedi βελτίονα. Lob.

στασιν, τάχιον, ἐφ' ὧν δὲ δι' ἀσθενεστέραν σύγκρισιν, βράδιον περιγίνεται. Δεῖ δὲ μηδὲ ἀθρόως μηδὲ ὑφ' ἓν πάντα λύειν τὰ σπάργανα· πᾶσα γὰρ αἰφνίδιος εἰς τὸ ἐναντίον μεταβολὴ ξενοπαθείας [1]ἀποτελεστική· πρῶτον μὲν μίαν ἐλευθερῶσαι χεῖρα καὶ μετά τινας ἡμέρας τὴν ἑτέραν· εἶτα καὶ τοὺς πόδας. Προσεκλύειν δὲ τὴν [2]δεξιάν· ἐπικρατηθεῖσα γὰρ, κατὰ τοὺς τὴν εὐώνυμον πρῶτον λῦσαι φθάσαντας, ἀτονωτέρα γίνεται τοῦ βράδιον τῆς ἑτέρας ἐπὶ τὸ γυμνάσιον ἐλθεῖν, ὥςτε καὶ διὰ τοῦτο ἀριστερόχειρας ἐνίους γίγνεσθαι. Πηγνυμένου δὲ τοῦ βρέφους μᾶλλον, καὶ τὸ ἐν οἴκῳ δεῖ λουτρὸν παραιτεῖσθαι· χρῆσθαι δὲ βαλανείῳ μήτε ἐπὶ πολὺν χρόνον μήτε [3]πεπυρωμένῳ· τὸν γὰρ κατ' οἶκον ἀέρα προςηνῶς καὶ ὁμαλῶς εὔκρατον οὕτως οὐκ ἐνδέχεται παρασκευάζειν. Ἐὰν δὲ ἀκμὴν σπαργανούμενον τὸ βρέφος ἑλκωθῇ διὰ τὴν τῶν τελαμώνων παράτριψιν, ἢ δι' ἄλλην τινὰ ποιητικὴν ἑλκώσεως αἰτίαν, παραιτεῖσθαι δεῖ τὰ σπάργανα, καὶ ἁπλοῦν αὐτῷ περιτιθέντα [4]χιτωνάριον, ἀποθεραπεύειν τὰ ἕλκη.

### πά. Πῶς δεῖ καθίζειν καὶ [5]περιπάτησιν ἀσκεῖν.

Καθίζειν δὲ καὶ ἀνίστασθαι τοῦ βρέφους πειράζοντος, βοηθεῖν αὐτοῦ τοῖς κινήμασι δεῖ· τάχιον μὲν γὰρ προθυμούμενον καθίζειν καὶ μέχρι πλείονος, εἴωθε κυρτοῦσθαι, καμπτομένης τῆς ῥάχεως διὰ τὸ μήπω τὰ σώματα τόνον ἔχειν· προπετέστερον δὲ ἀνιστάμενον καὶ περιπατεῖν θέλοντα, στρέφεσθαι κατὰ τοὺς μηροὺς τὰ σκέλη.

---

[1]Pro ἀποτελεστικῆς scripsi ἀποτελεστική. Lob. [2]Scribebatur δεξιήν et mox φθάσαντες. Lob. [3]Ita posui pro πεπυρωμένον. Lob. [4]Erat χιτονάριον. Lob. [5]περιπατώσιν P. περιπάτησιν ex Sched.

### πβ΄. Διὰ τί τὰ πλεῖστα τῶν ἐν Ῥώμῃ παίδων διαστρέφεται.

Τοῦτο δὲ καὶ μᾶλλον ἐπὶ Ῥώμης γινόμενον θεωρεῖται· καθὼς μέν τινες ὑπολαμβάνουσιν, ὅτι ψυχροῖς ὕδασιν ἡ πόλις κάτωθεν διαιρεῖται, καὶ τὰ σώματα περιψύχεται ῥαδίως· καθὼς δέ τινες λέγουσι καὶ διὰ τὰς [1]συχνὰς τῶν γυναικῶν συνουσίας, ἢ διὰ τὸ μετὰ μέθην ταῖς συμπλοκαῖς χρῆσθαι. Τὸ δ' ἀληθὲς, διὰ παιδοτροφίας [2]ἀπειρίαν· οὐ γὰρ ἔγκειται τοσαύτη στοργὴ ταῖς ἐν τῇ πόλει γυναιξὶν ὡς τὸ [3]καθ' ἕκαστον ἐπιβλέπειν, ὃν τρόπον πράττουσιν αἱ καθαρῶς Ἑλληνίδες. Μηδενὸς ἐπιθεωροῦντος τὰ κινήματα τῶν βρεφῶν, διαστρέφεται τὰ κῶλα τῶν πλείστων· ὅλον γὰρ τὸ βάρος τοῦ σώματος ἐπίκειται τοῖς σκέλεσι, στερεὸν δὲ καὶ ἀπόκροτον τὸ ἔδαφος ὡς ἂν κατὰ τὸ πλεῖστον λίθοις ἐστρωμένον· ὅταν οὖν ἀντίτυπον [4]μὲν ᾖ, καθ' οὗ κλίνει, βαρὺ δὲ τὸ ἐπικείμενον, τρυφερὸν δὲ τὸ βαστάζον, κατ' ἀνάγκην τὰ κῶλα ὑπενδίδωσι, μήπω τῶν ὀστέων τετονωμένων. Ἔνθεν ὅταν [5]καθίζειν πρῶτον ἄρξηται, περιβολαῖς ἱματίων αὐτὸ οἱονεὶ παραθέσει τῶν ἀνακρατεῖν [6]αὐτὸ δυναμένων [7]διερειστέον καὶ οὐ μέχρι πολλοῦ τὸ πρῶτον· προκόπτον δὲ μᾶλλον ἕως τοῦ ἕρπειν καὶ πρὸς μικρὸν ἐξανίστασθαι, παρὰ τοῖχον αὐτὸ διαστήσαντα καταλιπεῖν· κατὰ πρόςβασιν δὲ καὶ πρὸς δίφρον [8]ὑπότροχον. Οὕτως ἐκ τῆς κατὰ βραχὺ συναυξήσεως [9]μελετήσει τὴν ἐπίβασιν. Καὶ ταῦτα μὲν περὶ τῆς κινήσεως· ἑξῆς δὲ καὶ περὶ τροφῆς [10]ὑποδεικτέον.

---

[1] σιχνὰς P. συχνὰς ex Sched. [2] ἀπειρεῖαν inveniebas. [3] κατ' ἕκαστον P. [4] μένει καθου βλίνει P. μὲν ᾖ, καθ' οὗ κλίνει ex Sched. [5] καθίζῃ P. καθίζειν ex Sched. [6] αὐτῷ P. αὐτὸ ex Sched. [7] διεριστέον P. Posui διερειστέον. Lob. [8] ὑπὸ τροχὸν P. ὑπότροχον ex Sched. [9] μελετήσῃ erat. Lob. [10] ὑποδικταῖον P. ὑποδεικτέον ex Sched.

## πγ'. Πότε καὶ πῶς ἀπογαλακτιστέον τὸ βρέφος.

Μέχρις οὖν συνδιαπαγῇ τὸ νήπιον, μόνῳ [1]διατρεφέσθω γάλακτι· στενῶν γὰρ [2]ἔτι τῶν ἀραιωμάτων ὑπαρχόντων, ἐπισφαλὲς ἐπὶ τὴν στερεωτέραν προσέρχεσθαι τροφὴν, [3]βραδυποροῦσαν μὲν πρὸς τὰς ἀναδόσεις διὰ τὴν στενότητα τῶν πόρων, θλίβουσαν δὲ πᾶν τὸ δοκοῦν αὐτὴν ὑποδέχεσθαι. Διὸ καὶ αἱ [4]προπετισμέναι, μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν ἤδη πειρώμεναι διδόναι τὴν σιτώδη τροφὴν, ὅπερ μάλιστα ποιοῦσιν ἐξαντλεῖν τὸ γάλα βαρυνόμεναι· φαῦλον δὲ καὶ τὸ ἐκ τῶν ἐναντίων, ἤδη τοῦ σώματος ἐστερεωμένου, μὴ μεταβαίνειν ἐπὶ τροφὴν ἄλλην· οὐ μόνον ὅτι πλαδαρὸν γίνεται τὸ σῶμα καὶ διὰ τούτο εὐπαθὲς τὸ ἐκ τοῦ γάλακτος τρεφόμενον ἐπὶ πλέον, ἀλλὰ καὶ αἴτιον νόσου γινομένης εὐχερῶς ἀπυξύνεται τὸ γάλα· παρ' ἣν αἰτίαν πεπηγότος ἤδη τοῦ σώματος καὶ δεκτικοῦ στερεωτέρας γιγνομένου τροφῆς, ὅπερ οὐκ ἂν ἔμπροσθεν εὐτυχηθείη τῶν ἑξαμήνων, καὶ τῇ [5]σιτώδει τροφῇ ψωμίζειν τὸ νήπιον ἁρμόζοι ψιχίοις τρυφεροῖς ἐξ ὑδρομέλιτος ἢ γάλακτος ἢ γλυκέος ἢ οἰνομέλιτος· μετὰ ταῦτα δὲ δοτέον καὶ ῥόφημα τὸ ἀπὸ τοῦ χόνδρου καὶ πολτὸν δίυγρον καὶ ᾠὸν ῥοφητόν. Μεταξὺ δὲ τῆς τροφῆς φυλακτέον διδόναι τὸ γάλα πιεῖν· δυσδιοίκητος δὲ ἡ τροφὴ γίνεται τῷ ἐπινήχεσθαι τῇ ὑγρότητι τοῦ γάλακτος, καὶ τὸ δίψος οὐ παρηγορεῖται· διὸ κἂν ἔκδιψόν ποτε γένηται μετὰ τὴν τροφὴν τὸ βρέφος, ὕδωρ ἢ ὑδαρὲς οἰνάριον δοτέον αὐτῷ διὰ τῶν πεφιλοτεχνημένων θηλῶν· ἀβλαβῶς γὰρ ἐκ τούτων κατ' ὀλίγον ὡς ἐκ τῶν μαστῶν τὸ ὑγρὸν ἕλκει· ποτὲ μέντοι καὶ

[1]Legebatur διατραφέσθω. Lob. [2]ἐπὶ τῶν ἀρεωμάτων P. ἔτι τῶν ἀραιωμάτων ex Sched. [3]βαρυποροῦσαν P. βραδυποροῦσαν ex Sched. [4]Sic! ex Sched. [5]Scripsi σιτώδει pro σιτώδη. Lob.

ἀρτίδιον ἁπαλὸν ἐκ κραματίου προςφέρειν ἐστίν. Οἱ γὰρ διὰ τῶν μασητῶν τῆς τροφῆς [1]ψωμισμοὶ διὰ τὴν συμπλοκὴν τοῦ φλέγματος, βλαβερόν· τῶν [2]ἄρτων δὲ καὶ τὸν μήκωνα καὶ τὸ σήσαμον, καὶ πᾶν τὸ ἀρτυματῶδες ἀποδοκιμαστέον· ἕκαστον γὰρ τούτων καὶ ἐπὶ τελείων δυςκατέργαστον. Εὐχερῶς δὲ ἤδη τοῦ βρέφους λαμβάνοντος τὴν σιτώδη τροφὴν καὶ τῆς τῶν ὀδόντων [3]ἀναφυήσεως ὑπισχνουμένης καὶ [4]τὴν τῶν στερεμνιωτέρων διαίρεσίν τε καὶ τελείωσιν, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον περὶ τὴν τρίτην ἢ τετάρτην ἑξάμηνον γίνεται λεληθότως, καὶ κατ' ὀλίγον ἀποσυνεθίζειν αὐτὸ τοῦ μαστοῦ καὶ ἀπογαλακτίζειν, [5]τῷ προςτιθέναι μὲν γὰρ τῷ πλήθει τῆς ἄλλης τροφῆς, ὑποσπᾷν δὲ τῆς ποσότητος τοῦ γάλακτος· οὕτω γὰρ ἂν μᾶλλον τὸ βρέφος ἀποσυνεθισθήσεται ἀλύπως, [6]κατὰ βραχὺ τῆς πρώτης ἀποχωροῦν συνηθείας. Ἅμα δὲ ἀπεριέργως σβεσθήσεται τὸ γάλα τῆς τιτθευούσης τὸ νήπιον [7]τῇ καταμικρὸν ὑφαιρέσει τῆς ἐκμυζήσεως· τὸ γὰρ πικροῖς τισι καὶ δυςώδεσι [8]περιχρίειν τὰς θηλὰς καὶ ἀθρόως ἀπογαλακτίζειν αὐτὸ, βλαβερὸν διά τε τὸ ἐν τῇ ἀθρόᾳ μεταβολῇ ξενισμὸν ἐμποιεῖν καὶ διὰ τὸ κακοῦσθαι ὑπὸ τῶν φαρμάκων, [9]τὸν στόμαχόν ποτε πάσχειν. Ἄριστος δὲ καιρὸς ἀπογαλακτισμοῦ τὸ ἔαρ, ὑγιεινότερον δι' εὐκρασίαν τοῦ περιέχοντος· φαῦλος γὰρ ὁ κατὰ φθινόπωρον· τότε γὰρ διὰ τὴν ἀνωμαλίαν τοῦ περιέχοντος ἐπινόσως διακειμένου τοῦ παντὸς [10]σώματος φυλάσσεσθαι δεῖ τὰς τῶν ἐθῶν μεταβολὰς ἐχούσας τι

---

[1] Pro ψωμισμοῖς scripsi ψωμισμοί. Lob. [2] ἀρτυμάτων ex Sched. [3] Ut in prioribus vitiose scriptum erat ἀναφυσήσεως. Lob. [4] τῆς et mox συνηθίζειν et ἀποσυνηθ. male. Lob. [5] τὸ P. τῷ ex Sched. γὰρ] abundat, vel mutand. in παρά. Lob. [6] Sic posui pro καί. Lob. [7] τῇ — ὑφαιρέσει] vel τῷ — ὑφαιρεθῆναι legendum erat pro τῇ — ὑφαιρεθέν. Lob. τῆς ἐκμυζήσεως] ἐκμυσήσεως P. τῇ ἐκμυζήσει ex Sched. [8] Ita opus erat pro πεδιχρίειν et in sqq. διά τε τὸ pro διά τε τόν. Lob. [9] Fort. καὶ interponendum. Lob. [10] Sic placuit pro: σώματος· φυλάσσεσθαι δὲ δεῖ etc. Lob.

δυςάρεστον ἐκ τῆς ξενοπαθείας. Οὐ προςεκτέον δὲ Μνησιθέῳ τε καὶ Ἀριστάνακτι βράδιον ἀξιοῦσιν ἀπογαλακτίζειν ἓξ μησὶ τὸ θῆλυ διὰ τὸ ἀσθενέστερον ὑπάρχειν· οὐχ ὁρῶσι γὰρ ὅτι πολλῶν ἀῤῥένων ἔνια θηλυκὰ βρέφη καὶ ἰσχυρότερα καὶ σαρκωδέστερα. Δεῖ δὲ μηδενὸς τὸ νήπιον ἀποξενοῦν μήτε οἰνοποσίας μήτε [1]ἀλίμματος· καλὸν γὰρ μήτε ὑδροποσίας μήτε ψυχροποσίας μήτε θερμοποσίας εὐθὺς ἐξ ἀρχῆς ἔθος πρὸς τὰ ὠφέλιμα ποιεῖν· τοῦ δὲ δὶς [2]λούειν μὴ πρότερον ἀφίστασθαι πρινὴ γενέσθαι τὴν ὀδοντοφύησιν. Εἰ δὲ κάτογκον εἴη τῷ σώματι τὸ βρέφος καὶ δύςπνουν, δεήσει τὸ πλῆθος τῆς σαρκὸς συνεργεῖν, διὰ τοῦ τὴν μὲν τροφὸν ὀλιγοτρόφοις καὶ ἥττοσι τροφαῖς χρῆσθαι καὶ ὑδροποτῆσαι, τῷ δὲ βρέφει μὴ πολλάκις τὸ γάλα παρέχειν, καὶ κινήσεσι χρῆσθαι ταῖς διὰ τῶν [3]χειραμεξιῶν· κἂν φύσει δὲ βορὸν [4]ἥ τὸ νήπιον καὶ πλείονος ὀρεγόμενον τροφῆς, [5]ἢ ἧς δύναται κρατεῖν, ἀποπερισπᾷν τὴν διάνοιαν αὐτοῦ ψυχαγωγίαις τισὶ καὶ [6]πεγνίαις τὸ ψώμισμα διαιρεῖν, καὶ ξηρὸν ἀρτίδιον αὐτῷ διδόναι καὶ τὸ γάλα ποιεῖν ὀλιγοτροφώτερον· τοὐναντίον δὲ πλείονος τροφῆς κρατεῖν δυνάμενον, ἥττονος δὲ στεργόμενον τῇ ποικιλίᾳ δελεάζειν τῶν προςφερομένων· κινεῖ γὰρ τὴν ὄρεξιν ἡ κενότης τῶν παρατεθέντων. Εἰ δὲ ἀπογαλακτισθὲν νόσῳ [7]περιπέσοι, πάλιν αὐτὸ δεῖ μετάγειν ἐπὶ τὸ γάλα. Καὶ μετὰ τὸ παύσασθαι τὴν νόσον καὶ ἀναλαβεῖν τὸ σωμάτιον, οὕτως ἀπογαλακτίζειν.

### πδ΄. Περὶ ὀδοντοφυιήσεως.

Περὶ δὲ τὸν ἕβδομον μῆνα, γινομένης τῆς ὀδοντοφυίας, ὑφ' ἧς φλεγμοναὶ γίνονται τῶν οὔλων καὶ σια-

---

[1] Regula poscit ἀλείμμ. Lob. [2] λύειν P. λούειν ex Sched. ὀδοντοφύησιν] vel ὀδοντοφυσίαν debebat scribi pro ὀδοντόφυσιν. Lob. [3] Fort. χειραμαξίων. Lob. [4] ἥ P. ᾖ ex Sched. [5] Scripsi ἢ ἧς pro ἧς. Lob. [6] Scrib. παιγνιαῖς. Lob. [7] περιπεσών P. περιπέσοι ex Sched.

γόνων τε καὶ τενόντων, ἔμπροσθεν μὲν προφυλακῆς χάριν οὐδὲν δεῖ τῷ νηπίῳ διδόναι τὰ μασήσεως δεόμενα· περιθλώμενα γὰρ τὰ οὖλα διαγανακτεῖ καὶ δυςδιαίρετα γίνεται τυλωθέντα. Πᾶν δὲ τοὐναντίον ἀπὸ τοῦ πέμπτου μηνὸς λελιπασμένῳ τῷ δακτύλῳ συνεχῶς παρὰ τὸ λουτρὸν τὸ οὖλον ψηλαφᾷν καὶ μαλάσσειν ὀρνιθείῳ στέατι· καὶ ὁ λάγειος δὲ ἐγκέφαλος οὕτως τῷ τῆς ἀντιπαθείας λόγῳ ποιεῖ [1]τόδε πρὸς [2]ἀνιέντα οὖλα. Δεῖ δὲ καὶ [3]λιπάσματι προδιδόναι τῷ βρέφει ταῖς χερσὶν κατέχειν, [4]μεῖζον ἢ καταπιεῖν δύνασθαι, πρὸς τὸ καὶ ἀποθηλάζειν τοῦ νοτισμοῦ καὶ μὴ ἀπρεπῶς τὰ οὖλα διαμαλάσσειν, [5]περὶ τὴν τῆς πιμελῆς μαλακότητα. Κατὰ δὲ τὴν ὀδοντίασιν αὐτὴν καὶ μάλιστα τῶν ὀδόντων [6]παρακυψάντων ἤδη, τοῦτο μὲν οὐκέτι δεῖ ποιεῖν· πρὸς γὰρ τῷ ἐπιπόνως [7]διαστραφῆ[58] τὰ φατνία σπαδονίζοντος τοῦ παιδίου περὶ τοῖς ὀδοῦσι κατὰ τὸν ἐφελκυσμὸν, τὰς τῆς πιμελῆς κτηδόνας. Παραιτεῖσθαι δὲ δεῖ καὶ τὸ βούτυρον, καὶ τὰ δριμέα τῶν διαχρισμάτων· ἐρεθίζεται γὰρ δακνόμενα τὰ φλεγμαίνοντα· παραπέμπειν δὲ ὡς ἐπιβλαβῆ καὶ τὴν διὰ τοῦ σμιλίου διαίρεσιν. Χρῆσθαι δὲ τρυφερῶν ἐρίων καὶ καθαρῶν ἐπιβολῇ τραχήλου καὶ κεφαλῆς καὶ σιαγόνων, ἐμβροχῇ τε τῶν αὐτῶν δι' ἐλαίου γλυκέος καὶ θερμοῦ [8]παρενσταζομένου καὶ τοῖς ἀκουστικοῖς πόροις· ἐπιμενούσης δὲ τῆς φλεγμονῆς, καὶ καταπλάσμασι τοῖς διὰ γύρεως ἢ [9]τήλεως ἢ λινοσπέρμου, πυρίᾳ τε τῇ διὰ σπόγγων καὶ μάλιστα τῶν οὔλων· ἔτι δὲ καὶ μέλιτι συμμέτρως [10]ἀφέπτῳ, ταῦτα διαχρίειν, καὶ τὸ λουτρὸν, ἐὰν [11]μείζων ἡ

[1]τῶδε P. τόδε ex Sched. [2]Fort. ἀνιῶντα. Lob. [3]Fort. λίπασμά τι. Lob. [4]μεῖζονι P. μεῖζον ἢ ex Sched. καταπιν͂ P. καταπιεῖν ex Sched. [5]παρὰ ex Sched. [6]Erat παρακοψ. Lob. [7]διαστραφῆναι ex Sched. [8]παρεσταζομένου P. Scripsi παρενσταζομένου. Lob. [9]Scribebatur τύλεως. Lob. [10]Scrib. ἀπέφθῳ. Lob. [11]μείζωνι P. μείζων ἡ ex Sched.

συμπαθεία [1]τυγχάνῃ. Παραιτεῖσθαι δὲ καὶ τὴν τροφὸν ἐπ' ὀλιγοποσίας καὶ ὑδροποσίας τηρεῖν, ῥοφηματώδη τροφὴν λαμβάνουσαν, κἂν τῷ διδόναι τὸν μαστὸν ἠρέμα τῇ χειρὶ τὸ γάλα [2]παραναθλίβουσαν, ὡς διὰ τὴν ἐκμύζησιν τὸ νήπιον κακοπαθοῦν, σφοδροτέραν [3]ὑπομένῃ τὴν φλεγμονήν.

## πέ. Περὶ φλεγμονῆς παρισθμίων.

Φλεγμηνάντων δὲ τῶν παρισθμίων, ἡμεῖς μὲν τοῖς αὐτοῖς χρώμεθα [4]παρενστάζοντες μελίκρατον καὶ πτισάνης χυλόν· αἱ [5]τροφοὶ δὲ κυμίνῳ πεφρυγμένῳ δι' ὕδατος καταπλάσσουσι τὸν ἀνθερεῶνα· τὰ δὲ παρίσθμια παρατρίβουσιν ἅλατι καὶ παλαιῷ ἐλαίῳ, καὶ διὰ μιᾶς χειρὸς ἑκατέρων ἐπιλαμβανόμεναι [6]τῶν σκελῶν ἐπὶ κεφαλὴν σχηματίζουσι τὸ βρέφος, μεταξὺ θύρας, καὶ τῷ βρέγματι προσάπτονται τοῖς τῆς γῆς ποσὶν ὁδοῦ, καὶ τοῦτο ποιοῦσιν ἑπτάκις, ὅπερ σχῆμα συμπληρωτικὸν τοῦ κεφαλίου, διὰ τοῦτο δὲ καὶ τῶν παρισθμίων. Ἡ δὲ παράθλιψις καθ' ἑαυτὴν μὲν [7]παροξυντικὴ τῆς φλεγμονῆς· διὰ δὲ τὴν δριμύτητα τῶν ἄλλων καὶ μᾶλλον τὸ κύμινον καὶ πληκτικὴν ἀποφοράν, τῆς κεφαλῆς ἐστι συμπληρωτικόν.

## πς΄. Περὶ ἄφθης.

Ἄφθης δὲ γενομένης, ἥτις ἕλκος μέν ἐστιν [8]ἐπιπόλαιον ἐν τῇ εὐρυχωρίᾳ τοῦ στόματος νεμόμενον, μικρᾶς μὲν ἐσχάρας οὔσης, μέλιτι δεῖ τὸ στόμα διαχρίειν· μείζονος δὲ μετὰ ξηρασίας μὲν καὶ φλεγμονῆς, καταπλάσσειν τοῖς χαλᾶν δυναμένοις, οἷον διὰ φακοῦ καὶ σιδίων· κατὰ

---

[1]τυγχάνει vitiose legebatur. Lob. [2]παρανθλίβουσαν P. Scripsi παραναθλ. Lob. [3]Inepte ὑπομένει. Lob. [4]Pro παρεστάζοντος dedi παρενστάζοντες. Lob. [5]Inveniebamus τροφαὶ. Lob. [6]τιᾶ σκελῆ P. τῶν σκελῶν ex Sched. Fort. οὖδας pro ὁδοῦ. Lob. [7]παροξυντικὴν P. παροξυντικὴ ex Sched. [8]ἐπιπόλεον P. Scripsi ἐπιπόλαιον. Lob.

δὲ [1]τοῦ ἕλκους ἔνδοθεν, χρῆσθαι τὴν ἀνθηρὰν [2]ἡλίῳ, τῷ ἄνθει τῶν ῥόδων, ἢ κυπέρῳ ἢ μυρίνης [3]καρπῷ. Ποσῶς δὲ τῆς ὑγρασίας κρατηθείσης, τῇ διὰ μόρων στοματικῇ καὶ τῇ διὰ [4]κωδειῶν, καὶ τῇ δι' ἀρνογλώσσου μετὰ μέλιτος, ἤ τινι ἄλλων στυπτικῶν χυλῶν, [5]ἐνεθέντι μετὰ μέλιτος· βοηθεῖ καὶ ἶρις μετὰ μέλιτος, καὶ εἰ ξηρὰν ἐμφυσᾷν ἐθέλῃς, καὶ ῥόδων φύλλα κεκομμένα, καὶ τὸ ἄνθος τῶν ῥόδων καὶ κρόκος καὶ ὀλίγον σμύρνης, καὶ ἡ κικὶς, καὶ ὁ λιβανωτὸς, καὶ ὁ φλοιὸς τοῦ λιβάνου, ὁμοῦ τε καὶ ἰδίᾳ ἕκαστον, μέλιτι δευόμενα· ἐπὶ τούτοις μελίκρατόν τε καὶ ῥόας γλυκείας ὁ χυλός. Τὸ δὲ θριξὶ περιειλεῖν τὸν δάκτυλον καὶ ἀποβάπτειν εἰς ἔλαιον ἢ μέλι καὶ ἀποσμήχειν τὰ ἕλκη καθάπερ αἱ τροφοὶ πράττουσιν, καὶ μάλιστα τούτων αἱ Σύραι, παραιτητέον. Ἀποσπωμένων δὲ τῶν [6]ἐσχαρῶν ἐνυβριζόμενα τὰ βρέφη παροξύνονται.

### πζ'. Περὶ ἐξανθημάτων καὶ [7]ὀδαξησμῶν.

Πράος δὲ τοὺς ὀδαξησμοὺς τοῦ σώματος πυρία χρησιμεύει καὶ [8]ἀφθόνῳ ἀλείμματι δι' ἐλαίου ἀπέφθου συντακέντος ὀλίγου κηροῦ, χάριν τοῦ παχύτερον γενέσθαι τὸ ἔλαιον, τοῖς σώμασιν ἐπιμένειν ἕως πλείονος· πρὸς δὲ τὰ ἐξανθήματα καὶ τὰς φλυκταίνας καὶ τὰ κάθυγρα τῶν κατὰ τῆς ἐπιφανείας ἀποτελουμένων ἑλκῶν, τὴν ἀκμὴν καὶ τὸ οὖρον καὶ τὴν δριμύτητα παραπέμπομεν· ἀσμένως δὲ δέχεσθαι· ὅταν οὖν [9]ἀπανθήσῃ καλῶς, τηνικαῦτα ἤδη θεραπεύειν· θερμῷ λούομεν ἀφεψήματι ῥόδων ἢ φακοῦ· κἂν πλείονος στύψεως χρήζωμεν, μυρσίνης ἢ σχίνου ἢ βάτου ἢ σιδίων. Τὰ δὲ μᾶλλον ἡλκωμένα κα-

---

[1]Pro τοὺς dedi τοῦ. Lob. [2]ἁλιέως ex Sched. [3]καρπὸς legebatur. [4]κωδίων male P. Scribendum aut κωδειῶν aut κωδύων. Lob. [5]ἀνεθέντι P. ἐνεθέντι ex Sched. [6]Male ἐσχάρων P. [7]Ita scripsi pro ὀδαξυσμῶν; minus recte mox etiam ὀδαξισμούς. Lob. [8]σὺν deest. ex Sched. [9]ἀπανθήσει et postea χρήζομεν erat in P.

ταπλάσσομεν ἀρνόγλωσσον [1]μετ' ἄρτων, ἢ σέριν ἢ πάλης ἀλφίτων μετὰ ἀνδράχνης, ἢ ἀειζώου ἢ κοτυληδόνος ἢ ῥόδοις ξηροῖς ἢ χλωροῖς ἑψημένοις μετὰ μελιλώτου ἢ φοίνιξι· καταχρίομέν τε τοῖς διὰ λιθαργύρου καὶ ψιμμιθίου καὶ στυπτηρίας καὶ ὄξους καὶ μυρσίνου ἢ ῥοδίνου ἢ σχινίνου. Παυσαμένου δὲ τοῦ ῥευματισμοῦ καὶ τῆς πολλῆς ἀποκρίσεως τῶν ἰχώρων, [2]τὰ ἕλκη φαίνοιτο φλεγμαίνοντα, δι' ὑδρελαίου θερμοῦ, λούομεν ἀφεψήματος λινοσπέρμου ἢ τήλεως ἢ τῶν ῥιζῶν τῆς ἀγρίας μολόχης· τὰ δὲ ἕλκη περιχρίειν τῷ λευκῷ τῶν ᾠῶν ἀνακοπέντι καὶ ὑγρᾷ συμπλακέντι κηρωτῇ. Μετὰ δὲ τὴν ὑπέκλυσιν τῆς φλεγμονῆς, ἐὰν ῥυπαρία τις ὑπομένῃ, διὰ μέλιτος μετρίως ἀφεψηθέντος, ἵνα τὸ δριμὺ καὶ τὸ δηκτικὸν ἀποβάλῃ, προςαποκαθαίρομεν αὐτήν, ἢ φακῷ μετὰ μέλιτος· ἁρμόζει δὲ τὸν φακὸν περιεπτισμένον ἑψεῖν, ἵνα στυπτικὸν τὸ πίτυρον [3]ὑπάρχον ἀποβάλῃ· καθαρῶν δὲ γενομένων τῶν ἑλκῶν, διὰ λιθαργύρου λείου ἢ ψιμμιθίου ἢ τῇ διὰ χυλοῦ ἀνειμένῃ ποσῶς, ἀναπληροῦμεν τὰ ποικίλα. Μετὰ δὲ τὴν ἐξίσωσιν, ἀπουλώσεως χάριν [4]τὴν διὰ λαδάνου παραλαμβάνομεν ἢ τὴν δι' ᾠῶν ἢ τὴν διὰ κριθῶν ἢ τὴν διὰ καδμίας, ῥοδίνῳ προςανειλημμένην· καὶ [5]ῥύπτειν δήπου τοῖς νίτροις μαλακώτερον· οὐ γὰρ οἴσει τὰ ἰσχυρότερα. Κάλλιστον δὲ καὶ τὴν τιτθὴν διαιτᾶσθαι γλυκυτέρῳ τρόπῳ· κάλλιστον δὲ καὶ τὸ παιδίον αὐτὸ διαιτῆσαι, μήτε ἐμπιπλᾶν αὐτό, μήτ' αὖ σφόδρα ἐνδεῶς. Ἐὰν δὲ ἐφίστηται ἡ κοιλία τοῦ παιδὸς, τότε μέλιτος ἐγχέοντας ἑψεῖν, ὡς βαλάνιον· ἐὰν δὲ μηδὲ οὕτως ὑπακούῃ, τῆς τερεβινθίνης παρεμβάλλειν ὅσον ἐρέβινθον· παρυγραινομένης δὲ τῆς κοιλίας, κέγχρον μάλιστα προςφέρειν.

[1] μεταρτῶν P. μετ' ἄρτων ex Sched. [2] εἰ inserendum. ex Sched. [3] Ita pro ὑπάρχων correxi. Lob. [4] τὴν scripsi pro τῇ. Lob. [5] Legebamus ῥίπτειν. Lob.

πή. Περὶ [1]ὤχμου τε καὶ βηχός

Ῥώχοντος δὲ τοῦ νηπίου διὰ τὸ πολὺ φλέγμα συλλέγειν, ἔνιοι μὲν τὰ διὰ καρδαμώμου καὶ κυμίνου, καὶ κνίδης σπέρματος καὶ πεπέρεως ἐκλείγματα παραλαμβάνουσιν. Ἡμεῖς δὲ ταῦτα διὰ τὴν δριμύτητα παραπέμψαντες, ὅτι δάκνοντα ῥευματίζει καὶ πλείονος γίγνεται αἰτία φλεγμονῆς, μελίκρατον συνεχῶς ἐνστάζομεν· κἂν καταπίνῃ τὸ φλέγμα μήπω δυνάμενον πτύειν, παραθλίβομεν τὴν γλῶσσαν αὐτοῦ, καὶ οὕτως ἐμέτου γινομένου, τὸ καταποθὲν εὐχερῶς ἐκκρίνεται. Βήσσοντος δὲ τοῦ βρέφους, τοῖς διὰ στροβιλίων καὶ ἀμυγδάλου, καὶ [2]φρυκτοῦ λινοσπέρμου καὶ γλυκυρίζης χυλοῦ, καὶ πιτυΐδων, καὶ τραγακάνθης καὶ μέλιτος σκευαζομένοις ἐλίγμασι χρώμεθα· παραιτούμεθα καὶ νῦν τὰ δριμέα· προςερεθίζεται γὰρ ἡ βὴξ ἀκμὴν πρόςφατος ὑπάρχουσα· παραιτούμεθα δὲ καὶ τὸ λουτρόν.

πθ'. Περὶ [3]σειριάσεως.

Σειριάσεως δὲ γενομένης, ἥτις ὡς μὲν Δημήτριός φησιν ἐν τῷ [4]σημειωτικῷ [5]παραδίδουσιν οὐδὲν ἄλλο πλὴν καυσώδης ἐστὶ πυρετός· ὡς δὲ ἔνιοί φασι, φλεγμονὴ τῶν περὶ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας μερῶν, ὥςτε κοιλότητα τοῦ βρέγματος καὶ τῶν ὀφθαλμῶν παρακολουθεῖν μετ' ὠχριάσεως καὶ ξηρασίας τοῦ σώματος καὶ [6]ἀνορεξίας, ὡς πρὸς φλεγμονὴν πάντα δεῖ ποιεῖν. [7]Σείριον δὲ τὸ πάθος οἱ μὲν ἀπὸ τοῦ ἄστρου διὰ τὴν πύρωσιν, οἱ δὲ ἀπὸ τῆς τοῦ βρέγματος κοιλότητος, ὅτι [8]σῆρος παρὰ τοῖς γεωργοῖς λέγεται, σῶμα κοῖλον, εἰς ὅ

---

[1]Haereo, an scribendum sit ῥωχμοῦ. Lob. ἐλίγματα] ita et infra ἐλίγμασι P. Posui ἐκλείγματα et ἐκλείγμασι. Lob. [2]φρυκτοῦ dedi pro φρικτοῦ. Lob. [3]Bis sic scripsi pro σηριάσεως, quod erat. Lob. [4]σημιωτικῷ offendebat. Lob. [5]Sic! ex Sched. [6]Legebas ἀνωρεξίας. Lob. [7]σηρίον P. Dedi σείριον. Lob. [8]Fort. σιρὸς. Lob.

τὰ σπέρματα βάλλοντες φυλάττουσιν. Ὠφελεῖ δὲ καὶ αὐτοὺς τοῦ ᾠοῦ τὸ ἐρυθρόν, [1]ἀνεθέντι ῥοδίνου καὶ πτύγματος τρόπον τιθέμενον κατὰ τοῦ βρέγματος καὶ συνεχῶς ἀλλασσόμενον, ἢ ἐπὶ τοῦ αὐτοῦ βρέγματος τιθέναι ἡλιοτροπίου χυλὸν κολοκύνθης ξέσματα σικύου πέπονος τὸ περικείμενον τῇ σαρκὶ δέρμα, ἢ [2]στρύχνου κηπευτοῦ τὸν χυμὸν μετὰ ῥοδίνου.

## ϛ'. Περὶ ῥευματισμοῦ κοιλίας.

Ῥευματιζομένου οὖν τοῦ βρέφους τὴν κοιλίαν, τὸ μὲν λουτρόν καὶ τὴν [3]διώραν παραιτούμεθα. Χρώμεθα δέ τοῖς στυπτικοῖς τῶν ἐπιθεμάτων, καὶ [4]δι' ὠτικοῦ καυτηριδίου κύαθον ἐνίεμεν χυλοῦ ἀρνογλώσσου ἤ τινος τῶν ὁμογενῶν τὸ σύνολον, ἃ καὶ ἐπὶ τῶν τελείων πασχόντων [5]ἐγκρίνομεν, ἕως ἡ δύναμις ἐπιτρέπει. Μαστὸν δὲ λαμβάνοντος αὐτοῦ, τὴν τροφὸν διαιτῶμεν τῷ περὶ τὸ βρέφος πάθει καταλλήλως ἀλουτεῖν κελεύοντες καὶ ὑδροποτεῖν, καὶ τροφὰς λαμβάνειν σταλτικάς· συναναφέρεται γὰρ αὐτῷ ἡ ποιότης ὥςτε τὸ νήπιον εἰς συναίσθησιν αὐτῆς μᾶλλον ἔρχεσθαι· καθὼς γὰρ αἱ σύες [6]αἐρασφαγοῦσαι σκοτοῦσι τοὺς ὑπ' αὐτῶν τρεφομένους [7]γαλαθοινοὺς, [8]αὐταὶ μὴ σκοτούμεναι, καὶ ὡς τῶν αἰγῶν σκαμμωνίαν νεμηθεισῶν, οἱ ὑπ' αὐτῶν τρεφόμενοι ἔριφοι καθαίρονται τὴν κοιλίαν, καίτοι τῶν αἰγῶν μὴ [9]ῥευματισθεισῶν, οὕτω διὰ τὴν προςφορὰν τῶν σταλτικῶν σιτίων, ἧττον μὲν ἡ τροφὸς ἀντιλαμβάνεται τῆς σφίγξεως, μᾶλλον δὲ τὸ βρέφος τῷ ἐξ αὐτῆς γάλακτι τρεφό-

---

[1]Fort. ἀνεθὲν διὰ ῥοδίνου. Lob. ῥοδίνῳ ex Sched. [2]Male στρίχνου. Lob. [3]ἐώραν ex Sched. [4]Fort. δι' ὠτικοῦ. Lob. καυτηριδίου] κλυστηριδίου ex Sched. [5]ἐκρίνομεν P. ἐγκρίνομεν ex Sched. [6]ἀθέρας vel κέρας φαγοῦσαι ex Sched. [7]Scrib. γαλαθηνοὺς. Lob. [8]αὖται P. αὐταὶ ex Sched. [9]ῥαματισθεισῶν legebamus. Lob.

μενον. Διὸ καὶ τοὐναντίον ἀδιαχώρητον [1]μένει μέχρι πλείονος, [2]εἰ τῇ τροφῷ δίδομεν τὰ μαλάσσοντα τὴν κοιλίαν· καίτοι γὰρ ἢ καθολικῶς ἕως τῷ γάλακτι τρέφεσθαι τὸ βρέφος, καταλλήλως τῇ νόσῳ τοῦ νηπίου, τὴν τροφὸν διαιτῶμεν· τοῖς δὲ ἐπιθέμασιν ἢ καταπλάσμασιν ἢ καταβροχαῖς ἐπὶ τοῦ νηπίου χρώμεθα καταλλήλως. Ἐπὶ δὲ τοῦ ἀπογαλακτισθέντος σιτίον αὐτῷ κατάλληλον τῶν παθῶν συντάσσομεν, ἅπερ ἐκ τῶν θεραπευτικῶν ῥηθησομένων ἐστίν· μετενέγκοιντο δὲ πόσων ἐτῶν αὐτὸ [3]γενομένων παιδαγωγῷ παραδοτέον, καὶ ποταπῷ τούτῳ, καὶ ἣν συνήθειαν αὐτῷ κατασκευαστέον πρὸς τοὺς γονεῖς, ὅτε μὴ [4]τρέφεται παρ' αὐτοῖς, καὶ πᾶν τὸ ἐμφερῶς ζητούμενον τούτοις, [5]οὐ κατ' ἰατρικάς ἐστιν ὑποθήκας, φιλοσοφωτέραν δέ τὴν διάταξιν ἔσχηκεν, ὥςτε [6]παρὰ τρόπον ἄλλοις ἐπιτρέψαντες φιλοσοφεῖν αὐτοῖς, τὸν περὶ παιδοτροφίας λόγον ἐνθάδε τελειοῦμεν. [7]Συναπηρτυκότες δὲ αὐτῶν [8]πάντα τὸν περὶ τὰ κατὰ φύσιν λόγον, ἀναγκαίως [9]ἐπανιμένειν τὸ πλεῖστον δυναμοῦν τῶν λεγομένων περὶ τῶν παρὰ φύσιν συνισταμένων περὶ τὰς γυναῖκας· καὶ ἵνα καθαρὸν γένηται τὸ ἰδίωμα τῆς [10]πραγματείας, περὶ αὐτοῦ πρῶτον ἐξετάσωμεν τοῦ κατὰ τὸ σημαινόμενον, εἰ ἴδια πάθη γίνεται γυναικῶν.

## ϙα΄. [11]Πρὸς τὰ τῶν μηρῶν καὶ ὤτων παρατρίμματα.

Τὰ δὲ κατὰ μηροὺς παρατρίμματα, μυρσίνην ξηρὰν διαπάσσειν καὶ κυπέρῳ καὶ ῥόδοις· τὰς δὲ τῶν ὤτων ὑγρό-

---

[1]μένη erat. Lob. [2]εἰ add. ex Sched. [3]γενάμενον scribebatur. Lob. [4]Pro τρέφεσθαι scripsi τρέφεται. Lob. [5]οὐκ ατ' P. οὐ κατ' ex Sched. [6]Erat παράτροπον. Lob. [7]ἀπηρτικότες P. συναπηρτυκότες ex Sched. [8]πάντα pro ᾽᾽αντὰ, ut P., ex Sched. [9]Sic! ex Sched. [10]Male πραγματίας. Lob. [11]Capita duo supposita videntur. ex Sched.

τητας ξηραίνειν, ἔριον ἀπὸ στυπτηρίας ἐνθεὶς ἢ οἰνόμελι ἢ οἶνον παλαιὸν [1]ἐνστάζειν ἢ κρόκον μετὰ οἴνου.

## ϙβʹ. Δίαιτα νηπίων καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων συνοπτική.

Τοὺς νηπίους καὶ ἀπὸ τοῦ γάλακτος γεγονότας, ἐν ἀνέσει τε ἐᾶν καὶ ἱλαρότητι· γυμνάσια δὲ καὶ τροφὰς αὐτοῖς προςφέρειν [2]ἐλαφρούς· ἀπὸ δὲ τῶν ἓξ καὶ ἑπτὰ ἐτῶν, τούς τε παῖδας καὶ τὰς κόρας γραμματισταῖς παραδοῦναι πραέσι καὶ φιλανθρώποις· οὗτοι γὰρ μετὰ ἀναστάσεως καὶ χαρᾶς διδάσκουσιν· ἡ δὲ ἄνεσις τῆς ψυχῆς πρὸς εὐτροφίαν σώματος μεγάλα συμβάλλεται. Τοὺς δὲ δωδεκαετεῖς τῶν παίδων πρός τε γραμματικοὺς φοιτᾶν ἤδη καὶ γεωμέτρας, καὶ τὸ σῶμα γυμνάζειν ἀναγκαῖον· ἀπὸ δὲ τῶν τεσσαρεςκαιδεκάτων μέχρι τριῶν ἑβδομάδων ἁρμόσει μαθημάτων ἄσκησις καὶ φιλοσόφων λόγων κατήχησις καὶ γυμνάσια πλείονα παραλαμβάνειν διὰ τὴν ἰσχὺν τοῦ σώματος, ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες ταῖς ὁρμαῖς κωλύωνται χρῆσθαι ταῖς εἰς ἀφροδίσια· συναιρετέον δὲ καὶ τὸν οἶνον ἐπὶ τούτων. Τοῖς δὲ ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ ψυχῆς καὶ σώματος· διὸ γυμνασίοις χρηστέον πᾶσι· μάλιστα δὲ οἷς ἕκαστος ἤθισται καὶ τροφαῖς ἱκαναῖς τε καὶ εὐτρόφοις. Τοῖς δὲ παρακμάζουσι δίαιτα ἁρμόζει ὑφισταμένη καὶ ψυχῆς καὶ σώματος· τά,τε γὰρ γυμνάσια, ὁποῖά ποτ᾽ ἂν ᾖ, κατὰ λόγον τούτων ὑφαιρετέον καὶ τὰς τροφὰς ἐκ προσαγωγῆς συσταλτέον, τῆς ἕξεως αὐτῶν ἀρχὴν ψύξεως λαμβανούσης.

## ϙγʹ. Εἴ ἐστιν ἴδια πάθη γυναικῶν.

Ἡ σκέψις προτείνεται καὶ οὕτως, εἴ ἐστιν ἴδια πάθη θηλειῶν, παρόσον ἐστὶν εἶδος μὲν ἡ γυνή, γένος

---

[1] Sic dedi pro ἐνστάζον. Lob. [2] Sic!

δὲ τὸ θῆλυ· τό δὲ ἴδιον λέγεται μὲν πολλαχῶς, προς δὲ τὰ παρόντα διχῶς, τό τε μὴ ἑτέρου, καθ' ὃ σημαινόμενον ἐσθῆτά τις ἰδίαν εἶναί φησιν ὡς ἰδιόκτητον, καὶ τὸ μὴ ἀλλότριον, καθὸ σημαινόμενον ἑκάτερος τῶν ἀδιαιρέτων ἀδελφῶν [1]ἴδιον λέγεται χωρίον ἢ τὸ ἀνδράποδον, καὶ τὸ [2]καθ' ἑκάτερον πάντως ὑπάρχοντος· περὶ τοῦ προτέρου δὲ τῶν σημαινομένων ἐστὶν ἡ σκέψις. Πάθος δὲ λέγεται, τὸ μὲν κατὰ φύσιν οἷον τὸ συλλαμβάνειν καὶ ἀποτίκτειν καὶ γάλα ποιεῖν· τὸ δὲ παρὰ φύσιν οἷον πυρέττειν· καὶ τοῦ παρὰ φύσιν τὸ μὲν, ὡς καθόλου καὶ γενικὸν οἷον τὸ [3]στεγνὸν, τὸ δὲ μερικὸν καὶ ὑποβεβηκὸς οἷον τὸ φρενιτικὸν ἢ ληθαργικόν. Ἐνέστηκε δὲ μάλιστα ὁ λόγος τοῦ παρὰ φύσιν καθόλου τε καὶ κατὰ μέρος· ἡ δὲ ζήτησις εὔχρηστος ἕνεκα τοῦ μαθεῖν, εἰ καὶ ἰδίας τινὸς θεραπείας χρήζουσιν αἱ γυναῖκες. Καὶ γεγένηται δὲ διαφωνία· τινὲς μὲν γὰρ ὑπολαμβάνουσιν ἴδια πάθη γίγνεσθαι γυναικῶν, καθάπερ οἱ ἀπὸ τῆς ἐμπειρίας καὶ Διοκλῆς ἐν τῷ πρώτῳ τῶν γυναικείων, καὶ τῶν [4]Ἐρασιστρατείων Ἀθηνίων καὶ Μιλτιάδης· τῶν Ἀσκληπιαδείων Ἐλαιούσιος ἐν τῷ τρισκαιδεκάτῳ τῶν χρονίων, καὶ Δημήτριος ὁ Ἀπαμευς· τινὲς δὲ μὴ γίνεσθαι, καθάπερ κατὰ τοὺς πλείστους Ἐρασίστατος καὶ Ἡρόφιλος, ὡς παρασεσημείωται, καὶ Ἀπολλώνιος ὁ Μῦς ἐν τῷ πρώτῳ καὶ τρίτῳ τῆς αἱρέσεως, καὶ Ἀσκληπιάδης κατὰ τοὺς πλείονας, καὶ ὁ Φιλαλήθης Ἀλέξανδρος, Θεμίσων τε καὶ Θετταλὸς καὶ οἱ ἀπ' αὐτῶν. Εἰς μέντοι τὴν συνηγορίαν τοῦ [5]ἴδια πάθη γίνεσθαι γυναικῶν τοιαῦτά τινα φέρεσθαι, γυναικείους τινὰς λέγομεν ἰατροὺς, ὅτι τὰ γυναικῶν θεραπεύουσι

---

[1] Scribebatur Ἴδιον λεγέτω, praecedente interpunctione majori. Lob. [2] Ita pro κατέτερον ex Sched. [3] Method. ex Sched. [4] Ἐρασιστρατιῶν Ἀθηναίων et mox Ἀσκληπιαδίων legebatur. Lob. [5] Male ἰδία.

πάθη, καὶ μαίας [1] ὁ βίος ἐν ταῖς νόσοις εἴωθε παρακαλεῖν, ὅταν αἱ γυναῖκες ἴδιόν τι πάσχωσι καὶ ὃ μὴ κοινόν ἐστι πρὸς τοὺς ἄνδρας· φύσει τε τὸ θῆλυ τοῦ ἄῤῥενος διαφέρει μέχρι τοῦ καὶ Ζήνωνα καὶ Ἀριστοτέλην τὸν [2] Ἐπικούρειον εἰπεῖν ἀτελὲς μὲν εἶναι τὸ θῆλυ, τέλειον δὲ τὸ ἄῤῥεν· ὃ δὲ τῇ ὅλῃ φύσει διαφέρει, τοῦτο καὶ ἰδίας ἐπιδέχεται [3] πήσειν. Ἔτι γε μὴν ἡ μήτρα μέρος ἴδιον γυναικῶν, καὶ τὰ ἐνεργήματα τῆς μήτρας ἐπὶ μόνων τούτων ἐστὶν, οἷον κάθαρσις, σύλληψις, ἀπότεξις· τούτων οὖν τὰ [4] λείποντα γέγραπται ἐν τῷ τέλει [5] καὶ σφήνωσιν· πάθη δὲ ἑπτὰ πρῶτα καὶ ἁπλᾶ διόπερ οὐδὲν ἴδιον ὑποστήσεται πάθος γυναικῶν. Καὶ Ἡρόφιλος ἐν τῷ μαιωτικῷ φησι τὴν ὑστέραν ἐκ τῶν αὐτῶν τοῖς ἄλλοις μέρεσι πεπλέχθαι, καὶ ὑπὸ τῶν αὐτῶν δυνάμεων διοικεῖσθαι, καὶ τὰς αὐτὰς παρακειμένας ἔχειν ὕλας, καὶ ὑπὸ τῶν αὐτῶν αἰτίων [6] νοσοποιεῖσθαι, καθάπερ πλήθους, πάχους, διαφορᾶς τῶν ὁμοίων. Οὐδὲν οὖν ἴδιον πάθος γυναικῶν, πλὴν τοῦ κυῆσαι καὶ τοῦ τὸ κυηθὲν ἐκθρέψαι, καὶ ἀποτεκεῖν καὶ τὸ γάλα [7] πεπᾶναι, καὶ τὰ ἐναντία τούτοις· οἱ δὲ Ἀσκληπιάδειοι κατασκευάζοντες ὡς οὐδέν ἐστι πάθος ἴδιον γυναικῶν, φασὶν, [8] ὅτι τὸ θῆλυ τοῖς ἄῤῥεσιν ἐκ τῶν αὐτῶν συγκέκριται στοιχείων ὥςπερ τῶν ὄγκων, καὶ ὑπὸ τῆς αὐτῆς αἰτίας νοσοποιεῖται τουτέστιν τῆς ἐνστάσεως· [9] ταύτην γὰρ τῶν πλείστων καθ' ὧν συνεκτικὴν εἶναί φασιν, καὶ δι' αὐτῶν θεραπεύεσθαι ποιουμένων τε καὶ προςφερομένων. Οὐδὲν οὖν ἴδιον πάθος θηλειῶν· κοινὴ γὰρ αὐτῶν καὶ ἡ φυ-

---

[1] ὁμοίως ex Sched. Postea εἴωθεν erat. [2] Legeb. Ἐπικούριον. [3] πείσεις legend. Lob. [4] λίποντα P. λείποντα ex Sched. [5] κατὰ σφήνωσιν ex Sched. [6] Scribebatur νοσοποιῆσθαι. Lob. [7] πεπάναι et Ἀσκληπιάδϊοι male. Lob. [8] Dios. praef. adnotatur in marg. MS. Dietz. [9] ταύτης mendose scribebatur. Lob.

σιολογία καὶ ἡ αἰτιολογία καὶ ἡ θεραπεία. [1] Θεμίσων δὲ καὶ Θεσσαλὸς [2] ἔτι παρὰ τὰς ἐν τοῖς ἄλλοις μέρεσι τοῦ σώματος· διὰ τοῦτό φασι μὴ εἶναι ἴδιον πάθος γυναικῶν· καὶ τούτοις μὲν συναινοῦμεν· ἐξαμαρτάνειν δὲ τοὺς ἄλλους ταῖς ἀποδείξεσι· φαμὲν γὰρ οὔτε τὸ τριπλεκὲς εἶναι ἡμῶν τὸ σῶμα, καὶ διακεκρίσθαι μὲν τὰς ὕλας, αἰτίαν δὲ προκαταρκτικὴν μὲν πληθώραν εἶναι τοῦ αἵματος, συνεκτικὴν δὲ τὴν μετέρασίν τε καὶ σφήνωσιν. Πάθη δὲ ἑπτὰ κατὰ γένος, οὐκ ἀληθές, ὡς [3] παρίσταμεν διὰ πολλῶν ἐν ἑτέροις, εἶτα παρὰ τὴν ποιὰν τῶν πρώτων συμπλοκὴν ἐνδέχεται μέρος ἐπὶ θηλειῶν γεγονέναι ἐπιδιάφορον· καὶ γὰρ τὰ λοιπὰ μέρη διαφέροντα κατὰ πολὺ, διὰ τῆς ποιᾶς συγκρίσεως τῶν [4] ἀγγείων ὁ Ἐρασίστρατός φησι γεγονέναι, κἂν μὴ διαφέρῃ τῶν ἄλλων, ἐνδέχεται πάσχειν αὐτῷ διαφόρως, ὅτι καὶ τὸ αὐτὸ μέρος ποτὲ μὲν [5] στεγνοπαθεῖ, ποτὲ δὲ ῥευματίζεται· τὰ δὲ ὅμοια καὶ πρὸς Ἡρόφιλον λεκτέον καὶ πρὸς Ἀσκληπιάδην, καταψευδόμενον μὲν τῶν στοιχείων, καταψευδόμενον δὲ καὶ τῆς αἰτίας. Εἶτα καὶ τὴν ἔνστασιν οὐ πάντων, ἀλλὰ τῶν πλείστων συνεκτικὴν εἶναί φησιν δια τὸ τὸν βούλιμον καὶ ὕδρωπα καὶ τὸν πρὸς τῇ ὑπεκλύσει πυρετὸν ὑπ᾽ ἄλλης αἰτίας συνέχεσθαι· δύναται τοίνυν ὅσον ἐφ᾽ ἑαυτῶν συστῆναί τι πάθος ἴδιον γυναικῶν, [6] οὐχ ὑπ᾽ ἐντάσεως γινόμενον ὡς ἐπὶ τῶν δυςτοκιῶν. Κατὰ ψιλὴν μὲν οὖν τὴν ἀπόφασιν πάντες οὗτοι καλῶς ἠνέχθησαν· κατὰ δὲ τὰς ἀποδείξεις ἐσφάλησαν· ἡμεῖς μέντοι κατὰ φύσιν ἴδια πάθη λέγομεν γυναικῶν οἷον τὸ συλλαμβάνειν καὶ ἀποτίκτειν καὶ γαλακτουργεῖν, εἰ ταῦτα βούλεταί τις τὰ ἔργα πάθη προςαγορεύειν. Παρὰ φύσιν

---

[1] Methodici. ex Sched. Male *Θεμίσσων*. Lob. [2] Pro *ἐπὶ* dedi *ἔτι*. Lob. [3] Sic pro *παριστᾶμὲν* sensus postulat. Lob. [4] *ἀγκείων* legebamus. Lob. [5] *στεγνοπαθεῖν* P. —*παθεῖ* ex Sched. [6] *οὐκ* et statim *δυςτοκυιῶν* male scribeb.

δὲ κατὰ γένος μὲν οὐδαμῶς· κατ' εἶδος δὲ καὶ κατὰ μέρος· ὅσον μὲν γὰρ ἐπὶ τοῖς ἀναβεβηκόσι κοινῶς τοῖς ἄῤῥεσι νοσεῖ τὸ θῆλυ στεγνοπαθοῦν καὶ ῥευματιζόμενον ὀξέως ἢ χρονίως, τάς τε αὐτὰς τῶν καιρῶν διαφορὰς ὑπομένον, καὶ τὸ μέγεθος τῆς νόσου, καὶ τὴν ἀτονίαν τῆς δυνάμεως, καὶ τὰς ἐν τοῖς ἀλλοτρίοις ἕλκεσί τε καὶ τραύμασι διαφοράς· ὅσον δὲ ἐπὶ τοῖς κατὰ μέρος, καὶ ἰδικὴν ἔχουσι τὴν παραλλαγὴν, ἰδίοις κέχρηται πάθεσι τουτέστι συμπτωμάτων χαρακτῆρσι διαφόροις· ὅθεν καὶ ὑπὸ τὴν αὐτὴν κατὰ γένος ἄγεται θεραπείαν, ὅπερ πλατύτερον διὰ τῶν ἑξῆς ῥηθησομένων ἔσται κατανοῆσαι.

## ϞΔ΄. Περὶ ἐποχῆς ἐμμήνων καὶ στραγγῆς καὶ μετὰ πόνου καθάρσεως.

Τῶν ὑπαγομένων διαίτῃ παθῶν, περὶ πρώτης διαλαμβάνομεν ἐποχῆς ἐμμήνων, [1]ἐπεὶ καὶ πρῶτον ἔργον ὑστέρας ἡ κάθαρσις· διαφέρει δὲ τῆς ἐποχῆς ἡ μετὰ πόνου στραγγὴ κάθαρσις, ὡς καὶ τῆς ἰσχουρίας ἡ στραγγουρία· καὶ [2]ἰσχουρία [3]παντελῶς μὲν οὖν κώλυσίς ἐστι τοῦ διὰ μήτρας φερομένου κατὰ φύσιν αἵματος· ἡ ἐποχὴ δὲ παραποδισμὸς τῆς ἀποκρίσεως ἡ στραγγὴ κάθαρσις. Ἕτερον δέ ἐστι καὶ τὸ μὴ καθαίρεσθαι τοῦ ἐπέχεσθαι τὸ ἔμμηνον· τῇ μὲν γὰρ ἐποχῇ καὶ τὸ μὴ παρεῖναι τὴν κάθαρσιν συμβέβηκεν· τῷ δὲ μὴ καθαίρεσθαι οὐ πάντως καὶ τὸ [4]ἐπέχεσθαι τὸ ἔμμηνον, οἷον ἐπὶ προηλίκων καὶ πρεσβυτίδων καὶ ἄλλων τινῶν ἐμφερῶν· ἄτοπον γὰρ ἐπὶ τούτων, ἐποχὴν λέγειν ἐμμήνων, ἐφ' ὧν οὐδὲ παράκειται τὸ καθαρθησόμενον. Ἐντεῦθεν ἐπαναβεβηκὸς μὲν τὸ μὴ καθαίρεσθαι καὶ κοινὸν τοῦ παρὰ φύσιν καὶ κατὰ φύσιν· ὑποβεβηκὸς δὲ καὶ πάντοτε παρὰ φύσιν τὸ

---

[1]Pro ἐπὶ scripsi ἐπεὶ. Lob. [2]ἰσχαιμία ex Sched. [3]Scrib. παντελής. Lob. [4]ἀπέχεσθαι inepte praebebatur. Lob.

ἐπέχεσθαι τὶ ἔμμηνον. Τῶν οὖν μὴ καθαιρομένων αἱ μὲν μηδεν ἔχουσαι πάθος οὐ καθαίρονται φυσικῶς, ἢ διὰ τὴν ἡλικίαν, καθάπερ αἱ λίαν νέαι καὶ πάλιν πρεσβύτιδες [1]καὶ συνειληφυῖαι καὶ ἀνδρώδεις καὶ στεῖραι, φωνάσκοι τε καὶ γυμναστικαὶ, καὶ μηδενὸς ἐπ' αὐτῶν εἰς κάθαρσιν περισσεύοντος ἐξαναλισκομένου ὑπὸ τῶν γυμνασίων, ἢ μεταβάλλοντος εἰς σάρκας· αἱ δὲ διὰ νόσον τῆς μήτρας ἢ τοῦ ἄλλου σώματος ἢ ἑκατέρων, ὑστέρας μέντοι ἀτρήτου λεγομένου συμπτώματος ὑποστάντος, ἢ περιτυλώσεως ἢ [2]σκύρου ἢ φλεγμονῆς ἢ οὐλῆς ἐφ' ἑλκώσει γενομένης, ἢ μύσεως περὶ τὸ στόμιον διά τε ἄλλα καὶ μακρὰν [3]χηρείαν, ἢ παρεγκλίσεως· τοῦ τε ἄλλου σώματος οἷον ἀτροφίας περὶ αὐτὸ γινομένης καὶ πολλῆς ἰσχνώσεως καὶ συντήξεως, ἢ πιμελώδους σαρκὸς παρεγχύσεως ἢ καχεξίας ἢ πυρετῶν καὶ μακρᾶς ἀῤῥωστίας, ἢ δι' αἱμοῤῥοΐδων ἢ δι' ἐμέτων ἢ τῆς διὰ ῥινῶν αἱμοῤῥαγίας, ἢ τῆς ὕλης εἰς ταῦτα τὰ μέρη μεταλαμβανομένης. [4]Τὰς μὲν οὖν φύσει μὴ καθαιρομένας καταληψόμεθα διὰ τοῦ κατὰ φύσιν ἔχειν καὶ ἀνενοχλήτως διάγειν τῷ τε ὅλῳ σώματι καὶ τῇ ὑστέρᾳ, καὶ μηδέποτε κεκαθάρθαι· τὰς δὲ παρὰ φύσιν οὔτως· δι' ἡλικίαν μὲν οὖν οὐ καθαίρονται αἱ νεώτεραι τῶν τεσσαρεσκαίδεκα ἐτῶν καὶ αἱ τῶν πεντήκοντα ἐτῶν πρεσβύτεραι· ἀλλὰ καὶ στεῖραι καὶ αἱ ἐν γαστρὶ ἔχουσαι φυσικῶς [5]οὐ καθαίρονται, μηδενὸς εἰς κάθαρσιν ἐπ' αὐτῶν περιττεύοντος ὡς εἴπομεν, ἀλλ' ἐξαναλισκομένου ὑπὸ τῶν γυμνασίων. Καὶ τὸ σύμπαν εἰπεῖν, ταῖς θερμοτέραις τῶν γυναικῶν καὶ ταῖς [6]ὑπὲρ τὸ δέον γυμναζομέναις καὶ ἀγροίκοις οὐ πάνυ δαψιλεῖς αἱ καθάρσεις γίνονται· ὅταν οὖν εἴτε διὰ τὴν φυσικὴν κρά-

[1]Fort. hic delendum *καὶ*, in sqq. et *περισσεύοντος, ἀλλ'* scribendum, ut infra. Lob. [2]Leg. *σκιῤῥοῦ*. Lob. [3]Ita scripsi pro *χηρίαν* et *αἱμοῤῥαΐας*. Lob. [4]In sqq. potestas data erat conferendi Aetii MS. libr. XVI. Cap. 59. [5]*οὐ καθαίρονται* om. in Soran.; add. Aet. MS. [6]*ὑπὲρ* pro *ὑπὸ* opus erat. Lob.

σιν, εἴτε δι' ὑπερβολὴν γυμνασίων πολὺ θερμοτέρα τοῦ δέοντος γένηται ἡ γυνὴ, οὐ καθαίρεται· πᾶσα γὰρ ὑπέρμετρος θερμότης ξηραίνει τὰ σώματα· ἀλλὰ καὶ [1]τὸ φύσει θερμὸν σῶμα πρὸς τὰς πέψεις τῶν σιτίων ἄριστα ἔχει, καὶ περιουσίαν οὐδεμίαν ἐγκαταλείπει περιττὴν ἐν τῷ σώματι. Τὸ σύμπαν μὲν οὖν αἱ τοιαῦται ἀνδρώδεις εἰσὶ [2]καὶ μελαγχρῶτες καὶ μεμυωμέναι καὶ νεύροις [3]σύντονοι, φλεβώδεις, γλουτοῖς καὶ ὀσφύϊ μείονες· στέρνοις καὶ ὤμοις εὐρύτεραι· τιτθοὶ στερεοὶ, φωνὴ βαρεῖα, ἰσχυρότεραι καὶ δασύτεραι· ὅσαι τοιαῦται, ἢ οὐδόλως καθαίρονται ἢ [4]σμικρότατα. Ἕτεραι δὲ αἰτίαι τοῦ μη καθαίρεσθαι αὗται· τῇ μὲν πιμελωδέστερον τὸ σῶμά ἐστι, τῇ δὲ ἰσχνότερον· αἱ μὲν οὖν πιμελώδεις ἀναιμότεραι τῶν ἄλλων καὶ σμικρὰ τὰ φλεβία ἔχουσι, καὶ αὐτὸ τὸ ἐνυπάρχον αὐταῖς ὀλίγον αἷμα, εἰς τὴν πιμελὴν δαπανᾶται. Τεκμήριον δὲ τούτου, ὅτι οὐ [5]κυίσκουσιν αἱ τοιαῦται, καὶ εἰ κυήσαιέν ποτε, ἰσχνὰ καὶ ἀσθενῆ τὰ παιδία τίκτουσι· πῶς ἂν οὖν καθαίροιντο, αἷς οὔτε αἷμά ἐστι πολὺ, οὔτε μεγάλαι φλέβες; αἱ δὲ ἰσχνότεραι, ἐκ νόσων τινῶν πολυχρονίων λεπτυνθεῖσαι δηλονότι, οὐδὲ ὅλως ἔχουσιν αἷμα περιττὸν ἐν τῷ σώματι. Ἐπέχεται δὲ ἡ κάθαρσις καὶ ἐφ' ὧν τὸ αἷμα ἢ παχύτερον ἢ γλισχρότερον ἢ ψυχρότερον γένοιτο ἢ δι' ἑτέρων τόπων φέροιτο, οἷον διὰ μυκτήρων ἢ ἕδρας· ἔνιαι δὲ καὶ ἐκ θώρακος πτύσασαι αἷμα οὐκ ἔτι ἐκαθάρθησαν· ἄλλαι δὲ καὶ φλεβοτομηθεῖσαι ἀκαίρως ἐπεσχέθησαν τὴν ἔμμηνον κάθαρσιν. Καὶ ἐκκρίσεις δὲ ἄλλαι γενόμεναι ἐπέχουσι τὰς ἐμμήνους καθάρσεις, οἷον ἱδρώτων πλῆθος, ἔμετοι

---

[1] τὸ φύσει θερμὸν σῶμα] Aet. MS. φύσει θερμῷ σῶμα P. [2] Iteratum καὶ additur ex Aet. MS. [3] σύντονοι Aet. MS συντόνως P. [4] Sic recte Aet. MS. σμικρότητα P. [5] Ita Aet. MS. κυίσκονται P. Scribendum erat κυΐσκουσιν.

συνεχεῖς, [1]διάῤῥοιαι πύον ἐξέλκουσαι δαψιλὲς, καὶ τὰ περὶ τὸ δέρμα ἐξανθήματα αὐτά. Ταῦτα γὰρ πάντα καὶ ἐμποδὼν γίνεται ταῖς καθάρσεσι· καὶ ὅσα νοσήματα ὀξέα καὶ χρόνια συμβαίνει, καὶ μάλιστα τὰ μεγάλα οὐκ ἐᾷ τὰς ἐπιμηνίους καθάρσεις γίνεσθαι· καὶ τροφαὶ αἴτε ὀλίγαι καὶ αἱ πλείους κωλύουσιν. Ἀπὸ μὲν τοῦ ὀλίγου, τάχα ἀπέλθοι ἄν [2]τι βραχὺ· τὸ δὲ πολὺ στενοχωρούμενον, οὐκ ἰσχύει ἐκκρίνεσθαι· [3]δηλοῖ δὲ ἡ θεραπεία· καὶ γὰρ αἱ διὰ πλῆθος οὐ καθαιρόμεναι, φλεβοτομηθεῖσαι παραχρῆμα καθαίρονται· σιτία δὲ τὰ μὲν παχέα καὶ φλεγματώδη πάντα, πολέμια ταῖς καθάρσεσι· τὰ δὲ δριμύτερα, εὔρουν παρασκευάζει τὸ αἷμα· καὶ οἴνων οἱ παχεῖς καὶ νέοι οὐκ ἐπιτήδειοι· καὶ ὑδάτων τὰ ψυχρὰ καὶ σκληρὰ, καὶ πόνοι ὑπὲρ δύναμιν, καὶ [4]ἀργίαι μαλακώτεραι· ταῦτα μὲν περί τε τὸ πᾶν σῶμα καὶ τὴν δίαιταν ἐπισκέπτεσθαι χρή· περὶ δὲ τὴν ὑστέραν, μύσεις τε καὶ διαστροφαὶ τοῦ αὐχένος, σκληρότητες, φλεγμοναὶ, ἀτροφίαι, παραλύσεις, [5]ψύξεις, διάτασις, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα παθήματα· πρόςεστι δὲ ἐπισκέπτεσθαι, μή τινα ἐμφράττοντα τὸ τῆς ὑστέρας στόμα κωλύει τὴν τοῦ αἵματος ἔξοδον· καὶ γὰρ πῶροι αὐτόθι γινόμενοι ἢ ὑπερσαρκώματά τινα ἢ πιμελὴ πολλὴ πολλάκις διεκώλυσε τὴν κάθαρσιν· τισὶ δὲ ἐξ ἀρχῆς ἐπίφυσις [6]ὑμένων περὶ τὸν τράχηλον τῆς ὑστέρας ἢ τὸ στόμα γέγονεν ὡς ἐπὶ τῶν ἀτρήτων λεγομένων, ἃς ἀδύνατον καθαρθῆναι, εἰ μὴ οἱ ἐμφράττοντες τοὺς [7]πόρους ὑμένες τρηθεῖεν· τισὶ δὲ ἕλκη γενόμενα ἐν ὑστέρᾳ, εἶτα ἐπουλωθέντα, ἀπετύφλωσε τὰ στόματα τῶν εἰς τὴν μήτραν κομιζόντων τὸ αἷμα ἀγγείων, αἵτινες καὶ ἀνίατοι εἰσίν· ἔνιαι

---

[1]διάῤῥοιαι, πύον ἐξ ἕλκους δαψιλὲς, Aet. MS. [2]Ita Aet. MS. τοι P. [3]δήλη Aet. MS. [4]ἀργίαι αἱ μακρότεραι. Aet. MS. [5]ψύξις Aet. MS. [6]Ita Aet. MS. ὑμένος P. [7]τόπους Aet. MS.

δὲ ἐκτρώσασαι, [1]ἡλκώθησαν τὸ στόμα τῆς ὑστέρας· καὶ συνουλωθέντων τῶν ἑλκῶν, σύμφυσις [2]ἤτοι ἔμφραξις παρηκολούθησεν, ἥτις [3]ἀπέκλεισε τάς τε ἄλλας τῆς μήτρας διαπνοίας, καὶ τὴν τοῦ αἵματος ἔκκρισιν· ἐπέχεται δὲ τὸ καταμήνιον καὶ διὰ φροντίδα ὑπερβάλλουσαν, καὶ διὰ φόβον ἰσχυρὸν, καὶ [4]διὰ λύπην μεγίστην. [5]Μὴ [6]καθαιρομένῃ τοίνυν γυναικὶ ὡς εἴθισται κίνδυνος [7]καὶ αἷμα πτύσαι καὶ ἀπόπληκτον γενέσθαι· παρέπεται γὰρ ταύταις ἐπεχομένων τῶν συνήθων ἐκκρίσεων συμπτώματα χαλεπὰ, οἷον βάρους αἴσθησις ἐν ὅλῳ τῷ σώματι καὶ [8]ἄση καὶ ἀνορεξία καὶ ἀνωμαλία καὶ φρικώδεις διαδρομαὶ [9]συνεδρεύουσιν ὀδύναι τε κατ' ὀσφὺν καὶ μηροὺς καὶ τράχηλον καὶ βρέγμα καὶ κατὰ τὰς τῶν ὀφθαλμῶν βάσεις, [10]πυρετοί τε συνεχεῖς, καὶ οὖρα μελαινόμενα μετ' ἐρυθροῦ τινος ἰχῶρος, καὶ δυςουριῶσιν· ἔνιαι δ' αὐτῶν καὶ εἰς μελαγχολίαν ἢ μανίαν ἐνέπεσον. [11]Σημειωτέον τοίνυν τῇ ἡλικίᾳ τῇ ἐντεύξει γνωριζομένῃ τῇ ἀνακρίσει τοῦ πλήθους τῶν ἐτῶν, τὴν δὲ σύλληψιν, ἐξ ὧν ἔμπροσθεν ὑπεδείξαμεν· τὰς δὲ ἀνδρώδεις συγκρίνομεν ἐκ τῆς ὄψεως· τὸ δὲ ἐπιτήδευμα καὶ τὸν βίον ἐκ τῆς ἀνακρίσεως· τὰς δὲ διὰ νόσον τῆς μήτρας, ἡ τοῦ ἄλλου σώματος ὑγεία· τὰς δὲ διὰ [12]πάθος περὶ τοὺς γυναικείους τόπους, ἢ τῶν ἄλλων ὄγκον ὑποπίπτειν, καὶ πρότερον πεφηνυῖαν τὴν κάθαρσιν μηκέτι παρεῖναι, τῆς γυναικὸς

---

[1] εἱλκ. P. [2] ἤτοι ἔμφρ.] om. P. [3] ἀπέκλυσε P. ἀπέκλεισε Aet. Cod. Paris. 2193. ἐκώλυσε Aet. Cod. Paris. 2191. [4] διὰ om. P. [5] Hinc orditur in Aetio cap. 58. [6] καθαιρομένῃ — γυναικὶ] καθαιρομένης — γυναικὸς Aet. MS. [7] καὶ add. Aet. MS.; om. P. [8] ἄσαι καὶ ἀνορεξίαι Aet. Cod. 2191. [9] In Aetii Cod. 2193. sequuntur post συνεδρεύουσιν verba haec: ὡς ἐπὶ τῶν συνειληφυιῶν· ἰδίως δὲ καὶ σκληρίου· μέμυκε δὲ αὐταῖς ὁ αὐχὴν τῆς ὑστέρας, ὀδύναι τε et cetera, ut in P. [10] πυρετοί τε Aet. MS. πυρετοὶ sine τε P. [11] Sorani Codex pergit solus. [12] πάθος pro inepto πάθους posui. Lob.

[1]ἔτι ἀκμαζούσης, καὶ βάρος ὀσφύος ἢ διάτασιν ἢ πόνον ἐφηβαίου τε καὶ βουβώνων παρακολουθεῖν, ἢ ἀνατροπὴν στομάχου καὶ ὑπτίωσιν, ἦχόν τε τῶν ὤτων καὶ παραποδισμὸν τῆς ὁράσεως, ἢ κεφαλῆς βάρος ἢ πόνον ἢ πύρωσιν προσώπου, καὶ κύρτωσιν ἀγγείων τῶν περὶ τὸ ἰνίον, καὶ τὰς ῥίζας τῶν ὀφθαλμῶν ἀλγεῖν· συνδραμόντος δέ ποτε τοῦ μὴ καθαίρεσθαι διά τινα τῶν κατὰ φύσιν προφάσεων, οἷον εἰ τύχοι σύλληψιν παρεῖναι, καὶ πάθος τῶν εἰωθότων, ἐπέχει τὸ ἔμμηνον. [2]Ἐπισυντιθέντες τὰς σημειώσεις καταλαμβάνομεν ὅτι [3]ὃ μὴ τὸ τοῦ πάθους λόγῳ γέγονεν ἡ ἐποχή· κἂν διαλάθῃ δὲ, βλαβερὸν οὐδέν, ἐπεὶ μηδὲν ἐξαιρέτως πρὸς τὴν ἐποχὴν τῶν ἐμμήνων πράττομεν· ἐξ εὐθείας δὲ πᾶσαν τὴν ὑποκειμένην νόσον ἀνασκευάζομεν, εἴτε ἐπέχει τὸ ἔμμηνον εἴτε καὶ μή. Τὰς μὲν οὖν δίχα πάθους μὴ καθαιρομένας δι' ἡλικίαν, οὐ φυσικῶς οὐ δεῖ θεραπεύειν· οὐδὲν γὰρ ἐνοχλοῦνται, καὶ ἄλλως μεταθεῖναι φύσιν, ἢ ἀδύνατον ἢ οὐ ῥάδιον, ἔσθ' ὅπου δὲ καὶ ἐπισφαλές. Εἰ γὰρ [4]ἐναντίωται τῷ κατὰ φύσιν τὸ παρὰ φύσιν, ἀνάγκη τὸ κατὰ φύσιν μεταλαμβανόμενον εἰς τὸ ἐναντίον γενέσθαι παρὰ φύσιν· τὰς δὲ διὰ γυμναστικὴν ἀγωγὴν ἢ ἀναφωνήσεις εὐτόνους μὴ καθαιρομένας, οὐδέ αὐτὰς δεῖ θεραπεύειν, ἅτε μηδὲ πάθος ἐχούσας ἠδέναι [5]κατ' οὐμὲ συλλαμβάνειν, ἐπιζητοῖεν τὴν κάθαρσιν. Τρυφερώτερον αὐτὰς ἀκτέον κατ' ἐπίτασιν τοῦ ἐμπράκτου τῆς διαίτης, ἵνα μὴ θηλύτερα τὰ σώματα γένηται· τὰς δὲ διά τι πάθος μὴ καθαιρομένας, ἀκολούθως τῷ πεποιηκότι πάθει τὴν ἐποχὴν τῶν ἐμμήνων θεραπευτέον, περικόπτοντα μὲν τὸν ὑμένα ἢ τὴν σάρκα ἐπὶ τῶν ἀτρήτων,

---

[1]ἐπὶ P. Placuit ἔτι. Lob. [2]ἐπισυντεθέντες P. ἐπισυντιθέντες ex Sched. [3]Scrib. μὴ τῷ. Lob. [4]Leg. aut ἐναντιοῦται aut ἠναντίωται. Lob. [5]κατὰ μὲν ex Sched.

μαλάσσοντα δὲ καὶ μετασυγκρίνοντα τὴν περιτύλωσιν καὶ τὸν [1]σκίῤῥον, χαλῶντα δὲ παρηγορικῶς τὴν φλεγμονὴν, λεπτύνοντα δὲ ὥς ἐστι τὴν οὐλὴν, ἀνιέντα δὲ τὰς μύσεις καὶ παρεγκλίσεις, ἀναλαμβάνοντα δὲ καὶ σαρκοῦντα τὰς ἰσχνὰς καὶ ἀτρόφους, μεταβάλλοντα δὲ τὰς καχεξίας καὶ τὴν πιμελὴν [2]καθαιροῦντα, καὶ λούοντα μὲν τὰς πυρεσσούσας, ἀνασκευάσαντα δὲ πᾶν ἀῤῥώστημα ἢ νέον ἢ χρόνιον, καὶ τὰς μὲν αἱμοῤῥοΐδας αἴροντα, ἀναστέλλοντα δὲ τὸν ἔμετον καὶ τὴν ἀπὸ ῥινῶν [3]αἱμοῤῥαγίαν, ὧν ἑνὸς ἑκάστου τὴν ἰδικὴν ἐπιμέλειαν ἐκ μέρους μὲν ἐν τοῖς ἄλλοις θεραπευτικοῖς εἰρήκαμεν, ἀπὸ μέρους δὲ ἐνταῦθα παραδώσομεν. Ἁρμόσει μέντοι κἂν διὰ τὴν περὶ τῷ ἄλλῳ σώματι νόσον [4]ἐπέχῃ τε τὸ ἔμμηνον καὶ τοπικῶς τῆς μήτρας [5]ἐπιμελεῖσθαι διὰ τρίψεως καὶ τῶν στερεοποιεῖν δυναμένων καθὼς μικρὸν ὕστερον ἐροῦμεν. Ἐπεὶ δὲ κοινῶς στεγνώσεως περὶ τὴν ὑστέραν γενομένης ποτὲ μὲν παντελῶς ἐπέχεται τὸ ἔμμηνον, ποτὲ δὲ [6]στράγγως φέρεται καὶ μετὰ πόνων, ὁπότε στρόφοι συνεδρεύουσιν καὶ ὀδύναι βουβώνων, ὀσφύος, ἐφηβαίου, ποτὲ δὲ κεφαλῆς τε καὶ τραχήλου, τενόντων τε ὀμμάτων, καὶ ἰσχίων καὶ μηρῶν, καὶ μαστῶν διογκώσεις, ἀνορεξίαι τε καὶ πυρώσεις, καὶ ἀναξηρασμὸς τῶν γυναικείων τόπων, ἅπερ κατὰ τὴν προθεσμίαν γίνεσθαι τῆς καθάρσεως τῶν οὕτως διακειμένων [7]συμβαίνει, ἐκθησόμεθα τὴν ἐπιμέλειαν. Ὅταν οὖν ἀρχήν τινα οἱ πόνοι [8]λαμβάνωσιν ἢ παντελῶς ἐπισχεθῇ τὸ ἔμμηνον, κατακλιτέον ἐν οἰκήματι συμμέτρως ἀλεεινῷ τε καὶ φωτεινῷ, καὶ φυλακτέον ἐφ᾽ ἡσυχίας, ἐγρηγόρσεως δὲ καὶ παντὸς

---

[1] Ita scripsi pro σκύρον. Lob. [2] καθαιροῦνται et postea αἴροντας legebatur. Lob. [3] Male αἱμοῤῥαΐαν, ut supra. [4] Pro ἐπέχῃ τε fort. scribendum ἐπέχηται. Lob. [5] ἐπιτελεῖσθαι P. ἐπιμελεῖσθαι ex Sched. [6] Scrib. στραγγῶς. Lob. [7] Erat συμβαίνειν. Lob. [8] Male λαμβάνουσιν et mox φωτινῷ. Lob.

ἀποχῆς καὶ κούφης διακρατήσεως τῶν ἄκρων καὶ τῶν ἐν περιωδυνίᾳ μερῶν· οὐ μόνον γὰρ ὑπὸ τῆς ἐμφύτου θερμασίας ἀναχαλᾶται τῶν ἐσφιγμένον ἕκαστον, ἀλλὰ καὶ τῇ τῆς [1]ἐπερείσεως ἀντιβάσει κουφίζεται τὸ σφυγματῶδες τοῦ ἀλγήματος. Εἰ δὲ μὴ ἐνδιδώη, καὶ θερμάσματά τινα παραληπτέον ἤτοι ῥάκη θερμὰ ἢ ὠμόλινα, καὶ ἔρια καὶ πυριατῆρας [2]θερμοῦ ὕδατος πεπληρωμένους ἢ κύστεις θερμὸν ἔλαιον περιεχούσας ἢ ὠμήλυσιν ἐν μαρσίποις χλιαροῖς, ἢ σπόγγον ἐν ζεστῷ [3]ὕδατι ἀποτεθλιμμένον καὶ ῥάκη περιειλημμένα, ὥςτε μὴ ψυγῆναι ἐκ τῆς νοτίδος τοὺς τόπους, παρηγορηθῆναι δὲ πειθηνίως διὰ τῆς τῶν ἀτμῶν ἐπιφορᾶς· μετὰ δὲ ταῦτα, μαλακὸν καὶ καθαρὸν ἔριον ἐλαίῳ γλυκεῖ καὶ θερμῷ διαβραχὲν καὶ ἀποθλιβὲν περιβλητέον ἐφηβαίῳ καὶ ἐπιγαστρίῳ σὺν ὀσφύϊ καὶ ἰσχίοις, ἵνα συνεχῶς θερμοτέρῳ [4]προςεμβρεκτέον· καὶ διάκλυσμα καὶ ποτὸν ὕδωρ δοτέον θερμόν. Κούφης δὲ οὔσης τῆς ἐπιτάσεως, καὶ ὑπνοῦν ἐπιτρεπτέον· χρηστεόν δὲ καὶ καταπλάσμασι τοῖς διὰ λινοσπέρμου ἢ ἄρτῳ φυρατῷ δι' ὑδρομέλιτος θερμοῦ, καὶ τοῖς ὑποδειχθησομένοις ἐγκαθίσμασι· καὶ τῆς πρώτης ἐνστάσης διὰ τρίτου τῇ διὰ τοῦ [5]ἀλίμματος ἀποθεραπίᾳ, προςκλύσματί τε καὶ τροφῇ θερμῇ καὶ ἁπλῇ. [6]Στραγγὴ κάθαρσις δὲ ὠνόμασται ἐκ τοῦ κατὰ σταγόνα καὶ μετ' ὀδύνης χαλεπῆς [7]τρυχούσης τὸ βάθος, ἐκκρίνεσθαι τὸ αἷμα· [8]φαίνεται δὲ παραπλήσια τινὰ γίνεσθαι ἐπὶ τῆς ὑστέρας παθήματα, τοῖς συμβαίνουσι παθήμασιν ἢ συμπτώμασιν τῇ [9]οὐροδόχῳ κύστει· καὶ γὰρ ἐπ' ἐκείνης ἢ τελείως ἐπέχεται τὸ οὖρον καὶ λέγεται ἰσχουρία, ἢ κατὰ

---

[1] *ἐπερίσεως* erat. *ἐνδιδώη*] Scrib. *ἐνδιδῴη*. Lob. [2] Scripsi *θερμοῦ* et statim *ὠμήλυσιν* pro *θερμοὺς* et *ὠμὴ λύσιν*. Lob. [3] Scribebatur *ὕδωρ* et *περιειλημμένον*. Lob. [4] Erat *προςενβρ.* [5] Leg. *ἀλείμματος ἀποθεραπείᾳ*. Lob. [6] Inde rursus comparatum est Aet. MS. [7] Sic Aet. MS. *τρυχώσης* P. [8] Ita Aet. MS. *φαίνην* P. [9] *οὐρηδόχῳ* Aet. MS.

σταγόνα φέρεται καὶ λέγεται [1]στραγγουρία, ἢ μετὰ δυσχερείας τινὸς φέρεται καὶ λέγεται δυσουρία· πέντε δὲ τὸν ἀριθμὸν κατ' εἶδος αἰτίαι τὴν στράγγην ἐργάζονται κάθαρσιν, πόρων στένωσις ποικίλως γινομένη, δυνάμεως ἀσθένεια, αἵματος πλῆθος, αἷμα φλεγματῶδες, αἷμα τρυγῶδες· τἀναντία τοίνυν τῇ παρεμποδὼν γινομένῃ αἰτίᾳ μηχανητέον ἐστί· καὶ τὸ μὲν πλῆθος κενωτέον, τὸ δὲ πάχος λεπτυντέον, τὴν δὲ ἀσθενῆ δύναμιν ῥωστέον, τὴν δὲ τῶν πόρων στένωσιν ἀνοικτέον· ζητητέον μέντοι τὴν αἰτίαν τῆς [2]στενώσεως καὶ ταύτην περιαιρετέον· ἀρθέντων γὰρ τῶν ἐργαζομένων τὴν διάθεσιν αἰτίων, καὶ ἡ κάθαρσις ἀπαρεμποδίστως διὰ πάσης [3]ὀδύνης ἀπαντᾷ· ὅπως δὲ χρὴ ἐνίστασθαι πρὸς ἕκαστον τῶν αἰτίων, τὰ μὲν ἤδη προείρηται ἐν ταῖς ἀρχαῖς, τὰ δὲ ἐφεξῆς ἐν τοῖς κατὰ πάθος εἰρήσεται· νυνὶ δὲ πρόκειται λέγειν, ὅπως δεῖ παραμυθεῖσθαι τὰς [4]ἐμπιπτούσας ἐν τοῖς παροξυσμοῖς χαλεπὰς ὀδύνας. Ἀρχομένων τοίνυν τῶν παροξυσμῶν, κατακλίνειν δεῖ τὴν πάσχουσαν ἐν οἰκήματι συμμέτρως μὲν ἀλεεινῷ, μηδὲ φωτεινῷ σφόδρα· ταινίαις δὲ περιλαβεῖν ἄκρα χειρῶν καὶ ποδῶν, μηδὲν δὲ [5]παρεθίζοντι πεσσῷ χρῆσθαι, ἐφ' ὑδροποσίας τε τηρεῖν καὶ φυλάττεσθαι πάντων [6]τὴν δριμέων πομάτων [7]καὶ σιτίων προσφορὰν, καὶ μάλιστα φυσωδῶν· θάλπειν τε τὸ ἦτρον καὶ [8]τὸ ὑπογάστριον καὶ τὰ ἰσχία ποικίλοις κεχρημένον θερμάσμασι, τοῦτο μὲν ἔρια [9]ὑσηπηρὰ οἴνῳ καὶ ῥοδίνῳ θερμῷ [10]βεβρεγμένα ἐπιτιθέναι [11]τῷ ὑπογαστρίῳ καὶ ἐφηβαίῳ, τοῦτο δὲ καὶ τοῖς λεγο-

---

[1] στραγγουρία — λέγεται] desunt in Sorani Cod. [2] Sic Aet. MS. στεγνώσεως P. [3] αἰτίας Aet. MS. Fort. δίχα pro διὰ. Lob. [4] Ita Aet. MS. ἐκπιπτ. P. [5] παρεθίζοντα P. παρερεθίζοντι Aet. MS. Dedi παρεθίζοντι. Lob. [6] τὴν om. P. [7] καὶ om. P. [8] τὸ et τὰ om. P. [9] Sic P. Deest in Aet. MS. Leg. οἰσυπηρὰ. Lob. [10] βεβρεγμένα ἐπιτιθέναι] Aet. MS. ἐπιτιθέντα P. [11] τῷ — ἐφηβαίῳ] add. Aet. MS.; om. P.

μένοις φακωτοῖς πυριατηρίοις [1]κεχρημένον. Εἰ δὲ [2]ἐπιμένει ἡ ὀδύνη καὶ ἡ δύναμις ἀντέχει, τέμνειν [3]δεῖ τὴν [4]ἐναγκώνιον φλέβα, καὶ ἀφαιρεῖν πρὸς δύναμιν, καὶ πάλιν ταῖς αὐταῖς ἐμβροχαῖς χρῆσθαι· εἰ δὲ ἔτι ἐπιμένει ἡ ὀδύνη καταπλάττειν τοῖς διὰ λινοσπέρμου καὶ ἄρτου καὶ ὑδρομέλιτος, ἔσθ' ὅτε [5]δὴ καὶ τερεβινθίνης συντακείσης· χρῆσθαι δὲ καὶ τοῖς ἐγκαθίσμασιν ἐν ἀφεψήματι ἀλθαίας, [6]λινοσπέρμου, τήλεως, ἀνήθου, πηγάνου, ἀρτεμισίας· καὶ σπόγγοις [7]τε ἐκ τοῦ τοιούτου ἀφεψήματος πυριᾷν τὸν κόλπον· καὶ πήγανον λεῖον μέλιτι ἀναλαβὼν καὶ ἐμπλάσας ὀθονίῳ, [8]ἐπιτίθει τῇ ἥβῃ καὶ τῷ ὑπογαστρίῳ· ἐνίοτε δὲ καὶ αὐτὸ τὸ αἰδοῖον τῷ τοιούτῳ καταπλάσματι σκέπειν· καλὸν δὲ καὶ εἰς αὐτὸν τὸν κόλπον ἐγχέειν διὰ μητρεγχύτου ἔλαιον ἐν ᾧ ἀφήψηται πήγανον βραχὺ καὶ [9]τῆλις· εἶτα διηθηθὲν καὶ [10]προςλαβὸν βούτυρον, τερεβινθίνην καὶ [11]ὕσσωπον [12]τὸ κηρωτοειδές· τὸ αὐτὸ δὲ καὶ διὰ τῆς ἕδρας ἀνιέναι ὅσον [13]κυάθους γ' ἢ δ'· πεσσοῖς δὲ χρηστέον τοῖς παρηγορεῖν δυναμένοις· ἁπλουστέροις μὲν τοῖς διὰ χυλοῦ τήλεως, λινοσπέρμου, μαλάχης, γλοιωδῶν [14]γενομένων μετ' ἐλαίου καὶ πιμελῆς χηνός. [15]Σφοδροτέρων δὲ τῶν περιοδυνῶν οὐσῶν ἔμπροσθεν τῆς διὰ τρίτου ἢ καὶ ἐν αὐτῇ φλεβοτομητέον ἀπ' ἀγκῶνος τοῦ ἀντικειμένου [16]τοῖς μᾶλλον πρὸς τὸ ἀσκυλτότερον ἀπὸ τῶν ἧττον πεπονθότων γενέσθαι τὴν ἀφαίρεσιν. Πάντων δὲ [17]ἐπ' ἴσης κακοπαθούντων, ἀπὸ τοῦ εὐωνύμου πρὸς τὸ τὴν δεξιὰν χεῖρα

[1]χρῆσθαι Aet MS. [2]ἔτι add. P.; om. Aet. MS. [3]add. Aet. MS.; om. P. [4]ἐν ἀγκῶνι Aet. MS. [5]δὲ Aet. MS. [6]λινοσπέρματος hic et infra Aet. MS. [7]δὲ P. τε Aet. MS. [8]ἐπιτιθέναι τῇ ἥβῃ Aet. MS. ἥβῃ] ὕβῃ P. [9]τήλης P. τῆλις, ut postea τήλεως, Aet. MS. Scripsi τῆλις. Lob. [10]προςλαβὼν P. [11]Ita Aet. MS. ἴσσωπον P. [12]τὸ — καὶ] Aet. MS.; om. P. [13]κυάθων Aet. MS. [14]γινομένων Aet. MS. [15]Inde Soranus solus pergit. Leg. περιωδυνιῶν. Lob. [16]τοῦ scrib. pro τοῖς. Lob. [17]Scribebatur ἐφίσης. Lob.

ταῖς ὑπηρεσίαις ἀπαραποδίστως σώζεσθαι· τὴν δὲ ἀπὸ σφυροῦ φλεβοτομίαν παραιτητέον, ἕως ἂν τὰ ἐν τοῖς [1]βραχίωσιν ἀγγεῖα φαίνηται, καὶ μηδεμία φλεγμονὴ περὶ αὐτοῖς [2]ἦ πρόδηλος· ἥτε γὰρ στάσις τὴν ἀσθενοῦσαν σκῦλαι καὶ ἰσχνότερα τὰ παρὰ τοῖς ἀστραγάλοις ἀγγεῖα ἐστίν· μετὰ δὲ τὸ ἐκλυθῆναι τὴν ἀπὸ τῆς φλεβοτομίας ταραχὴν, ἀποθεραπευτέον τὸ σῶμα καὶ ἐγκαθιστέον εἰς ὑδρέλαιον θερμόν ἢ τήλεως ἢ λινοσπέρμου ἢ μολόχης ἡμέρου τε καὶ ἀγρίας ἀφέψημα. Διαστήσαντα δὲ τὰ πτερυγώματα τῷ αὐτῷ ἐγχυματιστέον ἐλαίῳ καὶ ᾠῷ κατ' ἰδίαν ἢ μετά τινος τῶν εἰρημένων ἀφεψημάτων εἰς γλοιοῦ πάχος ἀνακοπέντων· εἶτα καὶ τοῖς τόποις [3]ἐρίου τι μαλθακοῦ παραθετέον βεβρεγμένου τοῖς αὐτοῖς ὑγροῖς, κἄπειτα τὸ πίλημα περιβλητέον. Καὶ τῆς ταραχῆς ὑπεκλυθείσης, ὕδωρ δοτέον, διάκλυσμα θερμὸν, καὶ ποτὸν παρηγορίας τοῦ δίψους χάριν καὶ εἰς [4]ἀταλαιπωρητέον κατεργασίαν ἢ τῆς τροφῆς· μετὰ δὲ τὸ πόμα, τροφὴν ἁπλῆν κούφην ὀλίγην ἔνθερμον ῥοφηματώδη, καθάπερ τὸν ἐξ ὕδατος χόνδρον ἢ τὸν διὰ μελικράτου μετρίως ἀποζεσθέντος, ἢ τὸ [5]ῥυνητὸν διὰ μέλιτος ἢ ἐλαίου καὶ ἀνήθων ἢ ὀλίγων ἁλῶν, ἢ ἄρτον ἐξ ὕδατος· εἰ δὲ μὴ, μετὰ ῥοφητῶν ᾠῶν. Ἀπὸ δὲ τῆς τροφῆς ὀλίγης γενομένης διαστάσεως, ἐπιτρεπτέον ὑπνοῦν· ἐντεῦθεν δὲ μέχρι παρακμῆς λεπτῶς ἀκτέον, καὶ παρὰ μίαν δοτέον τὴν τροφήν· εἰ δὲ μὴ κατεσθένηκεν ἡ δύναμις τοῦ σώματος, συκίαις χρηστέον, [6]κωφαῖς μὲν τὸ πρῶτον, καὶ οὐκ ἐν ἀνέσει μόνον, ἀλλὰ καὶ ἐν ἐπιθέσει πρὸς παρηγορίαν ἀλγήματος πράως ἐπιτιθεμέναις ἄνευ τοῦ πολλὴν ἐπιφέρειν συνολκήν· τὸ σφοδρότερον γὰρ τοῦ ἐπισπασμοῦ

[1]Ita pro *βραχίοσιν* scripsi. Lob. [2]ἦ P. Dedi ᾖ. Lob. [3]Scrib. *ἔριον — μαλθακὸν — βεβρεγμένον*. Lob. [4]*ἀταλαίπωρον* ex Sched. [5]Fort. *ῥοφητὸν*. Lob. [6]Fort. *κούφαις*. Lob.

παρεγκλύειν ἐστὶ παρά τι μέρος τοῦ χυλοῦ τῆς σικύας ἰσχνῆς παρεντιθεμένης σπαθομήλης· ὕστερον δὲ καὶ [1]μετ' ἀμυχῶν ἐπιπολαίων ἐν ἀκμῇ μὲν τοῦ πάθους. Ἐν ἀνέσει δὲ τῆς ἐπιτάσεως κατ' ἐφηβαίου καὶ ὑποχονδρίου [2]μὲν· οὔσης δὲ τῆς κατασκευῆς, καὶ βδέλαις προυποβληθέντες αὐταῖς ὀθονίου πρὸς τὸ μὴ ψύχειν· δραστικώτερον δὲ ἀφαιμάσουσιν αὗται διὰ σικύας τῶν τόπων προεξογκωθέντων διὰ τῶν ἐμβαλλομένων τιλτῶν ἐλλυχνίων, ἵνα μὴ διὰ τῶν ἄλλων λιπαινομένων τῶν μερῶν, κωλυθῇ τὰ ζῶα ἅψασθαι τῶν [3]ἡλεωμένων. Μετὰ δὲ τὴν ἀπόπτωσιν αὐτῶν, εἰ μὲν ὀλίγον εἴη τὸ ἀποσπασθὲν αἷμα, σικύας ἐπιβλητέον οἷς ἐνδέχεται τόποις· εἰ δὲ μὴ, τιλματίοις σκεπαστέον τὰ δήγματα· καὶ κατ' αὐτῶν ἐλαιοβραχέσθω ὀθώνιον καὶ ἐφαπλωτέον, εἶτα ἔριον· ἐντεῦθεν δὲ τοῖς χαλαστικοῖς χρηστέον καταπλάσμασιν οἷον ἄρτῳ μετὰ πιμελῆς προςφάτου φυραθέντι [4]ὑείας τεθερμασμένης, ἢ μετὰ τῶν ῥιζῶν τῆς ἀγρίας μολόχης ἑψημένης καὶ καλῶς λεανθείσης, ἢ λινοσπέρμου μετὰ γύρεως ἢ τήλεως ἢ τοῖς τρισὶν ὑφ' ἓν ἑψημένοις μετὰ ἐλαίου καὶ μέλιτος καὶ τοῦ ἀφεψήματος τῆς μολόχης ἢ τήλεως· ἀλλακτέον δὲ τὰ πρῶτα συνεχῶς· διὰ γὰρ τῆς ἐπιμονῆς καὶ ψύχεται καὶ ἀποξύνεται διὰ τὴν ἐκ τῆς φλεγμονῆς πύρωσιν· ἐμπεπλάσθω δὲ μήτε ἐπὶ λεπτὸν ἄγαν· καὶ γὰρ ψύχεται συντόμως καὶ ξηραίνεται ῥαδίως, μήτε ἐπὶ πάχος· βαρεῖται γὰρ τὰ φλεγμαίνοντα. Χρηστέον δὲ καὶ τῇ εἰς τὴν ἕδραν [5]ἐναίσει τοῦ θερμοῦ ἐλαίου μέχρι κυάθων τεσσάρων, καὶ πεσσοῖς ἀπεριέργοις· ἐξήμαρτον γὰρ οἱ παλαιοὶ τοὺς αἱμαγωγοὺς λεγομένους ἐκτάσομεν εἰς κατασπασμὸν αἵματος, καὶ [6]ποτήματα

[1]Sic scripsi pro *μετὰ μυχῶν ἐπιπόλαιον*. Lob. *μετ' ἀμυχῶν* ex Sched. [2]Scrib. *μενούσης*. Lob. [3]Scrib. *ἡλκωμένων*; et fort. in seqq. *ἐλαιοβραχὲς τὸ ὀθόνιον*. Lob. [4]*ὑίας* P. Posui *ὑείας*. Lob. *παρεκλύον*. [5]Scrib. *ἐνέσει*. Lob. [6]*ποτήματος* P. *ποτήματα* ex Sched.

τὰ αὐτὰ παρέχειν δυνάμενα, οὐχ ὁρῶντες ὅτι τὰ μὲν ποτήματα φθείρει καὶ ἀνατρέπει τὸν στόμαχον, τὰ δὲ πρόςθετα καταξύοντα τὴν ὑςτέραν, ἐσχαροῖ καὶ διὰ τοῦτο δυςλύτους καὶ βαθείας καὶ κακοήθεις ἑλκώσεις ἀποτελεῖ, καὶ οὐλὴν ἐπὶ τὰς ἑλκώσεις γίνεσθαι πάσης σαρκὸς τῆς κατὰ φύσιν [1]πυκνοτέραν οὔσης, ὥςτε τὴν ἔμμηνον κάθαρσιν ἐπέχειν. Τὸ δὲ ὅλον, ἅπαντα τὰ τοιαῦτα ποτήματα καὶ προςθετὰ δριμείας ὄντα δυνάμεως, ἐρεθίζει τὴν φλεγμονήν· οὕτω δὲ καὶ τοὺς πόνους διπλασιάζει καὶ τὸν τῆς καθάρσεως ἐπιτείνει παραποδισμόν· ὡς γὰρ οὐδὲ φλεγμαινόντων τῶν ὀφθαλμῶν συμφέρει δριμέσι χρῆσθαι κολλουρίοις, οὐδὲ δυςουρίας γινομένης ἢ [2]τεινεσμοῦ τοῖς ἀμύσσειν δυναμένοις, κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ τῆς μήτρας φλεγμαινούσης ἐν ταῖς μετὰ περιωδυνίας καθάρσεσιν, τὰ δριμέα δεῖ παραλαμβάνειν· τοιαῦτα γὰρ τὰ δοκοῦντα παρ' αὐτοῖς αἱμαγωγὰ, καθάπερ ἐλατήριον, ἐλλέβορος μέλας, πύρεθρον, ὀποπάναξ, οἷς αἱ γυναῖκες καὶ πρὸς τὸ φθεῖραι πολλάκις ἐχρήσαντο. Καθάπερ οὖν ἐχρῆν ἀποδοκιμαστέον πᾶν τὸ δριμὺ καὶ ἀμυκτικόν· παραληπτέον δὲ τὸ παρηγορικῶς ἀνιέναι δυνάμενον· κράτιστος δὲ πεσσὸς ἔλαιον ἐρίῳ βραχὲν γλυκὺ καὶ [3]θερμὸν καὶ τήλεως χυλὸν ἢ λινοσπέρμου, ἢ μολόχης μετὰ τοῦ ἐλαίου γλοιώδους ἀνακοπείσης, μετά τινος τούτων συνεψηθὲν, στέαρ πρόςφατον χήνειον ἢ ὀρνίθειον, ὥςτε τὸ ἐφιστάμενον πιμελῶδες ἀποσῦραι καὶ εἰς ἔριον χρῖσαι, καὶ ᾠοῦ λέκιθος τούτοις [4]συλλειοτριβηθεῖσα, ποτὲ δὲ καὶ διὰ μέλιτος ἀπέφθου συντακεῖσα καὶ μελίλωτον ἐν γλυκεῖ καθεψηθὲν [5]ἥπατι τοῦ φοίνικος [6]ἡ ἔνδοθεν σὰρξ ὁμοίως ἑψηθεῖσα τῷ γλυκεῖ [7]περιῃρημένου

[1] Scrib. πυκνοτέρας. [2] Male scribebatur τινεσμοῦ. [3] θερμῷ erat. Lob. [4] Legebatur λέκυθος et συνλειοτρ. [5] ἢ πατηνοῦ ex Sched. [6] Inepte ἢ. [7] Erat περιειρημένου. Lob.

τοῦ ἔξωθεν ὑμένος· παραστύφει γαρ οὗτος. Χρηστέον δὲ καὶ πυρίᾳ τῇ διὰ σπόγγων ἀποθλιβομένων εἰς ὕδωρ θερμὸν ἢ ὑδρέλαιον ἢ ἀφέψημα τήλεως ἢ λινοσπέρμου ἢ μολόχης ἡμέρου ἢ ἀγρίας· συνεχῶς δὲ ἀλλασσέσθωσαν οἱ σπόγγοι προυποριφέντος [1]ὀθονίῳ καὶ ἀφθόνως ἐλαίῳ θερμῷ περιχριομένων τῶν μερῶν εἰς τὸ ἀπεριψύκτους μεῖναι τοὺς τόπους. Προκοπῆς δὲ γενομένης περὶ τὴν ἐπιμέλειαν καὶ τὴν διὰ κλινιδίου [2]κρεμασμοῦ δοκιμαστέον κίνησιν· παρακμαζούσης δὲ τῆς διαθέσεως, εὐθέως μὲν ἡ κάθαρσις ἐπιφαίνεται· μετὰ δὲ τὴν ἀπόληξιν αὐτῆς τοῖς ἀναληπτικοῖς χρηστέον, λουτρῷ, ποικίλῃ τροφῇ, οἴνῳ καὶ [3]αἰώρᾳ, περιπάτοις, γυμνασίοις, τρίψεσι τῶν τε ὅλων σωμάτων καὶ τῶν περὶ τὴν ὑστέραν. Ἔτι μέντοι πρὸς τὴν τοπικὴν τῆς ὑστέρας τρίψιν, αἱ διὰ ψιλῶν τῶν χειρῶν παραφοραὶ περίθλασιν φέρουσι, καθ' ὃν καιρὸν εἰς εὐμεγέθη λεκάνην ἐγκαθίζουσα ἡ κάμνουσα λουομένη, καταβαίνειν εἰς τὴν ἔμβασιν σπόγγους πλατεῖς καὶ μαλακοὺς τῷ ἤτρῳ περιτιθέναι, καὶ ἰσχίοις καὶ ἠρέμα προσεντυπώσαντα ταῖς χερσὶ παράγειν τῇδε κἀκεῖσε κατ' ὀλίγον παραύξειν τὸ τῆς τρίψεως πλῆθος. Δοκιμαστέον δὲ καὶ κηρωτὰς διὰ σαμψύχου ἢ σουσίνου ἤ τινος τῶν ἐμφερῶν, οὐ μόνον ἐντιθεμένας, ἀλλὰ καὶ διαχριομένας κατὰ τοῦ στομίου καὶ τοῦ τραχήλου τῆς ὑστέρας, ὁπότε δὴ καὶ τοὺς μαλακτικωτέρους πεσσοὺς παραληπτέον, ἐξ ὧν ἐστιν ὁ διὰ κηροῦ καὶ ῥητίνης τερεβινθίνης καὶ ταυρείου στέατος καὶ γλυκέος ἐλαίου ἢ κυπρίνου, τοσούτου κατὰ τὸ πλῆθος, ὥςτε τὰ λοιπὰ βληθέντα γλοιώδη γενέσθαι. Καὶ ὁ διὰ χυλῶν πεσσὸς σκευαζόμενος, καὶ πᾶς ὁ διὰ [4]μυσσῶν καὶ στεάτων καὶ

---

[1]Leg. ὀθονίου. [2]Fort. κρεμαστοῦ. Lob. [3]ἐώρᾳ erat. [4]μυελῶν ex Sched.

σπερμάτων ἀνετικῶν· ἐν δὲ τούτοις ἐστὶ καὶ τὸ διὰ σαμψύχου λεγόμενον ἄκοπον· [1] μεγαλωφελὴς δὲ καὶ ἡ εἰς ἔλαιον ἔμβασις· χρονίσαντος δὲ τοῦ πάθους, κατὰ μὲν τὰς ἐπιθέσεις τὴν αὐτὴν παραληπτέον ἐπιμέλειαν· ἐν δὲ τοῖς διαλείμμασιν, πρῶτον μὲν τὴν ἀναληπτικὴν ἧς τὴν ὕλην εἰρήκαμεν, συμπαραληφθέντος τινὸς εἰς τὴν ὑπηρεσίαν καὶ τῶν ἐμπείρων ἀλειπτῶν. Δευτέραν δὲ τὴν μετασυγκριτικην ἐν ᾗ [2] δὲ πρὸ μιᾶς ἡμέρας συστέλλειν· εἰ δὲ μὴ ἀντέχοι τις, ἐπ' ὀλιγοσιτίας καὶ ὑδροποσίας τηρεῖν, εἶτα μερίσαι τὸν ἄρτον ὃς οὐ ῥαδίως πλείστου δύναται περιγενέσθαι· μερίσαι δὲ εἰς δύο μέρη, καὶ τὰ μὲν ἕτερον ἥμισυ, εἰς τρία μέρη διαιρεῖν ἴσα, τὸ δὲ ἕτερον τῇ ἑξῆς ἡμέρᾳ διδόναι μετὰ τὴν συστολὴν, σὺν ταριχίοις καὶ τοῖς δριμέσι προσεψήμασιν [3] ἡμέραις δυσὶν ἢ τρισὶν ἢ τέσσαρσιν· εἶτα [4] ἀλλάσσειν εἰς τὴν μέσην ὕλην λάχανα καὶ τοὺς τρυφερωτέρους ἰχθύας καὶ ἐγκεφάλους, εἶτ' ἄλλαις ἴσαις τὰ πτηνὰ, καὶ ταῖς ἰσαρίθμοις ὕεια πρόσφατα καθ' ἑκάστην μετέλευσιν ἀπὸ ποιότητος ἐπὶ ποιότητα, προσλαμβάνοντα τῶν τριῶν τοῦ ἡμίσους ἄρτου μερῶν ἓν μέρος. [5] Καὶ τῇ πρώτῃ μὲν ἡμέρᾳ τῆς μετελεύσεως ὑφαιροῦντα τὸ οἰνάριον καὶ τὸ λουτρόν· τῇ δὲ ἑξῆς ἑκατέροις χρώμενον· πάσης δὲ ἐπὶ μόνης τῆς δριμυφαγίας συνδοκιμάζειν δεῖ καὶ τὰ τοπικὰ τῶν βοηθημάτων ἐν τῇ ἑξῆς ἡμέρᾳ τῆς ἀπὸ ποιότητος εἰς ποιότητα μεταβάσεως· ποτὲ δὲ σικύαις χρώμενον μετασυγκριτικαῖς, ποτὲ δὲ [6] παρόπτησι, ποτὲ δὲ δρώπακι κατ' ἐφηβαίου καὶ ὀσφύος νίτρου τε καὶ ἁλῶν καὶ τῶν ἀμυκτικῶν σμηγμάτων σὺν σιναπίσμασι, ποτὲ δὲ πυρίᾳ καὶ ἐγκαθίσμασι διὰ θαλάσσης καὶ τῷ διὰ σινάπυος φοινιγμῷ

[1] Scribebatur μεγαλοφελὴς et infra ἀλείπτων [2] Num δεῖ? [3] Male ἡμέρας. [4] Erat ἀλάσσει. Lob. [5] Method. ex Sched. [6] Sic!

καὶ κατακρουνισμῷ· μὴ ἀνασκευαζομένου δὲ τοῦ πάθους, οὐκέτι μόνον ἀπὸ συστολῆς, ἀλλὰ καὶ ἀπὸ τοῦ διὰ ῥαφανίδων ἀρκτέον ἐμέτου. Χρηστέον δὲ καὶ [1] μαλάγμασι τοῖς ἀμύσσειν δυναμένοις, οἷον τὸ διὰ δαφνίδων, τὸ διὰ σπερμάτων, καὶ πεσσοῖς ὁμοίας δυνάμεως ἐχομένοις, ὧν εὔκαιρος ἡ χρῆσις, μετὰ τὴν ἀπόληξιν τῆς καθάρσεως· [2] διὰ γὰρ τὸ ὅτε σύνεγγύς ἐστιν ἡ προθεσμία τῆς καθάρσεως τὰ δραστικὰ καὶ συγκινοῦντα παραιτεῖσθαι. Κατὰ μέρος δὲ ἐν τοῖς προσθέτοις ἐστὶ πήγανον λεῖον μετὰ μέλιτος, ἢ [3] κόνυζα ἡ λεπτόφυλλος καλουμένη, ἢ σταφὶς χωρὶς τῶν γιγάρτων λεία μετὰ νίτρου ἢ ἄλλων τά τε διὰ κυμίνου, πεπέρεως, ἀψινθίου, [4] ἰσσώπου, βουτύρου, ἐλαίου παλαιοῦ καὶ τῶν ὁμοίων ὡς κυάμου μέγεθος εἰς πεσσὸν ἐγχριστέον, καὶ καταβαπτέον εἰς ἔλαιον γλυκὺ ἢ σούσινον, ἵνα τὸ πολὺ τῆς δήξεως ἀπαμβλυνθῇ, καὶ παραθετέον τῷ στόματι τῆς ὑστέρας· τοῖς δὲ αὐτοῖς καὶ τοὺς βουβῶνας ἀλειπτέον, καὶ τὸν δακτύλιον ἔνδοθεν διαχριστέον· ὃν τρόπον γὰρ περιγραφομένων ἔσθ' ὅτε τῶν δυστραπελῶν ὀφθαλμικῶν σκληρὰ γίνεται καὶ τραχέα τὰ βλέφαρα, καὶ διὰ τοῦτο χρήζει δριμέων καὶ μετασυγκριτικῶν κολλυρίων εἰς παντελῆ τοῦ πάθους ἀνασκευὴν, οὕτω καὶ τὰ περὶ τὴν ὑστέραν, ἐπεκλυομένης ποτὲ τῆς φλεγμονῆς, σκληρὰ μείναντα, οἷον τραχέα καὶ περίτυλα, καὶ δέεταί τινος εἰς μετασύγκρισιν δήξεως· μηδὲ οὕτως λυομένης τῆς διαθέσεως, τῷ λευκῷ σπαρακτέον ἐλλεβόρῳ, καὶ μετ' αὐτὸ δοκιμαστέον ἀποδημίαν μακροτέραν, καὶ αὐτοφυῶν ὑδάτων χρῆσιν, καὶ τὸ σύνολον τῆς ψυχῆς διάχυσιν. Οὕτω γὰρ ἐξ ἐπιμονῆς τε τῶν αὐτῶν καὶ προσθέσεως τῶν σφοδροτέρων λυομένου τοῦ πάθους, ἡ κάθαρσις ἀπαραπόδιστος γίνεται [5] συνθέτοις

---

[1] Legebas *μαλάγματος*. [2] Fort. *δεῖ γάρ τοι, ὅτε — τῆς καθάρσεως, τὰ δραστικά* etc. Lob. [3] Erat *κόνιζα* et postea *γλυκὶ*. [4] Sic! [5] Inde Aetius XVI. 70. pergit.

δὲ [1]φαρμάκοις τοῖς τοιούτοις προςθετέον· κηροῦ [2]τυρηναϊκοῦ, πεπέρεως λευκοῦ [3]ἀνὰ γο. α´, τερεβινθίνης ∠ δ´, στέατος χηνείου γο. α´, [4]ἐν ἄλλῳ γο. δ´, φοινίκων πατητῶν γρ. δ´, ὠοῦ [5]λεκίθου α´, ἐλαίου τηλίνου τὸ ἀρκοῦν. Ἕτερος τοιόςδε· στέατος χηνείου καὶ [6]φασιανικοῦ καὶ ὀρνιθείου ἀνὰ γο. α´, [7]ἐν ἄλλῳ γ´, [8]ἰσσώπου ∠ δ´, ἐγκέφαλοι χηνῶν πρόςφατοι β´, κηροῦ γο. γ´ χρῶ· χρῶ δὲ καὶ τῷ λιβάνῳ λεγομένῳ πεσσῷ, καὶ τῷ ἐννεαφαρμάκῳ καὶ τοῖς παραπλησίοις τοῖς πρὸς φλεγμονὰς καὶ σκληρίας μήτρας ἀναγραφησομένοις. Ἐπιθέμασι δὲ χρηστέον πρῶτον μὲν τῷ τετραφαρμάκῳ τῷ [9]βρομίῳ ἢ [10]τῷ διὰ χυλῶν ἀναλυθέντι, ἔπειτα τῷ διὰ μελιλώτων καὶ τῷ διὰ σπερμάτων καὶ τῷ πολυαρχίῳ ὡς ἂν ἡ χρεία [11]ἀπαιτῇ. Εἰ δὲ κατά τινα δυςτροπίαν ἀντιβαίνοι τὸ σύμπτωμα καὶ κατὰ περίοδον ἢ [12]ἄτακτον ἐνοχλοίη καὶ [13]μὴ πείθοιτο τοῖς προειρημένοις βοηθήμασιν, ἐπὶ τὰ δραστικώτερα παραγίνεσθαι χρὴ, καὶ σικύας προςβάλλειν ἤτρῳ καὶ βουβῶσι, πρῶτον μὲν χωρὶς κατασχασμοῦ [14]τρὶς ἢ τετράκις [15]αὐτὰς ἐπιβάλλων· εἰ δὲ [16]ἐπιμένοι, καὶ κατασχάζειν καὶ ἕλκειν σύμμετρον αἷμα. Ἱκαναὶ δὲ καὶ βδέλλαι μετὰ τὴν τῶν σικυῶν χρῆσιν προςτιθέμεναι τοῖς τόποις ἕλκειν σικύας οὐχ ἧττον. Χρῆσθαι δὲ μετὰ ταῦτα καὶ ἐπιθέμασιν [17]καὶ δρώπαξι φοινίσσειν τὴν ἐπιφάνειαν δυναμένοις, ἀνατρίβειν τε τοὺς τόπους συνεχῶς καὶ

---

[1] φαρμάκοις et προςθετέον om. Aet. MS., sed add. τοῖς, quod om. P. [2] Fort. Κυρηναϊκοῦ. Lob. Pro πεπέρεως praebet πεπλυμένου Aet. MS. [3] ἀνὰ om. Aet. MS. [4] ἐν ἄλλῳ γο. δ´,] Aetii Cod. 2193. [5] λέκιθον Aet. MS. [6] φασιανοῦ P. φασιανικοῦ Aet. MS. [7] ἐν ἄλλῳ γ´,] om. P.; add. Aet. MS. [8] ὑσσώπου Aet. MS. [9] Ita Aet. MS. βρωμίῳ P. [10] τῷ — ἀναλυθέντι] Aet. MS. τῇ — ἀναλυθείσῃ P. [11] ἀπαιτεῖ P. [12] ἀτάκτως Aet. MS. [13] οὐ πείθεται Aet. MS. [14] τρεῖς ἢ τέσσαρας Aet. MS. [15] αὐτὰς ἐπιβάλλων· om. Aet. MS. [16] ἐπιμένοι Aet. MS. —μένει P. [17] ἢ Aet. Cod. 2191.

[1]μαλθακῶς ἐλαίῳ μεθ' ἁλῶν λειοτάτων· καὶ γυμνάζειν συμμέτροις γυμνασίοις παραιτουμένους τὴν πολλὴν βάδισιν, χρωμένους δὲ τῇ αἰώρᾳ, ἔπειτα τοῖς αὐτοφυέσιν ὕδασι χρῆσθαι καὶ αὐτῇ τῇ θαλάσσῃ ψυχρᾷ ἐμβιβάζειν συνεχῶς.

## ϙέ. [2]Θεραπεία τῶν μὴ καθαιρομένων διὰ πλείστην θερμότητα.

Ὀρθότερον μὲν οὖν ἦν πρὸς ἅπασαν τὴν ὑγείαν [3]πᾶσιν ἐξευρεῖν δίαιταν, ὑφ' ἧς ξηρότερον τὸ σῶμα [4]τῇ γυναικὶ ἔσται, πρὸς τὸ μὴ δεῖσθαι τῆς ἐπιμηνίου καθάρσεως. Ἀλλ' εἰς τὴν κύησιν οὐδαμῶς τοῦτο [5]συμφέρον· αἱ γὰρ μὴ καθαιρόμεναι οὐδὲ [6]κυΐσκουσι· διά τε οὖν τὴν κύησιν, καὶ ὅτι αἱ πλείους ἀταλαιπώρως διαιτώμεναι καθαίρεσθαι χρήζουσι, δίκαιον καὶ θεραπείας [7]χάριν γράψαι πάσῃ γυναικὶ μὴ καθαιρομένῃ. Τὰς μὲν οὖν θερμοτέρας τὴν φύσιν τῶν τε πολλῶν πόνων [8]ἐπανιέναι προςήκει ὑγραίνοντας τὸ σῶμα κατὰ τὸ δυνατόν· [9]λουτρά γε μὴν εὔκρατα [10]ἐν ὕδασι γλυκέσι ταῖς οὕτω διακειμέναις ἐπιτηδειότατα· σιτία δὲ καὶ ποτὰ δαψιλέστερά τε καὶ ὑγρότερα, [11]ὅσα ῥοφήματα διὰ πτισάνης καὶ χόνδρου καὶ [12]τὰ διὰ γάλακτος σκευαζόμενα· λαχάνων δὲ, θριδακίνη καὶ κολοκύνθη καὶ τὰ ὅμοια· κρέα δὲ ἀρνῶν καὶ ἐρίφων καὶ τῶν μικρῶν χοίρων, καὶ τὰ ἥμερα μᾶλλον καὶ [13]τὰ θήλεα· ἰχθύες δὲ οἱ ἁπαλόσαρκοι πάντες· καὶ ὀρνίθων τὰ ἥμερα· ὀπωρῶν σῦκα χλωρὰ καὶ σταφυλὴ πεπεμμένη καὶ πέπονες καὶ σικυοί· [14]ποτὸν οἶνος λεπτὸς λευκὸς μὴ ἄγαν παλαιὸς [15]κράσεως ὑδαρεστέρας.

[1] μαλακῶς Aet. MS. [2] Est Aetii cap. 59. οὖν] om. P.; add. Aet. MS. [3] πάσαις Aet. MS. [4] τῆς γυναικὸς Aet. MS. [5] Ita Aet. MS. σύμφορον P. [6] Sic Aet. MS. κυΐσκονται P. [7] om. Aet. MS. [8] ὑπανιέναι Aet. MS. [9] λουτρὰ μὲν οὖν Aet. MS. [10] ἐν — γλυκέσι] om. Aet. MS. [11] οἷον Aet. MS. [12] τὰ om. Aet. MS. [13] τὰ om. P.; add. Aet. MS. [14] Ita Aet. MS. ποτὰ P. [15] Ita Aet. MS. κρᾶσις ὑδαρεστέρα P.

## ϙϛ΄. [1]Θεραπεία τῶν μὴ [2]καθαιρομένων διὰ πλείστην ψυχρότητα.

Τὰς δὲ ψυχροτέρας ἕξεις διαγνωσόμεθα ἔκ τε τῶν προῤῥηθέντων [3]καὶ ἐκ τούτων δὲ· ὑπνωδέστεραί εἰσι καὶ ὀκνηραὶ πρὸς πᾶσαν κίνησιν, χροὰ λευκοτέρα [4]ἢ μαλακωτέρα ἢ μολιβδώδης, τὰ φλεβία [5]ὑπομελαινόμενα, οὖρα ὑδατώδη, [6]ἀπόχρεμψις συνεχὴς φλέγματος, ἐνίοτε [7]δὲ καὶ ἔμετοι φλεγματωδῶν χυμῶν· ὑπεναντίως δὲ ταῖς θερμαῖς, ταύτας θεραπεύσεις· καὶ γὰρ ταλαιπωρίας πλείονας προστάξεις καὶ τῶν βρωμάτων τὰ θερμότερα· — ὁ τεθαλασσωμένος οἶνος· — φάρμακα δὲ αὐταῖς ἐπιτήδεια συντόμως εἰπεῖν, ἃ τῇ θερμότητι διαλύειν δύναται τὸ αἷμα; — μορέας τοῦ φλοιοῦ· — καρπἄσίας· — ναρδοστάχυος καὶ τῆς κελτικῆς, — αἰωρεῖσθαι διὰ φορείου. [8]Ἄλλο· καρκίνον εἰς οἶνον βαλὼν δίδου τὸ ἔκπλυμα αὐτοῦ πίνειν ἡμέρας [9]ἐκράσην μίαν θερμήν· — Καιροὶ δὲ ἐπιτήδειοι τῶν τοιούτων φαρμάκων εἰσὶν εἷς μὲν ἐγγίζοντος τοῦ καιροῦ τῆς καθάρσεως, ἕτερος δὲ ἀλειψαμένην ἢ πυριασθεῖσαν ἢ λουσαμένην πίνειν αὐτίκα, ὡς ἂν [10]θερμῷ καὶ διακεχυμένῳ τῷ σώματι τὸ φάρμακον [11]ἐντύχοι· τῶν μὲν οὖν τοιούτων φαρμάκων καὶ πάνυ πολλὴ ἡ εὐπορία τῷ βουλομένῳ πάντα συγγράφειν· ἀλλ' ἐξαρκεῖ καὶ τὰ εἰρημένα· εἰ γὰρ ἐπὶ μηδενὶ τούτων ἔλθοι ἡ κάθαρσις, ἑτέρου τρόπου δεῖ καὶ μείζονος· ἐγὼ . . . . ἐκέλευσα καθαρτήριον κατωτερικὸν πιεῖν φάρμακον τὴν γυναῖκα· — καὶ ἔμετος ὠφέλησεν· — [12]

---

[1]Est Aetii cap. 60. ad verbum fere et mendosum in Sorano. Non describo, etsi in excerptis meis Aetianis non legatur: Oxoniae describere animus est. Sed contuli cum Codice Aetii 3193. obiter. ex Sched. [2]καθαιρουμένων male. [3]Sic Aet. MS. καὶ ἐκ τοῦ ὑπνωδέστεραί εἰσι P. [4]ἢ μαλακωτέρα praeb. Aet. MS.; om. P. [5]Ita Aet. MS. ὑπομελανοῦντα P. [6]ἀποχρέμψεις συνεχεῖς Aet. MS. [7]om. Aet. MS. [8]Ἄλλο· — θερμήν.] Haec formula est in solo Aetii Cod. 2193. [9]Sic! ex Sched. Fort. ἑκάστην Lob. [10]θερμῷ — σώματι] Aet. MS. θερμοῦ καὶ διακεχυμένου τοῦ σώματος P. [11]ἐντυχὸν Aet. MS., ubi etiam sequuntur: τὴν αὐτοῦ ἐνέργειαν ἐνδείξηται ἐν τάχει. [12]Satis perspicitur, alterum Aetii MS. Dietzianum, quod nobis defuerit, adhuc alicubi latere. Lob.

## ϙζ. [1]Πεσσοὶ αἱμαγωγοί.

Ἰσχάδας λιπαρὰς καθάρας τῶν κεχραμίδων· καὶ ἐγχυματιστέον δὲ τὴν ὑστέραν τινὶ τῶν θερμαίνειν δυναμένων μύρων, οἷον σουσίνῳ, κυπρίνῳ, ἰρίνῳ, σαμψυχίνῳ, δαφνίνῳ, ἀμαρακίνῳ, [2]ναρκισσίνῳ· ὑποθυμία δὲ συνεχῶς στύρακα μετὰ λιβάνου καὶ χαλβάνης. Καλὸν δὲ καὶ πυριᾷν τὴν ὑστέραν ταῖς εὐώδεσι πυρίαις· πυριᾷν δὲ οὕτως· πωμάζειν [3]δεῖ τὴν χύτραν πώματι τρῆμα ἔχοντι, καὶ τῷ τρήματι προςαρμόζειν κάλαμον καὶ χρίειν πάντοθεν· ἔπειτα προςκαθίσασα ἐπὶ δίφρου ἡ γυνὴ, πυριάσθω διὰ τοῦ ὑποκειμένου τῷ κόλπῳ καλάμου. Καὶ ἕτερος δὲ τρόπος πυρίας ἐστὶ τὸ ἐγκαθίζειν αὐτὰς εἰς τὰ προειρημένα ἀφεψήματα μέχρις ὀμφαλοῦ, καὶ μετὰ ταῦτα [4]ἀπονιψαμένη ὕδατι γλυκεῖ θερμῷ, τοῖς προειρημένοις προςθετοῖς χρῆσθαι· φοινίκων νικολάων κεκαθαρμένων· ἐπίθεμα αἱμαγωγόν· . . . ἐπὶ δὲ τῆς χρείας ἐπίχριε τὸ ὑπογάστριον καὶ τὴν ὀσφῦν· κατάγει γὰρ τὰ ἔμμηνα· χρῶ δὲ καὶ τοῖς ὁμοίοις ἐπιθέμασι τοῖς [6]προγεγραμμένοις.

## ϙή. [7]Θεραπεία τῶν διὰ πλείστην πιμελὴν μὴ καθαιρομένων.

Τὰς δὲ πιμελωδεστέρας τῶν γυναικῶν τῇ τε ἄλλῃ διαίτῃ ὡς λεπτοτάτῃ διαιτᾷν· προείρηται [8]δὲ περί τε τῆς διαίτης καὶ τῆς τῶν τροφῶν δυνάμεως καὶ περὶ [9]καθαιρέσεως σαρκῶν· σὺν ἐκείνοις δὲ καὶ πόμασι καὶ πυριάμασι χρῆσθαι· [10]εἰ γὰρ ἐντεῦθεν ῥεύσει, καθαί-

---

[1]Est Aetii lib. XVI. cap. 61. Videtur lacunosum. Lob. [2]ναρκισίνῳ scribebatur. [3]χρὴ Aet. MS. [4]ἀπονιψαμένας Aet. MS. [5]Sic! [6]Post haec add. Aet. ἐν τῷ τρίτῳ λόγῳ· ex Sched. [7]Est Aetii lib. XVI. cap. 63. [8]δὲ] P. δ' ἐν τῷ δευτέρῳ καὶ τρίτῳ λόγῳ Act. MS. [9]Sic Aet. MS. καθάρσεως male in Sorano legitur. ex Sched. [10]εἰ γὰρ — πονήρως·] ἐν ἄλλῳ οὕτως· εἰ γὰρ ἐνταῦθα ῥέψει, καθαιροῦνται οὐ χαλεπῶς· est altera lectio Aetii Cod. 2191.

ρονται οὐ πονήρως· καὶ τὸ [1]ὅλον σῶμα ἰσχυότερον γίνεται· τῶν δὲ καθαρτηρίων τὰ ὀξύτατα καὶ πυρωδέστατα, ταῖς πιμελώδεσι κάλλιστα.

### ϙθ΄. [2]Θεραπεία τῶν ὑπὸ ἀτροφίας μὴ καθαιρομένων.

Ἀνακομίζειν χρὴ πρότερον καὶ εὔσαρκα ἀποδεικνύειν τὰ σώματα· εἰ γὰρ [3]εὐσαρκότεραι γένοιντο, ἐλπίδες μὲν πολλαὶ καὶ [4]αὐτομάτως ἐλθεῖν τὰς καθάρσεις· εἰ δὲ μή, εὐχερέστερον καὶ πόμασι καὶ προσθετοῖς ἀγαγεῖν ταύτας.

### ρ΄. [5]Θεραπεία τῶν διὰ [6]μοχθηρίαν χυμῶν μὴ καθαιρομένων.

Εἰ γὰρ καὶ σμικρὰ ἐπιφαίνοιτο ταῖς τοιαύταις τὰ καταμήνια, τὰ μὲν χολώδη δάκνει καὶ ξύει τὰς ὑστέρας, καὶ τῇ χροιᾷ ξανθὰ ὑπάρχει καὶ κατακορῆ· τὰ δὲ φλεγματώδη βραδυπορώτερα καὶ παχύτερα καὶ λευκὰ καὶ ὑπόψυχρα καὶ ναρκώδη εἰσίν· τέττιγας δὲ ξηροὺς σὺν οἴνῳ ποθέντας παραυτίκα ἄγειν ἔμμηνα φασίν· [7]στέατι ὀρνιθείῳ.

### ρα΄. [8]Θεραπεία τῶν διὰ [9]χηρίαν πολλοῦ καιροῦ μὴ καθαιρομένων.

Εἰ δὲ διὰ πλῆθους καιροῦ χῆραι μένουσαι μὴ [10]καθαιρόμεναι, ὀδυνῶνται μὲν [11]παρὰ τὸν καιρὸν τῶν κατα-

---

[1] ὅλον Aet. MS. ἄλλον P. [2] Est Aetii lib. XVI. cap. 64. [3] Scribeb. εὐσαρκώτεραι. [4] αὐτομάτους Aet. MS. [5] Est Aetii cap. 65. [6] Ita Aet. MS. μοχθηρῶν P. [7] στέατι ὀρνιθείῳ.] add. P., sed om. Aet. MS., in quo post φασὶν legimus haec: Τὸ ἔσοπτρον τῆς μὴ καθαιρομένης, ἐνατενίζουσα εἰς αὐτὸ ἑτέρα γυνὴ ὑποκαθημένη, δεικνυέτω τῷ κόλπῳ αὐτῆς γυμνῷ τὸ πρόσωπον· καὶ εὐθὺς αἱμοῤῥαγήσει ἡ φύσις αὐτῆς. [8] Est Aetii cap. 66., quod tamen inscribitur: Περὶ τῶν διὰ πλησμονὴν χυμῶν μὴ καθαιρομένων. [9] Pro χηρία posui χηρείαν. Lob. [10] καθαίρονται ex Sched. [11] περὶ Aet. MS.

μηνίων· καὶ τοῖς ἄλλοις δὲ διαγινώσκονται πεπληρωμέναι, τῷ τε ὄγκῳ τῶν φλεβῶν καὶ τῷ βάρει τοῦ σώματος καὶ τοῖς [1]ἐγκαταλαμβανομένοις πνεύμασιν, ὑφ' ὧν παλμούς τε καὶ διατάσεις ἐν τῷ σώματι καὶ φρίκας ἀνάγκη γίνεσθαι· τῇ δὲ τρίτῃ λούειν καὶ διαιτᾷν συνήθως [2].

### ρβ΄. [3]Θεραπεία τῶν δι' ἀργίαν μὴ καθαιρομένων.

Προσάγειν χρὴ τοῖς πόνοις (ταύτας)· τῶν δὲ πόνων ἐπιτηδειότατοι γυναικὶ περίπατοι, καὶ αἰῶραι διὰ ζώων ὀλίγῳ συντονώτεραι· τὰ δὲ ἄλλα, ὡς τὴν ψυχροτέραν [4]καὶ φλεγματωδεστέραν διαιτήσεις· καὶ καθόλου ὡς Ἱπποκράτης φησὶ τὰ ἐναντία ἐπιτηδεύειν τοῖς τὴν ἀπόκρισιν τοῦ αἵματος ἐμποδίζουσι· [5]καὶ τὰ ἄλλα κατὰ λόγον.

### ργ΄. [6]Θεραπεία τῶν δι' ἑτέρων τόπων κενουμένων, [7]δι' αἱμοῤῥοΐδων ἢ μυκτήρων, καὶ διὰ τοῦτο μὴ καθαιρομένων συνήθως.

Τὸ ῥέον αἷμα ἐπέχειν δεῖ· σὺν τούτῳ δὲ, καὶ τοῖς ὑστερικοῖς βοηθήμασι [8]κεχρῆσθαι, ἵνα μὴ κωλυόμενον ἐκεῖθεν ἀλλαχοῦ ῥεύσῃ εἴς τινα τῶν κυρίων μορίων· τὸ δ' αὐτὸ χρὴ κἀπὶ τῶν ἄλλων μηχανᾶσθαι [9]ἱδρώτων τε καὶ ἐμέτων καὶ τῶν [10]ὑπολοιπῶν ἐκκρίσεων· τὸ δὲ σύμπαν γινώσκειν χρὴ, ὅτι οὐ [11]μέγα βλάπτονται [12]ὅσαις διὰ τοιαύτας προφάσεις ἐκλείπουσιν αἱ καθάρσεις, οὐδὲ

---

[1] καταλιμπανομένοις Aet. MS. [2] In Aetio decem lineae adduntur formularum ἄγει δὲ etc. ex Sched. [3] Est Aetii cap. 68. [4] καὶ φλεγμ.] om. Aet. MS. διαιτήσεις] In utroque Aetii Codice simul aliam quoque lectionem invenimus adscriptam θεραπεύσεις. [5] καὶ — λόγον] om. Aet. MS. In Aet. Cod. 2191. adduntur haec: ἐπὶ ἡμέρας τὰς ἐμπροθέσμους ζ. [6] Est Aetii cap. 67. [7] δι' αἱμοῤῥοΐδων καὶ μυκτήρων,] om. P. [8] Ita Aet. MS. κέχρησο P. [9] τῶν δὲ ἱδρώτων Aet. MS. [10] λοιπῶν Aet. MS. [11] μεγάλως Aet. MS. [12] ὅσαις — ἐκλείπουσιν αἱ καθάρσεις] ὅσαι — οὐ καθαίρονται Aet. MS.

[1]ὅσαις διὰ τροφῆς ἔνδειαν, οὐδὲ ὅσαις δι᾽ ὑπερβολὴν πόνων, πλὴν ὅτι αἱ μὴ διὰ μήτρας καθαιρόμεναι οὐ [2]κυίσκουσιν.

ρδ΄. [3]Θεραπεία τῶν δι᾽ αἰτίαν τινὰ τῶν περὶ τὴν ὑστέραν μὴ καθαιρομένων.

Θεραπεύειν οὖν προσήκει πρότερον τὴν διάθεσιν τὴν τῆς ἐποχῆς αἰτίαν, καὶ οὕτως ἐπὶ τὰ προτρέποντα ἐλθετέον· ὅπως δὲ ἕκαστον τῶν περὶ τὴν ὑστέραν γινομένων παθῶν χρὴ θεραπεύειν, ἀκολούθως ἐφεξῆς ῥηθήσεται.

ρε΄. [4]Περὶ ὑπερκαθάρσεως καὶ [5]αἱμοῤῥαγίας.

Ὑπερκάθαρσις μὲν ταῖς γυναιξὶ γίνεται, [6]ποτὲ μὲν τῶν καταμηνίων παρατεινομένων ἐπὶ πλείους ἡμέρας, καὶ ἀθροώτερον ῥέοντος τοῦ αἵματος· σπανιώτερον δὲ καὶ ἐπὶ κινήσεσι πλείοσι τοῦτο συμβαίνει· [7]ποτὲ δὲ καὶ ἐπὶ ταῖς ἀποτέξεσιν, εἰ καὶ αὐτίκα ὡς ἐπίπαν παύεται, τοῦ περιττώματος τῆς κυήσεως μετὰ τὴν τοῦ ἐμβρύου τόκον ἀποκενωθέντος· ταῖς δὲ ἀμβλώσεσι πλεονάκις συμβαίνει καὶ ὀξὺν ἐνίοτε κίνδυνον ἐπιφέρει· ἐπισκέπτεσθαι μὲν οὖν χρὴ τὸ τῆς αἱμοῤῥαγίας ποσὸν καὶ τὸν τρόπον τῆς [8]φορᾶς· ἐπὶ μὲν γὰρ τῶν μεγάλων ἀγγείων ῥηγνυμένων ἢ ἀναστομουμένων πλῆθος αἵματος φέρεται καὶ ἀθρόον· ἐπὶ δὲ τῶν μικρῶν ἐλάχιστον· ἐπὶ δὲ τῶν ἐξ ἀναβρώσεως, κατὰ βραχὺ ἄρχεται καὶ μετ᾽ ὀδύνης πλείστης φέρεται. [9]Παρέπεται δὲ ἄχροια ποτὲ μὲν σὺν πυρετῷ, ποτὲ δὲ χωρὶς πυρετοῦ ἐπὶ

---

[1]ὅσαι hic et postea pro ὅσαις Aet. MS. [2]Ita Aet. MS. κυΐσκονται P. [3]Est Aetii cap. 69. [4]Est Aetii cap. 71. [5]Ita pro αἱμοῤῥαΐας jam saepe scripsi. [6]ποτὲ μὲν om. Aet. MS. παρατεινομένων] παρατεινόντων P. [7]ποτὲ δὲ — ἀποκενωθέντος·] praebet Aet. MS.; om. P. [8]φθορᾶς P. [9]Παρέπεται — δι᾽ αἱμοῤῥοΐδων φορᾶς·] deest in P. et in Aetii Cod. 2191.; additur a Cod. 2193.

τῆς τοῦ αἵματος ἄγαν φορᾶς, καὶ ποδῶν οἴδημα καὶ ὅλου ἐνίοτε τοῦ σώματος· ἀνορεξίαι τε καὶ δυςπεψίαι καὶ ὅσα τῆς [1]ὑπὲρ μέτρον δι' αἱμοῤῥοΐδων φορᾶς· πρῶτον μὲν οὖν διασφίγγειν τὰ κῶλα καὶ τὰ ἄκρα χρὴ ἀπό τε μασχαλῶν καὶ βουβώνων· διδόναι δὲ αὐταῖς ὀξύκρατον [2]μὴ ψυχρὸν, ἀλλὰ γαλακτῶδες, καὶ προςαντλεῖν ὀξυκράτῳ καὶ ἐπιτιθέναι τοῖς τόποις ἔρια ἁπαλὰ ἐξ οἴνου καὶ ἐλαίου ῥοδίνου ἢ μυρσινίνου ἢ μηλίνου· οἱ γὰρ δι' ὀξυκράτου σπόγγοι καταψύχοντες τὴν κύστιν καὶ τὴν ὑστέραν, μείζονα τῆς ὠφελείας τὴν βλάβην ἐπιφέρουσιν· [3]εὐσιτείτωσαν δὲ πρὸς μίαν ἢ δευτέραν ἡμέραν· προποτίζειν δὲ βαλαύστιον. Χρῆσθαι [4]δὲ προςήκει καὶ τοῖς τῇ μήτρᾳ προςτιθεμένοις [5]καὶ ἐνιεμένοις· τεσσάρων γοῦν ἡμερῶν οἶδά ποτε διὰ μήτρας φερόμενον [6]αἷμα πρὸς [7]οὐδενὸς τῶν βοηθημάτων κωλυόμενον, χυλῷ δὲ ἀρνογλώσσου χρησαμένων ἡμῶν, παντάπασιν ἐπαύσατο· — εἰ μὲν οὖν ἐῤῥωγὸς ἀγγεῖόν τι τῶν μεγάλων ἰσχυρῶς ἀνεστόμωται, τῶν αὐστηρῶν φαρμάκων ἐστὶ χρεία· — πεσσοὶ δὲ πρὸς τὴν ἐκ μήτρας αἱμοῤῥαγίαν ἁρμόδιοι οἱ τοιοῦτοι·'— ἀναλαμβάνεται εἰς πεσσὸν ἐρίου· ἡ Ἱκεσίου καὶ ἡ διὰ ἰτεῶν καὶ ἀθηνᾶ [8].

## ρς΄. [9]Περὶ αἱμοῤῥαγούσης ὑστέρας.

Ἀπὸ [10]δυςτοκίας ἢ ἐκτρώσεως ἢ ἀναβρώσεως δι' ἕλκωσιν ἢ ἀναστόμωσιν ἢ ἐξ οἱαςδήποτε προφάσεως ῥῆξιν ἀγγείων αἱμοῤῥαγία γίνεται μήτρας· καὶ πρόδηλος μὲν αὐτῆς ἡ κατάληψις, ἐξ ἀθρόας καὶ ἀμέτρου φορᾶς

[1]ὑπερμέτρου ex Sched. [2]Verba: μὴ ψυχρὸν, ἀλλὰ γαλακτῶδες, καὶ προςαντλεῖν ὀξυκράτῳ delata sunt in P. [3]ἀσιτείτωσαν Aet. MS. [4]δὲ om. Aet. MS. [5]καὶ ἐνιεμένοις habet Aet. MS.; om. P. [6]αἷμά φησιν ὁ Γαληνὸς, praebet Aet. MS. [7]οὐδὲν P. [8]In Aetio formulae adduntur, quae desunt in Codice Sorani. ex Sched. [9]Deest in Aetio. ex Sched. [10]Male δυςτοκίας.

αἵματος· συνεδρεύει δὲ ταῖς καμνούσαις ἀσθένεια, ῥάκωσις, ἴσχνωσις, ἄχροια καὶ κατ' ἐπιμονὴν ἀνορεξία· δοκεῖ δέ ποτε καὶ περιοδικῶς ἅπαντα· ἔστι δὲ τὸ σύμπτωμα χαλεπόν· οὔτε γὰρ δακτύλων [1]ἐπερείσεσιν οὔτε ἀγκίστρων καὶ ἐπάρσεσιν, οὔτε μοτῶν διασφηνώσεσιν, οὔτε [2]βρόχων περισφίγξεσιν οὔτε διαῤῥαφαῖς χρῆσθαι δυνατὸν ἐστίν. Οὐκ ἀπὸ τῆς ὑστέρας δὲ μᾶλλον, ἀλλὰ καὶ ἀπὸ τοῦ γυναικείου κόλπου φέρεται τὸ αἷμα· καί τινες σημειούμενοι τὸν τόπον, τὸ μὲν ἀπὸ τοῦ αἰδοίου φασὶν, λεπτὸν καὶ ξανθὸν καὶ θερμὸν φέρεσθαι τὸ αἷμα, τὸ δὲ ἀπὸ τῆς ὑστέρας παχύτερον καὶ μελανώτερον καὶ ψυχρότερον. Ἀσφαλέστερον δὲ διορίσαι τὸ πεπονθὸς μέρος, ἐνέσθαι διοπτρισμὸν παραλαμβάνοντας· τῆς ἐπιμελείας μέντοι χάριν συμφέρει, κατάκλισιν ἐν οἰκήματι μικροτέρῳ καὶ σκοτινῷ καὶ μετρίως ἀναψύχοντι κατὰ κλίνης στερεᾶς ἀκινήτου, μετεωρότερα τὰ πρὸς τοὺς πόδας ἐχούσης, ἠρεμία τε καὶ τὸ ἐφ' ἑνὸς [3]μένει σχήματος· προκλητικὴ γὰρ ῥύσεως πᾶσα κίνησις· συναγωγή τε τῶν μηρῶν καὶ [4]διὰ πληκτική· μιμητικὸν γὰρ χαρακτῆρός [5]ἐστι τὸ σχῆμα καὶ σπόγγων πλατέων καθαρῶν τρυφερῶν ἐν ψυχρῷ ὕδατι βραχέντων ἢ ὀξυκράτῳ ἢ ὄξει κατιδίαν ἐπιθέσεις κατὰ τοῦ αἰδοίου καὶ τοῦ ἐφηβαίου καὶ τῆς ὀσφύος καὶ τῶν ἰσχίων, ὕστερον δὲ καὶ κατὰ στήθους νεαροποιουμένων καὶ συνεχέστερον, καὶ τῶν ἄκρων προςτυπὴς διακράτησις καὶ [6]διάσφιγξις· τὸ γὰρ ἐκ τῆς θλίψεως πύκνωμα μέχρι τοῦ πάσχοντος διαφέρεται μέρους· καὶ ἡ εἰς ψυχρὸν ὕδωρ κάθεσις καὶ τοῦ προςώπου περισφογγισμὸς δι' ἀκραιφνοῦς ὕδατος, καὶ ἐκ διαστήματος καταρῤιπισμὸς καὶ τῆς κεφαλῆς ἐπιβροχὴ,

---

[1]Male ἐπερίσεσιν et ἀγγίστρων. καὶ] abundat. [2]Erat βροχῶν περισφίξεσιν οὔτε διαραφαῖς etc. Mendose infra μελανότερον. [3]Scribendum μένειν et antea σκοτεινῷ. [4]Fort. διαπληκτική. Lob. [5]ἐστὴ P. ἐστι ex Sched. [6]Sic pro διάσφιξις scripsi. Lob.

καὶ δι' ἐλαίου ψυχροῦ νεοτριβοῦς καὶ καταῤῥόφησις ὄξους· ἐγκαθίσμασί τε μέχρι βουβώνων εἰς ψυχρὸν ὕδωρ ἢ ὀξύκρατον ἢ καθαρὸν ὄξος, ἢ ἀφέψημα μύρτων ἢ ῥόδων ξηρῶν ἢ [1]κηκίδος ὀμφακίτιδος ἢ μυρσίνης καὶ φακῶν ἢ σχίνου ἢ σιδίων ἢ βάτου θαλίας ἢ δρυὸς φύλλων ἢ ἰτέας ἢ ῥόας βυρσοδεψικῆς. Εἰ δὲ ἐκ τῆς διαναστάσεως σκυλμὸς ὀχληρότερος, ἢ διὰ κλυστηριδίων ἢ μητρεγχύτου τῶν εἰρημένων ἑνός τινος ἐγχυματιζέσθω ἢ χυλὸς ἀρνογλώσσου ἢ χυλὸς πολυγόνου ἢ σέρεως ἢ [2]στρύφνου ἢ ψαλίου ἢ περδικίου· εἰ δὲ καὶ [3]ἐμμένρι αἱμοῤῥαγοῦσι, καὶ ὑποκυστίδος καὶ ἀκακίας καὶ ὀπίου ὄξει διειμένου, ἢ ὁμοῦ πάντα ἢ πρὸς ἕν, ἢ ὀμφακίου πλῆθος ἕως δύο κυάθων, καὶ τρυφερῶν ἐρίων, [4]ἔντιτι τῶν εἰρημένων χυλῶν διάβροχον καὶ διὰ δακτύλου, ἢ μήλης, παρεντιθέμενον τῷ στόματι τῆς ὑστέρας, καὶ πολὺ μᾶλλον ἐντεῦθεν τῆς [5]αἱμοῤῥαγίας ὑπαρχούσης· ὅταν γὰρ ἀπὸ τῶν ἄνωθεν σφηνούμενον τὸ ἔριον, συστέλλει τὴν ῥύσιν, ἐγκατέχει δὲ τὴν εὐρυχωρίαν τὸ ἀποκριθὲν, ὁπότε τρυφερὸν καὶ καθαρὸν σπογγάριον ἐπίμηκες προστίθεται· ὡσαύτως δὲ ἄβροχον ὡς ἐσωτάτω παρεντιθέναι προσήκει, ἵνα τὸ ἀποκρινόμενον παραλαμβάνηται, καὶ μὴ θρομβούμενον συμπαθείας [6]ἐξάπτῃ καὶ φλεγμονὰς, ἐκ διαστημάτων δὲ τὸν σπόγγον ἀλλάσσειν. Ἁρμόσει δὲ καὶ σικύας κολλᾷν κατ' ὀσφύος, βουβώνων τε καὶ λαγόνων, εἰ δὲ δυνατὸν εἴη, καὶ ἰσχίων μετὰ πυρὸς πολλοῦ καὶ προσκειμένας ἐᾷν ἐπὶ χρόνον ἱκανόν· εἶτα καὶ πράως ἀποσπᾷν· ἐπιθέμασι δὲ χρῆσθαι καθ' ὧν τοὺς σπόγγους ἐπερίψαμεν, φοίνιξιν ἐν οἴνῳ αὐστηρῷ, ἢ ὄξει βεβρεγμένοις μετὰ κηρωτῆς ῥοδίνης ἢ [7]μηλίνης ἢ μυρσί-

---

[1]Scribebatur κικίδος. Pro ῥόας scrib. ῥοὸς. [2]Fort. στρύχνου. Lob. [3]Legebatur ἐνιμένοι αἱμοῤῥαοῦσι. [4]ἐντίθει ex Sched. [5]αἱμοῤῥαΐας ut solet scribi in P. [6]Erat ἐξάπτει. [7]μυλίνης P. μηλίνης ex Sched.

νης φύλλων λείων, ἢ μεσπίλων ἢ στυπτηρίας ἢ ἀλόης ἢ οἰνάνθης ἢ ὑποκυστίδος ἢ ἀκακίας ἢ [1]κηκίδος ὀμφακίνου, ἢ ἐλαίου νεοτριβοῦς ἢ ῥοδίνου ἢ μυρσίνου ἢ σχινίνου ἢ μηλίνου ἢ πάλιν τῆς διά τινος πόας στυφούσης καὶ ψυχούσης οἷον ἀνδράχνης, ὑοςκυάμου, ἀρνογλώσσου, ψυλλίου, στρύχνου, περδικίου, πολυγόνου, σέρεως, μετὰ πάλης ἀλφίτου καὶ ὄξους, ἢ φοινίκων, ἀλλασσομένων πάντων συνεχέστερον. Εὐτονωτέροις δὲ χρῆσθαι τοῖς πεσσοῖς οἷον κηκίδι, μάννῃ, χαλκίτιδι ἐξ ἴσου μετὰ γλυκέος οἴνου ἢ [2]σποδοῦ ἤ τῆς ὑγρᾶς πίσσης, ἢ σπόγγου βραχέντος, εἶτα καὶ ἐντὸς εἰςαχθέντος ἢ ξηρᾷ τρυγὶ μετά τινος τῶν στυφόντων χυλῶν· εἰ δὲ πρὸς ἀναβρώσεις εἴη, καὶ τῷ διὰ χάρτου μέλανι μετ' ὄξους ἤ τινι τῶν πρὸς τοὺς δυςεντερικοὺς ἀναγραφομένων τροχίσκων· καὶ γὰρ εἰ γίνεταί τις ἐκ τούτων ἐσχάρωσις [3]εὐμερὴς, [4]ἡ πρὸς ταύτην ὑπάντησις κρατουμένη ἐν τῷ ζῆν τῆς καμνούσης. Διδόναι δὲ καὶ τροφὴν προαποσπογγίσαντα τὸ πρόσωπον μετὰ ψυχροῦ ὕδατος· ἔστω δὲ ἡ τροφὴ ὄρυζα ἐκ ψυχροῦ ὕδατος ἢ ὀξυκράτου ἢ χόνδρος ἢ ἄρτος καὶ ἁπαλὸν ᾠόν δι' ὄξους· ὕστερον δὲ καὶ μετά τινας ἡμέρας καὶ σέριν ἢ ἀρνόγλωσσον δι' ὄξους καὶ ῥοῦ ὀλίγου νεοτριβοῦς, καὶ μετὰ τὸ καλῶς ἑψηθῆναι, ἔλαιον νεοτριβὲς καὶ αὐτό, καὶ μῆλον καὶ κυδώνιον ὀπτὸν ἢ ἑφθὸν ἄπιον, καὶ σαρκίον ἀπὸ στήθους φάσσης ἑψημένης ἐν ὀξυκράτῳ ἢ μύρτοις ἔνδοθεν ἐκπεπληρωμένης, ἢ πέρδικος, ἢ [5]ἀτταγῆνος ἤ τινος τῶν ἐμφερῶν τούτοις· ὑπερβάντων δὲ τῶν τῆς συμπαθείας χρόνων, καὶ οἰνάριον δοτέον· στερεᾶς δὲ παντελῶς γενομένης, καὶ λουτρόν. Τὴν δὲ φλεβοτομίαν, ἣν ἄλλοι τε παρέλαβον καὶ

---

[1] Scripsi ut antea. Lob. [2] σποδῷ P. σποδοῦ ex Sched. [3] Fort. εὐμαρὴς. [4] ἡ pro ἢ dedi. [5] Erat ἀταγήνης. Lob.

Θεμίσσων, μεταγωγῆς ἕνεκα τῆς ὕλης ἀποδοκιμάζομεν· χαλᾷ μὲν γὰρ ἡ φλεβοτομία [1]πυκνῶς, σὺν καὶ συστολὴν τὸ αἱμοῤῥαγοῦν ἀπαιτεῖ· καὶ οὐ δεῖ μετάγειν τὴν ὕλην, ἀλλὰ κατέχειν· ἐπισφαλὲς δὲ καὶ τὸ φλεβοτομεῖν, ὅτι μὴ κρατηθεῖσαν μὲν τῆς φορᾶς τοῦ αἵματος ἐκ τῆς φλεβοτομίας, ἀνάγκη τάχιον τὴν κάμνουσαν ἀπολέσθαι ὡς ἂν ὑπὸ διπλῆς [2]δαπανηθεῖσαν αἱμοῤῥαγίας· κρατηθείσης δὲ οὕτως, ὥςτε φλεγμονὴν ὕστερον ὡς ἀπὸ σκυλμοῦ πλείονος ἐπιγίνεσθαι κατάλληλον τρόπον ὁ κίνδυνος· εἰ μὲν γὰρ φλεβοτομήσαιμεν, συντόμως [3]ἀπολέσαιμεν τὴν γυναῖκα μετὰ φλεβοτομίαν καὶ αἱμοῤῥαγίαν. Πάλιν δὲ φλεβοτομοῦντες εἰ μὴ ἀφέλοιμεν αἷμα φλεγμονῆς μεγάλης ὑπαρχούσης, ἀβοήθητον περιοψόμεθα τὴν κάμνουσαν· οὐδὲν γὰρ οὕτω διακόπτοιτο ἐν φλεγμονῇ κίνδυνον ὡς φλεβοτομία. Φασὶ δὲ ἔνιοι καὶ κατὰ ἀντιπάθειαν ἔνια ποιεῖν, καθάπερ [4]μαγνήτην λίθον καὶ τὸν ἄσιον καὶ λαγωοῦ πιτύα καὶ ἄλλα τινὰ τῶν περιαπτῶν, οἷς ἡμεῖς οὐ προςέχομεν· οὐκ ἀποκωλυτέον δὲ τὴν παράληψιν αὐτῶν· καὶ γὰρ εἰ μηδὲν ἐξ εὐθείας παρέχει τὸ περιαπτὸν, ἀλλ' οὖν δι' ἐλπίδος εὐθυμοτέραν τὴν κάμνουσαν τάχα παρέξει.

## ρζ΄. Περὶ ῥοῦ γυναικείου.

Ὁ καλούμενος γυναικεῖος ῥοῦς κατὰ μὲν τοὺς ἀρχαίους [5]ὧν Ἀλέξανδρος ὁ Φιλαλήθης ἐν τῷ πρώτῳ λέγει τῶν γυναικείων, ῥοῦς ἐστι πλείονος αἵματος φορὰ διὰ μήτρας μετὰ παρεκτάσεως χρόνου· κατὰ δὲ Δημήτριον τὸν [6]Ἡροφίλειον, φορὰ ὑγρῶν διὰ μήτρας μετὰ παρεκ-

[1]Fort. πύκνωσιν pro πυκνῶς, σὺν. Lob. [2]Erat δαπανηθείσης. ex Sched. Fort. κατ' ἄλλον pro κατάλληλον. [3]Fort. ἂν addendum. [4]Pro μαγνῆτις sic scripsi. πιτύα] Leg. πυτίας vel πιτύας. [5]Fort. ὡς. Lob. In sqq. γυναικῶν P. γυνακείων ex Sched. [6]Dedi Ἡροφίλειον pro Ἡρόφιλον. Lob.

τάσεως χρόνου, τῷ μὴ αἱματώδη μόνον, ἀλλὰ καὶ ἄλλοτε ἀλλοῖον κατὰ χρόνον γίνεσθαι ῥοῦν· καθ' ἡμᾶς δὲ ῥευματισμός ἐστιν ὑστέρας χρονίζων αἰσθητῶς ἀποκρινομένου πλείονος ὑγροῦ. Διαφοραὶ δὲ αὐτοῦ κατὰ μὲν Ἀσκληπιάδην καὶ ἄλλους τινὰς δύο· εἷς μὲν γάρ ἐστιν ἐρυθρὸς, ἄλλος δὲ ὑδατώδης καὶ λευκός· κατὰ δὲ τὸν Δημήτριον, παρὰ τὴν χρόαν καὶ τὴν δύναμιν· παρὰ μὲν οὖν τὴν χρόαν, [1]ὃς μὲν γάρ ἐστι λευκὸς πτισάνης χυλῷ παραπλήσιος· [2]ὃς δὲ ὑδατώδης, [3]ὃς δὲ ἐρυθρὸς, [4]ὃς δὲ μέλας, [5]ὃς δὲ ὕφαιμος σαρξὶ πεπλυμέναις ὅμοιος, ὃς δὲ ἀνώμαλος, ὃς δὲ ὠχρός· παρὰ δὲ τὴν δύναμιν, ὃς μέν ἐστιν ἀργὸς, καὶ ἄνευ δήξεως καὶ ἀλγήματος φέρεται, ὁ δὲ φέρεται μετὰ δήξεως καὶ ἀναβρώσεως καὶ συναισθήσεως ἐπωδύνου, ἐν τῷ καιρῷ τῆς [6]ἀκρίσεως ἐπιφέρων. Λέγει δὲ καὶ τὸν μὲν ἀφ' ὅλου φέρεσθαι τοῦ σώματος, τὸν δὲ ἀπὸ τῆς ὑστέρας, τὸν δὲ ἀπ' ἄλλου τινὸς μέρους [7]καὶ τῆς τούτων διαφορᾶς· ἐπεξέρχονται δὲ μετὰ σημειώσεως ἃς μακρὸν ἅμα καὶ ἄχρηστον ἐξιστορεῖν· ἐπὶ παντὸς γὰρ ῥευματισμοῦ καὶ ὅλων τῶν σωμάτων καὶ μερικῶς τῆς ὑστέρας ἐπιμελεῖσθαι προσῆκον. Λέγεται δὲ ὁ λευκὸς ῥοῦς τοῦ ἐρυθροῦ δυστραπελώτερος, ὡς διὰ στενωτέρων φερόμενος πόρων. Ἡμεῖς δὲ κατὰ κοινὸν σημειωσάμενοι τὸν ῥοῦν ἐκ τοῦ συνεχῶς καθυγραίνεσθαι τοὺς τόπους διαφόροις κατὰ χρόαν ὑγροῖς, τὴν δὲ κάμνουσαν ἀχροεῖν καὶ ἀτροφεῖν καὶ ἀνορεκτεῖν, κἂν τοῖς περιπάτοις πολλάκις δυςπνοεῖν, καὶ κατοιδηκότας ἔχειν τοὺς πόδας· κατὰ δὲ τὸ προσεχὲς, διοίσει τὸ πάθος αὐτοῦ, τῷ τὸν μὲν χωρὶς πόνου ὑπάρ-

---

[1]Est Aetii cap. 72. [2]ἀπὸ φλεγματικοῦ αἵματος add. Aet. MS. [3]τοῦ ὀῤῥώδους αἵματος add. Aet. MS. [4]ἰχὼρ αἵματος add. Aet. MS. [5]χολῆς add. Aet. MS. [6]Num ἀποκρίσεως an ἀκρισίας legendum, haereo. [7]Scrib. καὶ τὰς τούτων διαφορὰς ἐπεξέρχονται (δὲ del. vel in γε mutand.) μετὰ σημειώσεως, ἃς etc. Lob.

χειν, τὸν δὲ μετὰ πόνου καὶ χωρὶς ἑλκώσεως, τὸν δὲ μεθ' ἑλκώσεως φλεγμαινούσης ἢ ῥυπαρᾶς ἢ καθαρᾶς. Ἐνίαις μὲν οὖν ἀδιάλειπτος ἔκκρισις παρακολουθεῖ, ἐνίαις δὲ ἐκ διαλειμμάτων τινῶν· καὶ ὁ μὲν ἐρυθρὸς ταῖς ἀκμαζούσαις συνεδρεύει, ὁ δὲ λευκὸς ὡς ἐπίπαν ταῖς παρακμαζούσαις· ἑκάτερος δὲ αὐτῶν, εἰ μὲν ταῖς οἰκείαις ἡλικίαις συμβαίνει, εὐίατος ἐστίν· εἰ δὲ ταῖς ἀνοικείαις δυςίατος. Ἐπί παντὸς μέντοι ῥοῦ [1]ἀνέωγεν τὸ στόμα τῆς ὑστέρας καὶ ὥςπερ χαλᾶται· τισὶ δὲ ἡ ὑστέρα, ὥστε μέχρι τοῦ γυναικείου αἰδοίου [2]προϊέναι προπίπτει.

## ρη΄. [3]Ῥοῦ ἐρυθροῦ θεραπεία.

Ἐπὶ τοίνυν τῶν ὑπὸ ῥοῦ ἐρυθροῦ ἐνοχλουμένων πρώτη σκέψις περὶ αἵματος ἀφαιρέσεως γένοιτ' ἄν· οὐ μόνον γὰρ [4]ἀντιπράττει τῇ εἰς τὴν ὑστέραν τῆς ὕλης περιολκῇ, ἀλλ' ἤδη καὶ τὴν ἐποχὴν ἀκίνδυνον ἀπεργάζεται· πολλὰ γὰρ ἄτοπα παρακολουθεῖ ἐκ τῆς διὰ τῶν τοπικῶν βοηθημάτων γινομένης ἀθρόας ἀποκοπῆς τοῦ αἵματος ἢ [5]τοῦ ῥεύματος. Τινὲς γὰρ ὑδέρῳ περιέπεσον ἐκ τούτου, καὶ [6]ἄλλαι νευρικαὶ ἐγένοντο συμπάθειαι, καὶ περὶ τὸ στόμα τῆς κοιλίας καὶ περὶ τὴν κεφαλὴν διαθέσεις δύςλυτοι ἐνέπεσον. Οὐκοῦν εἰ μηδὲν [7]κωλύοι, τουτέστιν εἰ μὴ ἀξιόλογα εἴη τὰ κωλύοντα, ἀφαιρεῖν δεῖ τοῦ αἵματος, καὶ μάλιστα εἰ μηδὲ ἡ ἡλικία ἀρνοῖτο τὴν φλιβοτομίαν· ὡς ἐπίπαν γὰρ νέαις ἔφημεν συμβαίνειν τὸν ἐρυθρὸν ῥοῦν. Ἡ δὲ ἀφαίρεσις ὡς ἐπὶ τῶν αἷμα ἀναγόνπον μεμερισμένη γενήσεται κατὰ βραχὺ ὑπὲρ τοῦ χρόνου πολλῷ παραμεῖναι τὴν ἀντίσπασιν· [8]ὑπερθεμέ-

---

[1] Male ἀνεωγὲν. [2] Ita rectius legend. pro προπίπτει[προϊέναι. προπίπτει] Ita Aet. Ms. προςπίπτει P. [3] Est Aetii cap. 73. [4] ἀντιπράττει — περιολκῇ,] ἀντιπράττειν τι, τῆς ὕλης ἡ,ὁλκὴ, P. [5] τοῦ add. Aet.; om. P. [6] ἄλλαις Aet. MS. [7] κωλύει et statim ἀρνεῖται P. [8] ὑπερτιθεμένης οὖν Aet. MS.

νης δὲ τῆς ἀπ᾽ ἀγκῶνος φλεβοτομίας, ἀφαιρεῖν χρὴ [1]ἐκ τοῦ μετώπου ἢ τῶν ῥινῶν ἢ τοῦ μεταφρένου· χρὴ δὲ καὶ κατακλίνειν αὐτὰς, ὑποτιθέντες τοῖς περὶ τὰ ἰσχία μέρεσι [2]τριβακὰ ῥάκη μὴ θερμὰ μηδὲ κροκύδας ἔχοντα ἕνεκεν τοῦ μετρίως ἐμψύχεσθαι. Δῆλον δὲ ὡς καὶ μετέωρα εἶναι ὀφείλει τὰ περὶ τὰ ἰσχία μέρη· καὶ τά σκέλη δὲ ἀποτεινέσθω καὶ συμπεπλέχθω πρὸς ἄλληλα εἰς συναγωγὴν τῶν περὶ τὴν ὑστέραν τόπων· σκεπέσθω δὲ τὰ ἰσχία καὶ τὸ ἦτρον καὶ αὐτὰ τὰ πτερυγώματα· εἰ μὲν πλῆθος φέροιτο, σπόγγοις βεβρεγμένοις ὀξυκράτῳ· εἰ δὲ κατ᾽ ὀλίγον φέροιτο, ἐρίοις οἰσυπηροῖς [3]δεδευμένοις οἴνῳ καὶ ῥοδίνῳ· διαδέσεις δὲ τῶν ἄκρων παραλαμβανέσθωσαν. Ταῦτα δέ οὐ μόνον ἀρχομένου τοῦ πάθους δοκιμάζεται τὰ βοηθήματα, ἀλλ᾽ ἤδη καὶ περιόδους τινὰς πεποιημένου πρὸ τοῦ παροξυσμοῦ καὶ ἐν αὐτῷ τῷ παροξυσμῷ· Χρησόμεθα δὲ καὶ ἐγκαθίσμασιν, [4]οἷς ἐπὶ τῶν αἱμοῤῥαγιῶν εἰρήκαμεν, οἷον ῥιζῶν βάτου, μυρσίνης, σιδίων, ῥόδων καὶ τῶν ὁμοίων, ἐνίοτε δὲ καὶ ὄξος ἐπιβάλλοντες καὶ ἐγκαθίζοντες αὐτὰς μέχρις ὀμφαλοῦ· καὶ ἐγχυματισμοῖς δὲ χρηστέον στύφουσι καὶ ἠρέμα ἐμψύχουσιν. — ὁ τῆς σιδηρίτιδος βοτάνης χυλὸς [5]ἢ τοῦ παρθενίου· γάλα δὲ ὄνειον, εἰ παρείη καὶ κάλλιστα εἰ ἀπὸ νομῆς εἴη τὸ ζῶον· πεσσοὶ δὲ ἁρμόδιοι, πρὸς τὸν ἐρυθρὸν ῥοῦν οἱ ἐπὶ [6]τῆς αἱμοῤῥαγίας προειρημένοι· κληματίνην τέφραν ἐν [7]ἀποδέσμῳ βαλὼν καὶ ἐμβάψας τινὶ τῶν χυλῶν ἐντίθει. Χρώμεθα καὶ τῇ κηκίδι καίοντες καὶ σβεννύντες αὐτήν ποτε μὲν οἴνῳ, ποτὲ δὲ ὄξει, καὶ

---

[1] ἀπὸ Aet. Ms. [2] Sic Aet. Ms. τριβανὰ P. [3] διαβρόχοις Aet. Ms. [4] Hoc caput deerat in Aetio. ex Sched. οἷς — εἰρήκαμεν, οἷον ῥιζῶν] εἰς ἀφέψημα ῥιζῶν Aet. Ms. [5] ἢ τοῦ παρθενίου praeb. Aet. Ms.; om. P. [6] Hoc caput est in Sorano. ex Sched. [7] Leg. ἐπιδέσμῳ. Lob.

τὴν τέφραν λείαν ἐν πέσσῳ προςτιθέντες. [1] Μετὰ δὲ ταῦτα [2] νιπτέον τοὺς τόπους τοῖς προειρημένοις στύμμασιν ἠρέμα ψυχροῖς ἢ χλιαροῖς ὕδασι· καταπλαστέον δὲ τὸ ἐπιγάστριον καὶ τὴν ὀσφῦν τοῖς στύφουσι καὶ τοῖς ψύχουσι· — καὶ κηρωτὰς δια τούτων σκευαζομένας ὑποτιθέναι τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ· ἐπιβοηθοῦσι δὲ καὶ σικύαι κατὰ τῆς ῥάχεως [3] ἀνακολλώμεναι καὶ κατὰ τῶν περὶ [4] μασχάλας τόπων. [5] Εἰ δὲ καὶ [6] ποτήμασί τις [7] ἐθέλοι, μὴ φαρμακώδεσι καὶ [8] δριμέσιν, ἀλλ' ἠπίοις τε οἷον λωτοῦ πρισμάτων ἀπόβρεγμα κατ' ἰδίαν, ἢ μετὰ δυοῖν ὀβολῶν σαμίας γῆς ἐν δυσὶ κυάθοις ὕδατος· εἰ δὲ καιρὸς ἐπιτρέπει, καὶ μετ' οἴνου αὐστηροῦ ἢ σὺν αὐτῷ λαγωοῦ ἢ μόσχου πιτύαν ἢ ἀρνὸς ἢ ἐλάφου, πεπτικὴ γὰρ κατὰ δύναμίν ἐστιν, ἢ γίγαρτα λεῖα ἢ μύρτα ἢ σίδια ἢ φλοιὸν πίτυος ἤ τι τῶν ἐμφερῶν [9] ἐπιπασσόμενον τῷ ποτῷ μέχρι δυοῖν δραχμῶν ἢ ἀφέψημα φοινίκων θηβαϊκῶν ἢ κυδωνίων καὶ μήλων. Ὅτε δὲ μετὰ πόνου φέρεται, χυλὸν ἐνετέον [10] τράγου ἢ χόνδρου ἢ πτισάνης διὰ μητρεγχύτου κλυστηριδίου, καὶ τοῖς θερμοῖς κατὰ δύναμιν χρηστέον καταπλάσμασι, καὶ τροφαῖς ἐνθέρμοις τε καὶ λεπταῖς· ὅτε δὲ μεθ' ἑλκώσεως ἐπὶ μὲν ταῖς φλεγμαινούσαις, τοῖς αὐτοῖς πάλιν χρηστέον, οἷς [11] ἐπὶ μὲν περιωδυνίας καὶ χωρὶς ἑλκώσεως ῥευματισμοῦ· εἰ δ' εἴη ῥυπαρὰ, ὥςτε τρυγῶδες εἶναι τὸ φερόμενον ἢ καθάπερ ἐπὶ δυςεντερικῶν, ποῦ μὲν ἀνακαθαίρειν, ποῦ

---

[1] In Aetio quattnor lineae intercalares, in quibus formula ἄλλο ποιοῦν πρὸς πάντα ῥοῦν. ex Sched. [2] om. Aet. Ms. [3] ἄνω κολλώμεναι Aet. Ms. [4] Ita Aet. Ms. μασχάλων P. [5] Quae sequuntur Soranus addit. Aetium num contractum tantum habeamus? ex Sched. [6] Corrig. ita vel ποτίσμασι pro ποτίμασι. Lob. [7] χρῆσθαι addend. ex Sched. [8] Sic dedi pro δριμέοις. τε] Fort. delendum. Lob. [9] Posui pro ἐπιπασσομένων. [10] Sic! [11] ἔστι P. ἐπὶ ex Sched. Pro ἀνακαθαίρει scripsi ἀνακαθαίρειν. Lob.

δὲ τοῖς [1]ἐπουλοῦν δυναμένοις, ὧν μνημονεύσομεν μικρὸν ὕστερον περὶ τῶν ἐν μήτρᾳ διαλαμβάνοντες ἑλκῶν. Εἰ δὲ χρονίσας ὁ ῥοῦς ποτὲ μὲν ἐπιθέσεις, ποτὲ δὲ διαλείμματα λαμβάνοι κατὰ μὲν τὴν ἐπίθεσιν, τοῖς ἁπλοῖς παρηγορίας ἕνεκεν χρηστέον· κατὰ δὲ διαλείμματα, τοῖς τονοῦν καὶ μετασυγκρίνειν δυναμένοις, οἷον αἰώρᾳ, [2]διαφόρῳ περιπάτῳ, ἀναφωνήσει, ἀλειπτικῇ ἐπιμελείᾳ, λουτρῷ, οἰναρίῳ, ποικίλῃ τροφῇ, παροπτήσεσιν, ἡλιώσεσιν, σικύαις, μετασυγκριτικοῖς δρώπαξι, τρίψεσι διὰ γυμνῶν τῶν χειρῶν [3]ἡδίω μολίνῳ ἢ ψιλώθρῳ ἢ σμήγμασι, μετασυγκριτικοῖς, σιναπισμῷ, ἐμέτῳ ἀπὸ ῥαφανίδων, δριμυφαγίᾳ, καὶ τῇ κατὰ κύκλον ἀγωγῇ, κολυμβοῖς, κατακρουνισμοῖς ἐν ὕδασιν αὐτοφυέσιν, ἀλλαγαῖς ἀέρων διὰ γῆς καὶ θαλάσσης, ἐγκαθίσμασί τε καὶ πεσσοῖς τοῖς ἀμύσσειν δυναμένοις. Τὴν δὲ ἐπὶ τοῦ αἱματώδους ῥοὸς φλεβοτομίαν ἀπὸ ἀγκῶνος ἢ ῥινὸς ἢ μετώπου ὡς ἀνωτέρω εἰρήκαμεν, καὶ νῦν ἀποδοκιμάζομεν, μὴ σφοδροτέρας περιωδυνίας ἐπειγούσης· συστολῆς γὰρ χρήζει τὸ πάθος, οὐκ ἀνέσεως, ἣν [4]τι τοῦ αἵματος ἀφαίρεσις πέφυκε παρέχειν. [5]Ἀγαθὰ δὲ καὶ τὰ πινόμενα φάρμακα παρὰ τῶν αἱμοπτοϊκῶν· σύμπασα δὲ δίαιτα στυπτικωτέρα ἔστω. Χρηστέον δὲ καὶ ταῖς ἐναίμοις ἐμπλάστροις [6]καὶ τῇ Ἱκεσίου καὶ ταῖς ὁμοίαις.

## ρθ'. [7]Ῥοῦ λευκοῦ θεραπεία.

Ἐπὶ δέ τοῦ λευκοῦ ῥοῦ ἢ ἰχωροειδοῦς ἢ πελιδνοῦ ἐν ἀρχαῖς μὲν μὴ ἀντιπράττειν μηδὲ κωλύειν, ὡς ἀλλο-

---

[1]Erat ἐπουλεῖν. τῶν] τὸ P. τῶν ex Sched. [2]διαρφόρῳ] διὰ φορείου ex Sched. [3]ἢ διὰ pro ἡδίω. ex Sched. [4]Pro τι fort. ἡ leg. Lob. [5]Aetius inde simul pergit. [6]Haec desunt in Aetio, qui contra solus addit: κλύσμα πρὸς ῥοῦν· ῥούδιον (sic!) ῥόδα, ῥοϊδόλεπα. [7]Est Aetii cap. 74.

τρίων τινῶν ἐκ τοῦ παντὸς σώματος ἐκκρινομένων· βλαβερὸν γάρ. [1] Δεῖ δὲ καὶ κατὰ τοῦ μορίου τοῖς μετρίως στύφουσι, μετὰ καὶ τοῦ ἀποκαθαίρειν δυναμένοις χρῆσθαι, θερμῷ τε ὕδατι συνεχῶς [2] ἀπορύπτειν τοὺς ἰχῶρας, ἢ ἐρίοις ἀπομάττειν, ἵνα μὴ ἑλκωθῶσιν οἱ τόποι ὑπὸ τῶν παροδευόντων ὑγρῶν, περιχρίειν τε ῥοδίνῳ ἢ μυρσινίνῳ ἢ μηλίνῳ· τῷ τε ὕδατι καθαρῷ χωρὶς στυμμάτων χρηστέον, καὶ μάλιστα κατὰ τοὺς πρώτους χρόνους διὰ τὴν τοῦ ἐπιῤῥέοντος δριμύτητα· — ἐπὶ δὲ τῶν ἄγαν δυςωδῶν . . . ποιεῖ ἡ τετραφάρμακος ῥοδίνῃ ἀνιεμένη· — εἰ δὲ ῥυπαρὰ εἴη τὰ φερόμενα καὶ μετὰ πόνου, λεκίθοις ὠῶν χρηστέον μετὰ κρόκου βραχέος καὶ ῥοδίνου· — εἰ δὲ [3] ὡς τρυγώδη εἶναι τὰ φερόμενα, ὀδύνης δὲ χωρὶς, τοῖς δυςεντερικοῖς ἐνέμασι χρηστέον. [4] Ἀποκαθαρθέντων δὲ τῶν τόπων καὶ ἔτι ὁμοίως δυςωδῶν φερομένων, θαῤῥούντως τοῖς στύφουσι [5] χυλοῖς χρηστέον ἐγχυματίζοντας· σκληρυνθέντων δὲ τῶν τόπων, ὄνου γάλα μετὰ ῥοδίνου ἢ σουσίνου ἐγχεῖν· — Τὸ μέντοι πλέον τῇ διαίτῃ πιστεύειν, καὶ οὐ μόνον τὸ πλῆθος ἀκριβωτέον, ἀλλὰ καὶ τὴν ποιότητα τῶν [6] τροφῶν. Ὕλη δὲ ἐπιτήδειος εἰς τροφὴν ἡ παχύνουσά τε καὶ κατακιρνῶσα· τοιαῦτα δέ ἐστι τὰ σιτώδη ῥοφήματα, καὶ τὰ διὰ γάλακτος σκευαζόμενα· — σάρκας δὲ ἐπιλέγεσθαι ἐχούσας τι καὶ ξηραντικὸν οἷαί εἰσιν αἱ τῶν ὀρείων πτηνῶν, δεύτερον δὲ καὶ τῶν ἀγρίων ζώων. Στεγνωθείσης δὲ τῆς

---

[1] Μέλιτι οὖν τὸ ὅλον συχνῶς ἀλείφεσθαι σῶμα ἱκανῶς τε ἡψημένῳ ἢ καὶ μετά τινος τῶν προειρημένων μυρελαίων, ὀνήσιμον· αἰῶραι δὲ καὶ ἀναφωνήσεις καὶ τρίψεις καὶ περίπατοι, πάσαις σχεδὸν ᾠκείωνται αἱ διὰ φορείου. Haec interponit Aetius. [2] ἀπονίπτειν Aet. Ms. [3] ῥυπαρὰ μὲν εἴη interponitur in Aet. Ms. [4] ἐγχυματίζοντας add. Aet. Ms. [5] κλύσμασι Aet. Ms. [6] ἐδηδεσμένων Aet. Ms., in cujus uno Codice altera lectio τροφῶν in magine adnotata est.

ῥύσεως, φυλάττεσθαι χρὴ ἐπὶ χρόνῳ πολλῷ, περιπάτους [1]τραχεῖς καὶ τρίψεις πολλὰς τοῦ ὑπογαστρίου καὶ τῆς ὀσφύος, δριμυφαγίαν τε καὶ θερμαίνοντα καὶ φυσώδη καὶ διουρητικὰ πάντα τῶν ἐσθιομένων, μήτε δὲ κοιλίαν κινεῖν, καὶ τὰ λουτρὰ σπανίως παραλαμβάνειν καὶ διὰ χρόνου. Φυλάττεσθαι δὲ καὶ πνεύματος κατοχήν· ὑπομνηστικὰ γὰρ τοῦ πάθους τὰ τοιαῦτα πάντα· γυμνάζειν τε καὶ τρίβειν τὰ ἄνω μέρη μὴ βιαίως μηδὲ μετὰ σπαραγμῶν, εἶτα ἐγκαθίζειν εἰς ὕδωρ μὴ πάνυ ψυχρόν· — ῥόδινον ἐν ἐρίῳ προσθετέον· πινέτω σαν .... τὰ ἐπὶ τῶν αἱμοπτοϊκῶν προγεγραμμένα. — τοῦ λωτίνου ξύλου.

## ρι΄. [2]Περὶ ὑστερικῆς πνιγός.

[3]Ἡ ὑστερικὴ πνὶξ κέκληται μὲν συνθέτως ἀπὸ τοῦ πάσχοντος τόπου καὶ συμπτώματος ἑνὸς, λέγω δὲ τοῦ πνιγμοῦ· κατ' ἔννοιαν δέ ἐστιν ἐποχὴ ἀναπνοῆς μετὰ ἀφωνίας καὶ κατοχῆς αἰσθήσεως, [4]διάπνιαν περὶ τῆς ὑστέρας διάθεσιν. Κάτωθεν μὲν γὰρ ἀπὸ τῆς ὑστέρας λαμβάνει τὴν ἀρχήν· εἰς συμπάθειαν δὲ ἄγει τὰ ὑπερκείμενα μέρη, καὶ μάλιστα τά κυριώτατα, διὰ μὲν τῶν ἀρτηριῶν τὴν καρδίαν, διὰ δὲ τῶν τοῦ νωτιαίου μηνίγγων καὶ τῶν εἰς αὐτὰς ἐμφυομένων νεύρων τὸν ἐγκέφαλον· διὰ δὲ τῶν φλεβῶν τὸ ἧπαρ· ἔοικε δὲ ἀναδρομὴ πάσης τῆς ὑστέρας ἐπὶ τὰ ἄνω μέρη γίνεσθαι. Παρέπεται δὲ ταῖς πασχούσαις ἐγγίζοντος μὲν τοῦ παροξυσμοῦ, διανοίας νωθρότης στυγνὴ, οἷον ὑπ' ἐκπλήξεως [5]τεθαμβημένη, ὄκνος πρὸς τὰς πράξεις, ἀτονία τῶν

---

[1]ταχεῖς Aet. MS. [2]Est Aetii cap. 76. [3]Ἡ ὑστερικὴ πνὶξ — λαμβάνει τὴν ἀρχήν·] Ἡ ὑστερικὴ πνὶξ κάτωθεν μὲν ἀπὸ τῆς ὑστέρας λαμβάνει τὴν ἀρχήν· Aet. MS. [4]Sic! ex Sched. Fort. διὰ ποιάν. Lob. [5]Sic Aet. MS. τεθαμβημένη P.

σκελῶν, ὠχρότης προσώπου, βλέμμα ὑπολίπαρον· εἶτα ἐξαπίνης προσπεσούσης τῆς πνιγὸς, ἀναίσθητοι καὶ ἀκίνητοι γίνονται· μικρὸν δὲ καὶ ἀμυδρότατον τὸν σφυγμὸν ἴσχουσιν· ἐνίοτε δὲ καὶ παντελῶς ἄσφυκτοι γίνονται· ἐνίαις δὲ οὐδὲ ἡ ἀναπνοὴ αἰσθητῶς σώζεται [1]δηλονότι παρὰ τῆς ποιούσης αἰτίας τὴν διαφορὰν καὶ τὸ μέγεθος. Καί τινες βουλόμενοι γνῶναι εἰ σώζεταί τις αὐταῖς κἂν βραχεῖα ἀναπνοὴ, κατὰ τῆς ῥινὸς ἔριον ἐξασμένον ἀποκρεμῶσιν· εἶτα ἐκ τῆς γινομένης τούτου [2]κενώσεως, τεκμαίρονται σώζεσθαι τὴν διὰ τῆς ῥινὸς εἰςπνοὴν καὶ ἐκπνοήν. Τινὲς δὲ φιάλην ὕδατος μεστὴν κατὰ τοῦ στόματος τῆς γαστρὸς ἐτίθεσαν, θεωροῦντες εἰ κίνησίν τινα ἕξει τὸ ὕδωρ· ἀγνοοῦσι δὲ οὗτοι ὡς ἡ μὲν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἀναπνοὴ ἐνίοτε οὐ γίνεται, ἡ δὲ διὰ τῶν ἐν ὅλῳ τῷ σώματι ἀρτηριῶν διαπνοὴ γίνεται, καθάπερ ἐπὶ τῶν φωλευόντων ἰοβόλων ζώων ὁρῶμεν γινόμενον· τὰ γὰρ ἰοβόλα ζῶα, τὸ τῶν ὄφεων λέγω γένος, δι' ὅλου τοῦ χειμῶνος νεκροῖς ὅμοια κατὰ τοὺς ἑαυτῶν φωλεοὺς ἔῤῥιπται, διὰ τῶν ἐν ὅλῳ τῷ σώματι ἀρτηριῶν διαπνεόμενα. Ἐγχωρεῖ τοίνυν καὶ ἐπὶ τῆς ὑστερικῆς πνιγὸς ἐπειδὴ κατέψυκται τὸ πᾶν σῶμα, τὴν μὲν διὰ τοῦ στόματος ἀναπνοὴν μηδόλως γίνεσθαι, τὴν δὲ ἐν ὅλῳ τῷ σώματι διὰ τῶν ἀρτηριῶν

---

[1] *δηλονότι — μέγεθος.*] **Aet. Cod. Par. 1293. pro his offert:** ἔνιαι δὲ τῶν ἄλλων ἐνεργειῶν σωζομένων αὐταῖς, αὐτὸ δὲ τοῦτο μάλιστα ἀναπνέουσιν ἐπὶ τῷ πάθει· καὶ δῆλον ὅτι ἐφ' αἷς οὐ περὶ τὴν καρδίαν καὶ τὸν στόμαχον ἢ σύνθλιψις ἢ δῆξις ἢ κατάψυξις ὑπὸ τῆς ἀναδρομῆς τοῦ μορίου γίνεται, ἀλλὰ περὶ τὰ ἀναπνευστικὰ μόρια καὶ τὸν πνεύμονα τοῦτο συμβαίνει· διὰ τοῦτο οὔτε ἡ λειποθυμία ταύταις σφοδρά ἐστιν ὡς ἀπαθεστέρας μεινάσης τῆς καρδίας· οὐ γὰρ οἷόν τε ἄνευ συμπαθείας τῆς καρδίας, λειποθυμίαν ὑφίστασθαι· διαφοραὶ δὲ τοῦ πάθους δηλονότι παρὰ τὴν τῆς ποιούσης αἰτίας διαφορὰν καὶ τὸ μέγεθος.
[2] *κινήσεως* **Aet. MS.**

γίνεσθαι· δυνατὸν δὲ καὶ γινομένην αὐτὴν διὰ στόματος καὶ ῥινῶν ἐλαχίστην οὖσαν λανθάνειν τὴν αἴσθησιν. [1]Προκατάρχει δὲ τοῦ πάθους ὡς ἐπὶ τὸ πλεῖστον [2]ἐπάλληλος ἔκτρωσις, [3]ὠμοτοκία, χηρεία μακρὰ, κράτησις ἐμμήνων, καὶ συνήθους κυήσεως περιγραφὴ, πνευμάτωσις ὑστέρας· παρέπεται δὲ ταῖς ἐν τῷ πάθει τυχανούσαις παροξυσμοῦ γινομένου κατάπτωσις, ἀφωνία, βαρύπνοια, κατάληψις αἰσθήσεως, [4]συναίρεσις ὀδόντων καὶ [5]τριμμὸς, σπασμώδης συνολκή τε τῶν ἄκρων, ποτὲ δὲ πάρεσις μόνον ὑποχονδρίων, μετεωρισμὸς, μήτρας ἀναφυγὴ, θώρακος διόγκωσις, τῶν καταπλεκόντων τὸ πρόσωπον ἀγγείων κύρτωσις, περίψυξις, περιίδρωσις, ἀσφυξία παντελὴς ἢ βραχὺς ἄγαν ὁ σφυγμὸς καὶ σύντομος, κατὰ τὸ πλεῖστον ἐξανίστασθαι τῆς καταπτώσεως καὶ ἀναφέρειν ὡς ἐπὶ τὸ πολὺ πέρὶ τῶν γεγονότων ἀλγεῖν, κεφαλήν τε καὶ τένοντας, ἐνιάκις δὲ καὶ παρακόπτειν. Παράκειται δὲ τῷ ὑστερικῷ πάθει, διὰ τὴν ἀφωνίαν καὶ τὴν κατάληψιν τῶν αἰσθήσεων τὸ ἐπιληπτικὸν ἢ ἀποπληκτικὸν καὶ καταληπτικὸν καὶ ληθαργικὸν καὶ τὸ ἀπὸ ἑλμίνθων ἄναυδον, ὧν ἁπάντων ὑφ' ἓν διακριθήσεται τῷ τὴν ὑστέραν ἐπὶ τούτων κατὰ φύσιν εὑρίσκεσθαι, εἰ μὴ ἐπὶ πολὺ καὶ [6]κακουμένην, ἐπὶ δὲ τοῦ ὑστερικοῦ, σφοδρῶς φλεγμαίνουσαν καὶ ἀναδεδραμηκυῖαν, καὶ [7]τῷ τὰς μὲν ὑστερικὰς ὡς ἐπὶ τὸ πλεῖστον τοῦ παροξυσμοῦ, περὶ ὧν ἔπαθον ἀναφέρειν· τὰς δὲ ἐν τοῖς ἄλλοις πάθεσι μηδαμῶς, καὶ τὰς μὲν ὑστερικὰς προηγουμένως ἐσχηκέναι μέμψιν ὑστέρας, τῶν ἄλλων δὲ τὰς μὲν ἐξ ἑλμίνθων ἀφώνους, ἐντέρων καὶ κοιλίας, τὰς δὲ λοι-

---

[1]Haec omnia usque ad διὸ τούτοις ἀκόλουθον εἶναι δεῖ καὶ τὴν ἐπιμέλειαν· non leguntur in Aet. MS. [2]Diagnosis optima. ex Sched. Male ἀπαλληλος. [3]Male ὠμοτοκυία. [4]συνέρεισις ex Sched. [5]Fort. τρισμὸς. Lob. [6]Erat κακωμένην. ex Sched. [7]Male τὸ scribebatur. Lob.

πὰς κεφαλῆς πόνον ἔχειν, καὶ τῷ ταῖς μὲν ἐπιληπτικαῖς ἀφρὸν ἐπιφαίνεσθαι καὶ σφυγμῶν μέγεθος, ταῖς δὲ ὑστερικαῖς, οὐκέτι· καὶ [1] τῷ ταῖς μὲν ἀποπληκτικαῖς σφοδρὸν εἶναι τὸν σφυγμὸν, ταῖς ὑστερικαῖς δὲ ἀμυδρὸν εἶναι· τῶν δὲ καταληπτικῶν τῷ τὴν μὲν κατάληψιν ἐν πυρετοῖς γίνεσθαι μετὰ τοῦ διατετάσθαι τὰ βλέφαρα καὶ [2] συνηρεικέναι τοὺς ὀδόντας πρὸ τῆς ἀκμῆς τοῦ πυρετοῦ, κατὰ δὲ τὴν ἀκμὴν ἀνίεσθαι· τὴν δ' ὑστερικὴν πνίγα καὶ ἄνευ πυρετοῦ καὶ μετὰ τοῦ ἐπιμεμυκέναι τὰ βλέφαρα· τῶν δὲ ληθαργικῶν ἴδιον, τὸ ἐν πυρετῷ καταφέρεσθαι, καὶ μέγαν εἶναι τὸν σφυγμὸν, ἅπερ οὐκ ἐστὶν ἐπὶ τῶν ὑστερικῶν· τῶν δὲ δι' ἕλμινθας ἀφώνων τὸ ἐκβοᾷν ἐκ διαστημάτων, καὶ ἀνώμαλον καὶ διαλείποντα τὸν σφυγμὸν ἔχειν. Τοιαύτη μὲν οὖν καὶ ἡ πρὸς τὰ παρακείμενα πάθη τῶν ὑστερικῶν διάκρισις· ἔστι δὲ τῷ γένει [3] στεγνὸν καὶ σφοδρὸν καὶ κατ' ὀξύτητα γινόμενον καὶ κατὰ χρονιότητα· διὰ τούτοις ἀκόλουθον εἶναι δεῖ καὶ τὴν ἐπιμέλειαν. [4] Καταφέρονται τοίνυν βαθέως αἱ τοιαῦται, μετὰ ἀφωνίας καὶ ἀναισθησίας καὶ ἀκινησίας· [5] εἶτα διαλυομένων τῶν αἰτιῶν, ἄρχεται τονοῦσθαι τὸ σῶμα καὶ [6] ἐρευθεῖν τὰ μῆλα· διανοίγονται δὲ καὶ αἱ γνάθοι, καὶ οἱ ὀφθαλμοὶ μετὰ πλείστου βάρους ἐπαίρονται· μελλούσης δὲ ἤδη ἀνίεσθαι, προτρέχει ἐκ τῶν γυναικείων τόπων ὑγρασία πρὸς τὴν ἁφὴν, καὶ βορβορυγμὸς γίνεται τῶν ἐντέρων, αὐτή τε [7] ἐπιχαλᾶται κατ' ὀλίγον ἡ ὑστέρα· καὶ οὕτως ἀπολαμβάνουσιν αἱ

---

[1] *διετάσθαι* P. *διατετάσθαι* ex Sched. [2] Pro *συνειρηκέναι* posui *συνηρεικέναι*. [3] Methodic. ex Sched. *διὰ*] Leg. *διὸ*, Lob. [4] Aetius nunc cum Sorano pergit. [5] Ante interpunctionem leguntur in Aetii Codd.: *καὶ καρδιώττουσιν· ἐμοῦσί τε σίελον εἰ ἐν τῷ στομάχῳ συμβαίη ὑγρασίαν ἢ τῇ κεφαλῇ ἀποκεῖσθαι.* [6] Sic P. et Aet. Cod. Par. 2191. *ἐνερευθεῖν* Aet. Cod. Par. 2193. [7] Ita Aet. MS. *ἄλεται* P.

πάσχουσαι [1]τό ἐννοεῖν καὶ αἰσθάνεσθαι καὶ κινεῖσθαι· ἐπιπίπτει δὲ τὸ πάθος ἀεὶ μὲν, μάλιστα δὲ [2]χειμῶνος καὶ φθινοπώρου, νέαις δὲ μᾶλλον καὶ εὐκαταφόροις πρὸς λαγνείαν, στείραις, καὶ μάλιστα εἰ διὰ φαρμακείαν εἶεν ἄτοκοι· καὶ ψύξις δὲ ἐν καθάρσει καταμηνίων [3]τὸ νόσημα [4]εἰργάσατο· ἐνίαις δὲ καὶ ἐκτρωσμοὺς δυσχερεῖς τὸ πάθος [5]ἐπήνεγκε· καὶ αἱμοῤῥαγίαν [6]ὑστέρας ἀναστεῖλαί τις ἀποτόμως βουληθεὶς, τὸ νόσημα εἰργάσατο· μελετηθὲν δὲ τὸ πάθος, ὡς ἐπιληψία χρονίζει, τὸ μὲν ὅλον ἀκινδύνως παρεῖναι δοκοῦν, καθ' ἕκαστον δὲ παροξυσμὸν ἀποτελοῦν κίνδυνον ὀξὺν, ὡς μηδ' ἐν ἡμέρᾳ ὅλῃ, ἀλλ' ἐν ὀλίγαις ὥραις ἀποκτεῖναι, τῶν μὲν σφυγμῶν ἀπὸ τῆς εὐταξίας τῆς πρόσθεν πυκνουμένων τε καὶ ἀποσπαιρόντων ἀτάκτως, βραχείας δὲ νοτίδος ὑποψύχρου τὴν ἐπιφάνειαν δροσιζούσης, τῆς δὲ ἀναπνοῆς τὸ μὲν πρῶτον ἀμαυρουμένης, μετὰ δὲ τοῦτο τελέως ἀποκοπείσης· [7]ψύξις δέ ἐστι πνευματικωτέρα τὸ πάθος, [8]οὐχ ὥς τινες ᾠήθησαν φλεγμονή· τὸ γὰρ ἀθροιζόμενον αὐταῖς κατὰ βραχὺ σπέρμα μένον καὶ καταψυχόμενον διαδίδωσι τὴν ψύξιν εἰς καρδίαν καὶ ἐγκέφαλον· καταψυχόμενα δὲ [9]τὰ κύρια μόρια, τὰ προῤῥηθέντα συμπτώματα ἐπάγει. [10]Οἶδα γὰρ αὐτός ποτε θεασάμενος γύναιον, περιπεσὸν τῷ τοιούτῳ πάθει· καὶ τῆς μαίας τὰ χαλαστικὰ καὶ εὐώδη βοηθήματα προσαγούσης

---

[1] τό, τε νοεῖν Aet. MS. [2] ἐν χειμῶνι καὶ φθινοπώρῳ Aet. MS. [3] Post καταμηνίων add. Aet. Cod. 2193. ἢ ἄλλως πλεονάζουσα. [4] ἀπειργάσατο Aet. Cod. 2191. [5] ἐπήνεγκε] Aet. MS. ὑπήνεγκε P. [6] ἀπὸ ὑστέρας στεῖλαί τις Aet. MS. [7] Antecedunt in Aet. MS. haec quae desunt in Sorano: αἷς δὲ καὶ ἐπίμονοι ὀδύναι λίαν καὶ οὐ ταχεία λύσις γέγονε τῶν κατὰ τὴν μήτραν ἀλγημάτων ἐπὶ τῷδε τῷ πάθει, καὶ διαπυΐσκουσιν αἱ ὑστέραι ἢν μὴ λίαν δεόντως ἰατρευθῶσι. [8] οὐχ ὡς ὁ Σωρανὸς ᾠήθη φλεγμονὴν εἶναι. Aet. MS. [9] ἢ ἑτέρα τις ὕλη ἐναποτεθεῖσα καὶ σαπεῖσα, add. Aet. MS. ante διαδίδωσι. [10] Ita Aet. MS. Εἶδα δέ ποτε γύναιον, praebet P.

καὶ παρατριβούσης τὸ αἰδοῖον ἐσωτάτω τοῖς δακτύλοις [1]ὑπό τε τῆς ἐκ τῶν βοηθημάτων θερμασίας καὶ τῆς τῶν δακτύλων ψαύσεως, ἐγένοντο συνολκαὶ μετὰ πόνου τε ἅμα καὶ ἡδονῆς· [2]ἐφ' ἧς ἐκκριθέντος παχέος τε καὶ πολλοῦ καὶ γλίσχρου σπέρματος, ἀπηλλάγη τῶν κατεχόντων αὐτὴν [3]ὀχλημάτων ἡ γυνή· καὶ οὐδὲν θαυμαστὸν ἐκ τοῦ οὕτως ἐλαχίστου τοιαῦτα γίνεσθαι συμπτώματα, ὅπου γε καὶ τὰ δηλητήρια σμικρότατα διδόμενα καὶ τῶν ἑρπετῶν ὁ ἰὸς, μείζονα τούτων παθήματα [4]προςάγει βραχυτάτου ἰοῦ [5]διὰ τὴν στενότητα τῆς ὀπῆς ἐνιεμένου. Οὐδὲν οὖν ἄτοπον εἰ καὶ σπέρμα κακόχυμον ἢ καταμήνιον [6]ὁμοίως ἐπισχεθέντα καὶ διασαπέντα, συμπτώματα [7]φέρει χαλεπά· τεκμήριον δέ σοι γινέσθω τὸ ἐπὶ τῶν λυττώντων κυνῶν γινόμενον· τοσαύτη γὰρ ἐν αὐτοῖς γίνεται διαφθορὰ τῶν χυμῶν, ὥςτε τὸ σίελον αὐτῶν μόνον [8]ἀνθρωπείῳ σώματι προςπεσὸν, [9]ἀπεργάζεσθαι λύτταν· [10]παρὰ μὲν οὖν τὴν ποιότητά τε καὶ ποσότητα τοῦ ἀθροισθέντος αὐταῖς σπέρματος [11]καὶ καταμηνίου ἄλλοτε ἄλλου συμπτώματος εἶδος αὐταῖς γίνεται· ψύχειν μὲν γὰρ ὅλον τὸ σῶμα δυναμένου τοῦ λυ-

---

[1]ὑπὸ sine τε Aet. MS. [2]ἐφ' οἷς Aet. MS. [3]ὀχληρῶν Aet. MS. [4]ἐπάγει Aet. MS. [5]διὰ τὴν στενότητα τῆς ὀπῆς] διὰ στενωτάτης ὀπῆς Aet. MS. [6]ἢ χυμοῦ ποσότης ὁμοίως ἔχοντα Aet. MS. [7]φέρειν Aet. MS. [8]ἀνθρωπίνῳ Aet. MS. [9]ἀπεργάζεται Aet. MS. [10]In Aetii Cod. 2193. nonnulla interjiciuntur: οὐκ ἀγνοητέον δὲ ὅτι πολλάκις οὐκ αὐτῆς ἐστι κυρίως ἡ ἀναδρομὴ ὑπὸ τῶν ἐν αὐτῇ ὑλῶν σωρευθεισῶν γινομένη, ἀλλ' ὑπὸ τῶν ἐν στομάχῳ κειμένων γίνεται αὐτῆς διὰ τῶν ἀγγείων ἀνάσπασις· ὥςπερ οὖν καὶ παρέγκλισις ἐπὶ τὰ πλάγια γίνεται διὰ τὴν ἐκ τῶν παρακειμένων αὐτῇ μορίων ὑποδοχὴν καὶ πλήρωσιν τῶν ἀγγείων αὐτῆς διατεινομένων, οἷον ἀπὸ ἥπατος ἢ σπληνὸς, ἢ ἑτέρου τινός· ἀλλ' αὕτη μὲν κατὰ ἀνασπασμὸν καὶ συμπάθειαν τῆς ὑστέρας· κατὰ ἀναθρομὴν δὲ ἡ ὑστερικὴ πνὶξ ἡ προκειμένη. [11]ἢ καταμηνίου ἢ χυμοῦ, ἄλλοτε etc. Aet. MS.

ποῦντος αἰτίου ὡς φλεγματικοῦ, καταψύχονται σφοδρῶς, ὡς μήτε ἀναπνεῖν αἰσθητῶς, μήτε σφύζειν τὰς ἀρτηρίας· [1]παχέος δὲ ὄντος ἢ δριμέος, [2]σπασμοὶ γίνονται· δυςθυμία δὲ παρακολουθεῖ, [3]ὅταν μελαγχολικώτερον ᾖ· λειποψυχίαι δὲ ταῖς σφοδρότησι τῶν διατάσεων ἕπονται, καὶ ταῖς καταψύξεσι, καὶ ταῖς τοῦ στόματος τῆς γαστρὸς κακώσεσιν. [4]Τῆς μὲν οὖν ἐπιτάσεως γινομένης, κατακλίνειν δεῖ τὴν κάμνουσαν ἐν οἰκήματι συμμέτρως ἀλεεινῷ καὶ φωτεινῷ, καὶ ἀσκύλτως τὴν κατάπτωσιν ἀνακαλεῖν, κινοῦντα μὲν τὴν γένυν, χλιάσματα κατὰ μετώπου ἐπιτιθέντα πράως ἐξαπλοῦντα [5]πᾶν τὸ συνελκόμενον, διακρατοῦντα τῶν ἄκρων ἕκαστον καὶ συμφίλων χειρῶν πρὸς ἁφὴν θάλποντα πᾶν τὸ κατεψυγμένον· [6]διαδεσμεῖν [7]τοίνυν χρὴ τὰ ἄκρα ἐν τοῖς παροξυσμοῖς, καὶ [8]τρίβειν τοὺς πόδας [9]ἰσχυρῶς μετὰ τῶν διαδέσμων καὶ τὰς κνήμας καὶ ὅλα τὰ σκέλη· [10]εἶτα διὰ [11]σφόγγου θερμῷ ὕδατι βραχέντος [12]περιμάσσοντος τὸ πρόσωπον· ἔχει γάρ τι ζώπυρον ὁ τοῦ προσώπου περισφογγισμός· εἰ δὲ τὰ τῆς ἀφωνίας ἐπιμένει, καὶ σικύαις κωφαῖς χρώμεθα κατὰ βουβώνων, ἐφηβαίου τε καὶ τῶν παρακειμένων, εἶτα τρυφερῶν καὶ καθαρῶν ἐρίων ἐπιβολαῖς, καὶ πολλῇ καὶ [13]διακόπῳ μέχρι τινὸς τῇ δι' ἐλαίου γλυκέος

---

[1] In Aet. Cod. 2193. interseruntur haec: *νάρκη τε οἷόν τισι τοῖς μέλεσι παρέπεται.* Etiam ibi *ξηροῦ* pro *παχεος* legitur. [2] Sequitur *μέντοι* in Aet. MS. [3] *ὅταν παχύ τε καὶ μελ.* Aet. MS. [4] Soranus pergit solus usque ad *πᾶν τὸ κατεψυγμένον.* [5] *παντὸς* P. *πάντως* ex Sched. Dedi *πᾶν τὸ.* Lob. [6] In Aet. Cod. 2193. antecedunt haec: *Ἀνακλιτέον τοίνυν τὴν πάσχουσαν, ὑψηλότερόν τε τὸν αὐχένα καὶ μετάφρενον ἔχουσαν· τούς τε μηροὺς μὴ προανέχειν, ἀλλ' ὑποκεχαλᾶσθαι τῶν βουβώνων.* [7] *τε* pro *τοίνυν* Aet. MS. [8] *ἀνατρίβειν* Aet. MS. [9] *ἄνωθεν κάτω* ante *ἰσχυρῶς* legitur in Aet. MS. [10] Inde Soranus solus usque ad *μέχρι τῶν μέσων.* [11] Erat *σπόγγων.* [12] Leg. *περιμάσσοντα.* Lob. [13] Sic! ex Sched.

καταβροχῇ, καὶ τῇ παντὸς ἄκρου διὰ τῶν ἐρίων περιειλήσει· διαπρεσβεύεται γὰρ τὸ ἀπὸ τῶν περάτων χάλασμα μέχρι τῶν μέσων· καὶ ὀσφραντὰ ταῖς ῥισὶ προσφέρειν· — ταῦτα γὰρ τούς τε ἀνενεχθέντας ἐπὶ τὸν ἐγκέφαλον ἀτμοὺς ἢ χυμοὺς παχεῖς, τέμνειν καὶ λεπτύνειν πέφυκε μετὰ καὶ τοῦ θερμαίνειν τὴν ψύξιν, τόν τε θώρακα καὶ τὸν πνεύμονα διακαθαίρει καὶ τονοῖ τὸν στόμαχον εἰςπνεόμενα· — καὶ πταρμοὺς δὲ κινεῖν· — [1]διανοίγειν τε τὸ στόμα καὶ παραπιέζειν τὸν [2]χαλινὸν διὰ τῶν δακτύλων ὡς ἔμετον ἐρεθίσαι· ὑποθυμιᾷν δὲ ταῖς ῥισὶ [3]καστόριον· τῇ δὲ μήτρᾳ τὰ εὐώδη μετὰ τοῦ χαλᾷν καὶ θερμαίνειν καὶ πνεύματα προςκαλεῖσθαι δυνάμενα προςάγειν φάρμακα καὶ μύρα[4]· τοιαῦτα δὲ προςήκει λαβοῦσαν τὴν μαῖαν, τοῖς δακτύλοις προςάγειν [5]πρὸς τό στόμα τῆς μήτρας, καὶ παρατρίβειν ἠρέμα καὶ ἐπὶ πολὺ, ἵνα τῷ ἐρεθισμῷ τὸ παρακείμενον ἐν τοῖς σπερματικοῖς ἀγγείοις παχὺ σπέρμα ἐρεθιζόμενον καὶ ποσῶς θερμαινόμενον ἐκκριθῇ [6]καὶ εἰς αὐτὴν δὲ τὴν μήτραν διὰ μητρεγχύτου τὸ ἀμαράκινον ἢ [7]γλεύκινον ἢ μαλαβάθρινον μύρον ἐνιέναι· — [8]σὺν τούτοις δὲ πᾶσιν [9]ἐμβοάτω τις

---

[1]διαγάγειν P. [2]λιχανὸν τῶν δακτύλων Aet. Cod. 2191. [3]Aet. Cod. 2193. offert post καστόριον haec: ἐλλύχνιόν τε νεόσβεστον, ... καὶ κατύμματα ... — καὶ ἄρτον νεόκαυτον ... τινὲς δὲ καὶ ἀμίδα ἐξ οὔρου παλαιοῦ, τεθειωμένα τε ῥάκη καίοντες, τῇ ῥινὶ προσάγουσι· — γαγάτης· — ὑποθυμιᾷν δὲ κάτωθεν τὸ αἰδοῖον τοῖς εὐώδεσιν οἷον στύρακι, βοχὰ καὶ σανδανὰ καὶ ἀλοὰ καὶ τοῖς ὁμοίοις. [4]τῷ καπνιστῷ λεγομένῳ μύρῳ in margine MS. est. [5]τῷ στόματι Aet. MS. [6]Aet.:Cod. 2193. ante exhibet haec: ποιεῖ δὲ καὶ τῆλις οἴνῳ προβραχεῖσα καὶ μετὰ μέλιτος λεανθεῖσα ἐπὶ τῶν ἀφώνων καὶ ἐρειδόντων τοὺς ὀδόντας καὶ τὸ στόμα τῆς μήτρας μυουσῶν· — διὰ δὲ τῆς ἕδρας προστίθεται καλῶς ἐπὶ τῶν εὐθαλεστέρων κεδρία ἢ ὑγρὰ πίσσα μετ᾽ ἐρίου. [7]Ita Aet. MS. γλαύκινον P. [8]In Aetio praecedunt haec: καὶ σικύαν δὲ κολλᾷν προςήκει βουβῶσί τε καὶ μηροῖς, κἄπειτα καὶ περί τὸν ὀμφαλὸν μέσον καὶ ἑκατέρωθεν μετὰ πολλῆς φλογός, ἄνευ κατασχασμοῦ. [9]ἐμβοείτω et τραχυτέραις φωναῖς Aet. MS.

αὐταῖς τραχυτέρᾳ φωνῇ, ἢ καὶ μετακαλείτω τῇ οἰκείᾳ προσηγορίᾳ· ἐγκαθίζειν τε αὐτὰς εἰς ἀφέψημα δάφνης . . . — ἐπιμελεῖσθαι δ' ἐν τῷ καιρῷ τοῦ ἐγκαθίσματος τῆς κεφαλῆς ῥοδίνῳ ἐμβρέχοντες μετ' ὄξους· — τῷ δὲ ὑποχονδρίῳ ταινίαν προσάγειν καὶ σφίγγειν, καὶ ταῖς χερσὶ πιέζειν πλατείαις τὸ στόμα τῆς γαστρός· [1]καὶ τῇ ἕδρᾳ δὲ προσθεῖναι πήγανον· εἶτα θερμοῦ ὕδατος ἐπιδυσταμένῃ τῇ γέννϊ παρενστάζειν. Ἀνενεχθεῖσα δὲ ἀπὸ τοῦ παροξυσμοῦ ἐπ' ἀσιτίας τηρείσθω· τὰς δὲ μετὰ τροφὴν ἐμπεσούσας τῷ παροξυσμῷ, ἐμεῖν ἀναγκαστέον· πάσας γὰρ κουφίζει ὁ ἔμετος· μάλιστα δὲ τὰς μετὰ τροφὴν παροξυνομένας· μετὰ δὲ ταῦτα, καὶ μελικράτῳ καὶ τῇ διὰ κρεμαστοῦ κλινιδίου κινήσει· παυσαμένης δὲ τῆς ἐπιτάσεως εἰ μή τις ἀτονία κωλύει, εἰ μὴ πρὸ πολλοῦ εἴη δεδομένη τροφὴ, φλεβοτομίᾳ χρηστέον, εἶτα ἐγχυματισμῷ δι' ἐλαίου γλυκέος καὶ θερμοῦ ὕδατος, καὶ καταβροχῇ, διακλύσματί τε καὶ ποτῷ ὕδατι θερμῷ, καὶ ἀποχῇ τροφῆς ἕως διὰ τρίτου· κἂν ταύτῃ τὸ μὲν πρῶτον ἀποθεραπεύειν· τὸ δὲ μετὰ ταῦτα τροφὴ [2]ῥοφηματώδης καὶ ἀπὸ ταύτης τῇ παραμίαν δόσει μέχρι τοῦ βεβαίως παρακμάσαι τὴν περὶ τὴν μήτραν γενομένην ἀπειλήν· [3]τῇ δὲ τρίτῃ σικύας τῷ ἤτρῳ καὶ λαγόσι προσφέρειν καὶ τῇ ὀσφύϊ μετὰ κατασχασμοῦ καὶ ἀμυχαῖς [4]κατακνίσας τοὺς τόπους ἅλσιν [5]ἐπιψύξομεν τὰς ἀμυχὰς καὶ [6]ἀναλαβόντες καταπλάσμασι τοῖς ἐπὶ τῶν μετὰ πόνου καθαιρομένων παραδοθεῖσι, καὶ πυρίαις ταῖς διὰ σπόγγων καὶ τοῖς ἀνετικοῖς ἐγκαθίσμασιν, ὧν τῆς ὕλης

---

[1] Sequentia ad τὴν περὶ τὴν μήτραν γινομένην ἀπειλήν· om. Aet. MS. [2] Male ῥοφηματώδη. Lob. [3] τῇ δὲ τρίτῃ — ἀναλαβόντες] praeb. etiam Aet. MS. reliqua tamen in eo desunt. [4] κατακνίζοντας Aet. MS. [5] ἐπιψήχειν Aet. MS. [6] ἀναλαβόντας Aet. MS.

ἐμνημονεύσαμεν, καὶ πεσσοῖς τοῖς διὰ στεάτων καὶ μυελῶν καὶ τήλεως καὶ μολόχης, σουσίνου τε ἢ κυπρίνου ἐλαίου καὶ τῇ διὰ κλυστῆρος [1]ἐν αἷς ἡ τοῦ ἐλαίου ἢ ὑδρελαίου καὶ μᾶλλον εἰ σκύβαλον εἴη κατεσχημένον· θλίβει γὰρ τὸ περίσσωμα παρακειμένην τὴν μήτραν. Παρακμαζούσης δὲ τῆς διαθέσεως, κηρωταῖς καὶ μαλακτικωτέροις πεσσοῖς, εἶτα τροφῇ ποικίλῃ, κἄπειτα λουτρῷ καὶ ὕστερον οἴνῳ· πολλάκις δὲ τῶν παροξυσμῶν γινομένων καὶ τῶν ἀνέσεων καὶ διὰ τοῦτο χρονίσαντος τοῦ πάθους, κατὰ μὲν τοὺς παροξυσμοὺς ἁρμόσει τοῖς ὑποδεδειγμένοις χρῆσθαι· κατὰ δὲ τὸ διάλειμμα, πρῶτον ἀναλαμβάνειν τὴν κάμνουσαν διὰ ποικίλης αἰώρας καὶ περιπάτου καὶ ἀναγνώσεως καὶ ἀναφωνήσεως καὶ [2]ἀλειμμάτων καὶ [3]γυμνασίων καὶ λουτρῶν καὶ ποικίλης τροφῆς· εἶτα μετασυγκρίνειν διὰ δριμυφαγίας, δρώπακος, σικυῶν, εὐτόνου [4]παραπτήσεως, τρίψεως μερικῆς, [5]συμπασμάτων, ἐγκαθισμάτων δριμέων, πεσσῶν ἀμυκτικῶν, μαλαγμάτων σιναπισμοῦ καὶ τῆς κατὰ κύκλον ἀγωγῆς. [6]Εἰ δὲ μὴ λύοιτο ἡ διάθεσις, καὶ [7]τὸ ἀπὸ δι' ἐλλεβόρου λευκοῦ σπαραγμῷ μετὰ τοὺς ἀπὸ ῥαφανίδων ἐμέτους, ἀποδημίας τε [8]ἀπὸ γῆς καὶ θαλάττης, καὶ αὐτοφυέσιν ὑδάτων, ὧν ἁπάντων τὴν ἐπιδέξιον χρῆσιν ἐν τοῖς περὶ βοηθημάτων ὑπομνήμασιν ἐφωδεύκαμεν. Οἱ πλεῖστοι δὲ τῶν ἀρχαίων [9]οἱ καὶ μικροῦ δὴ πάντες ἑτερόδοξοι, δυσώδεσιν ὀσφραντοῖς ἐχρῶντο, οἷον θριξὶ κεκαυμέναις καὶ ἐλλυχνίοις ἀπεσβεσμένοις, ἐλαφείῳ τε κέρατι τεθυμιαμένῳ, ἐρίῳ κεκαυμένῳ, [10]φαλλοῖς κεκαυμένοις, πίσσῃ

[1] Fort. ἐνέσει. Lob. [2] Male ἀλιμμ. [3] Scribebatur ἀγυμνασίων. [4] παροπτήσεως ex Sched. [5] Erat συνπασμάτων. [6] Aetius omisisse videtur ea, quae ad Methodicorum curationem propriam pertinent. ex Sched. [7] τῷ leg. pro τὸ, et δι' del. Lob. [8] ἐπὶ ex Sched. [9] Fort ἣ et mox δεῖ. Lob. [10] φύλλοις vel γναφάλλοις ex Sched.

ὑγρᾷ, κεδρίᾳ, σφονδυλίῳ, πευκεδάνῳ, δέρματί τε καὶ ῥάκεσι, καστορίῳ διαχρίσαντες τὰς ῥίνας καὶ τὰ ὦτα πίσσῃ, κεδρίᾳ, ἀσφάλτῳ, κόρεσι τεθλασμέναις καὶ πᾶσιν ἤδη τοῖς βαρυόσμοις εἶναι [1]νομίζουσιν, ὡς τῆς ὑστέρας ἀπὸ τῶν δυςωδῶν φευγούσης· ἔνθεν καὶ κάτωθεν ἐπιθέμασιν ἐθυμίασαν τὰ εὐώδη καὶ πεσσοὺς παρέλαβον διὰ [2]νάρδου στάχυος, στύρακος, πρὸς τὸ τὴν μήτραν ἃ μὲν φεύγουσαν, ἃ δὲ διώκουσαν ἐκ τῶν ὑπερκειμένων τόπων εἰς τοὺς ὑποκειμένους μεταστῆναι. Ἔξωθεν δὲ τούτων [2]Ἱπποκράτης τὰς μὲν ἀφεψήματι κράμβης ἐπότισε, τὰς δὲ ὀνείῳ γάλακτι, καὶ [3]ὡς εἰλεώδους [4]στροφουμένας τὰς μήτρας καυλίσκον ἐνθεὶς χαλκευτικῆς φύσης εἰς τὸν γυναικεῖον κόλπον, ἐφύσα, διαστολὴν ἐπιτηδεύων. Διοκλῆς δὲ ἐν τῷ τρίτῳ τῶν γυναικείων συνάγει μὲν τὰ πτερύγια τῆς ῥινὸς, ἀνοίγει δὲ τὸ στόμα καὶ πταρμικῷ χρῆται, καὶ τῇ χειρὶ τὴν ὑστέραν εἰς τοὺς ὑποκειμένους ἀποθλίβει τόπους διὰ τῆς εἰς τὸ ὑποχόνδριον ἐπερείσεως, καὶ τὰ σκέλη θερμῷ καταντλεῖ. Μαντίας δὲ καστορίῳ καὶ ἀσφάλτῳ ποτίζει δι' οἴνου· [5]μελλούσης δὲ τῆς κυοφορίας, καταυλήσει χρῆσθαι καὶ τυμπάνοις. Ξενοφῶν δὲ καὶ φῶς τὸ ἀπὸ λαμπτήρων εἰςφέρει, καὶ ἤχους ἐπιτηδεύει πλείονας, ἀκονῶν καὶ τύπτων χαλκώματα καὶ χορδάς. Ἀσκληπιάδης δὲ πταρμικῷ χρῆται, καὶ τὰ ὑποχόνδρια τελαμῶσι διασφίγγει καὶ [6]ἐμβοᾷ, καὶ ταῖς ῥισὶν ὄξος ἐμφυσᾷ· κατε δὲ τὸ διάλειμμα συνουσίαν δοκιμάζειν καὶ ὑδροποσίαν. Μεμφόμεθα δὲ πάντας εὐθέως πλήσσοντας τὰ φλεγμαίνοντα καὶ κάρους κατασκευάζοντας, [7]τῆς διὰ τῆς ἐκ τῶν δυςω-

---

[1]νομιζομένοις ex Sched. [2]Legendum ita vel ναρδοστάχυος pro νάρδου, στάχυος. [3]εἰς εἱλεωδῶς ex Sched. [4]Sic scripsi pro στρεφουμένας. Lob. [5]Male μελούσης et κυοφορᾶς. [6]ἐνβοᾷ et ἐνφυσᾷ erat. [7]τοῖς ex Sched.

δῶν ἀποφορᾶς· οὐ γὰρ ὡς θηρίον ἐκ φωλεῶν ἡ μήτρα προέρπει, τερπομένη μέντοι εὐώδεσι, φεύγουσα δὲ δυσώδη· διὰ δὲ τὴν ἐκ τῆς φλεγμονῆς σφίγξιν, συνελκοῦθαι· χαλεπὸν δὲ καὶ τὰ φλεγμαίνοντα κατὰ συμπάθειαν τὸν στόμαχον ποτήμασι κακοῦν φαρμακώδεσι καὶ δριμέσιν· ἡ δὲ ὑπὸ τῆς χαλκευτικῆς φύσης ἔκθλιψις εἰς τὸ αἰδοῖον, τῇ πνευματωσει προςδιατείνει τὴν ὑστέραν, ἱκανῶς ἤδη τῷ λόγῳ τῆς φλεγμονῆς διατεταμένην· ἡ δὲ τῶν πταρμικῶν χρῆσις τῷ τιναγμῷ καὶ τῇ δριμύτητι τῶν φαρμάκων μετασυγκρίνει τὰ χρονίσαντα· διόπερ παροξύνει τῇ μὲν ἐπιτάσει τὴν διάθεσιν, οὐ βίας δεομένης ἀλλὰ [1]πραϊσμοῦ· πληκτικοὶ δὲ καὶ οἱ ψόφοι καὶ οἱ τῶν χαλκωμάτων ἦχοι καὶ τῶν διὰ τὴν φλεγμονὴν εὐπαθῶν ἐρεθιστικοί; πολλαὶ γοῦν καὶ τῶν ὑγιαινουσῶν ἀπὸ τοιούτων ψόφων ἐκεφαλάργησαν· ἐπιβλαβὲς δὲ καὶ τὸ ἐμφυσηθὲν ὄξος· ὡς γὰρ τὰς ἔξωθεν φλεγμονὰς, οὕτω καὶ τὰς ἔνδοθεν πᾶν τὸ στῦφον ἐπιτείνει· βλαβερὸν καὶ τὸ διὰ χορδῶν ἢ τελαμώνων περισφίγγειν φλεγμαίνουσαν ἔξωθεν τὴν ὑστέραν, οὐδὲ κατάπλασμα φέρειν ἀβαρῶς δυναμένην διὰ τὴν ἐκ τῆς περιθλάσεως ἐπίτασιν· τὸ δὲ ὑδροποτεῖν οὐκ ἀσύμφορον· Ἔσθ᾽ ὅπου δὲ καὶ βλαβερόν ἐστι, ῥώσεως δεομένης τῆς καμνούσης, ἢ μετὰ συγκρίσεως γίνεται, καὶ διὰ τῆς ἐπὶ τὸ κράμμα μετελεύσεως· συνουσία δὲ παρασκευαστικὴ πᾶσιν ἀτονίας· διὰ τοῦτο οὐ συμφέρει μηδενὸς προςγινομένου βελτίονος [2]κακοῦ τὸν ὄγκον εἰς ἀτονίαν· ἡ μὲν γὰρ διὰ τοῦ ψυχροῦ τῆς [3]δὲ κεφαλῆς [4]κατεονίσης ἕνεκα τοῦ παύσασθαι τὴν ἀφωνίαν καταφανῶς ἐστιν [5]ἄτεχνος· τῇ ψύξει γὰρ ἐπιπυκνουμένου τοῦ σώματος, διὰ τὴν ἐπίτασιν τῆς φλεγμονῆς δυς-

---

[1] Scrib. πραϋσμοῦ. [2] Fort. κακοῦν. Lob. Aliquid deesse adnotatur in Dietz. MS. [3] δὴ ex Sched. [4] Fort. καταιόνησις. Lob. [5] ἀτεχνῶς P. ἀτεχνὴς ex Sched. Scripsi ἄτεχνος.

ανακλητότερον [1]δεῖ γίνεσθαι τὴν καταφοράν· [2]Ἀπὸ δὲ τῶν βοηθημάτων τούτων [3]ἀπολύσομεν ἐπὶ τὴν τοῦ καστορίου πόσιν· συνεχῶς γὰρ παραλαμβανομένη μόνη πολλάκις τῆς διαθέσεως ἀπήλλαξε· — καταῤῥοφείτωσαν δὲ συνεχῶς καὶ ὄξος σκιλλητικὸν· ἡ μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβανομένη ἐπιμέλεια τοιαύτη τις ἔστω· τῆς δὲ ἐπὶ τῶν χρονιζόντων ἀνασκευῆς, κατὰ τὸ πλεῖστον ἀπὸ φλεβοτομίας ποιούμεθα τὴν ἀρχὴν τῆς θεραπείας, καὶ μάλιστα ἐφ' ὧν ἐπίσχεσις τοῦ καταμηνίου γίνεται, ἔπειτα καὶ κάθαρσιν παραλαμβάνομεν· πρακτικωτάτη δ' ἐστὶ ἐπὶ [4]τούτοις ἡ διὰ τῆς ἱερᾶς τῆς διὰ κολοκυνθίδος κάθαρσις· καταλληλοτέρα μέντοι γυναιξὶ... ἡ διὰ τῆς ἀλόης ἱερὰ, ἣν πικρὰν ὀνομάζομεν· — στόμαχον τονοῖ καὶ τὰς δυνάμεις [5]συγκρατεῖ· — σικύαι.. κοῦφαι μὲν μετὰ φλογὸς δὲ πλείονος καὶ βιαίως ἀποσπώμεναι· ἐνίοτε δὲ καὶ μετὰ [6]ἀμύξεως, ἵνα τοῖς ἁλσὶ δοθῇ τόπος· — ἐπιῤῥιπτέσθω μάλαγμα καθ' ὅλου του ἐπιγαστρίου τὸ διὰ σπερμάτων τὸ ἐν τοῖς σπληνικοῖς προγεγραμμένον, .... μέχρις οὗ ψυδράκια κατὰ τῆς ἐπιφανείας ἰονθώδη [7]προςκαλέσασθαι· τούτων δὲ [8]ἀπουλωθέντων, ··· τοῖς δρωπακισμοῖς γίνεται χώρα καὶ τοῖς σιναπισμοῖς, καὶ τοῖς δι' εὐφορβίου ἀκόποις πυρέθρου τε καὶ ἀδάρκης καὶ πεπέρεως. Συμβάλλεται δὲ τοῖς βοηθήμασι καὶ ἡ δίαιτα πᾶσα· περίπατοι μὲν ἕωθεν, αἰώρα δ' [9]ἐπ' αὐτῶν, ἡ διὰ ζευκτικοῦ, ἢ πλοίου ἢ ὄνου, [10]ὡς καὶ ἀνωτέρω εἰρήκα-

---

[1]διαγίνεσθαι P. δεῖ γίνεσθαι ex Sched. Pro δυςανακλητοτέρας scripsi — τότερον. [2]Inde simul pergit Aetius. [3]ἀπολύειν Aet. MS. σκιλλητικὸν] Erat σκιλλιτικὸν. Lob. [4]τούτων Aet. MS. [5]συγκρατοῖ Aet. Cod. 2193. [6]ἀμυχῶν Aet. MS. [7]προκαλέσηται Aet. MS. [8]ἐπουλωθέντων Aet. MS. [9]Pro ἐπ' aptius leg. ἀπ'. Lob. ζευκτικοῦ] ζευκτοῦ Aet. MS. [10]ὡς — εἰρήκαμεν.] om. Aet. MS., qui contra praebet verba haec: μετὰ δὲ τὴν διὰ τῆς αἰώρας κίνησιν, ἀναφώνησις χρησίμη, καὶ ἀνάγνωσις μετὰ κραυγῆς καὶ μελισμοῦ καὶ εὐτροπίας· καὶ μετὰ διάστημα σύμμετρον, in quibus μετὰ μελησμοῦ καὶ κραυγῆς καὶ εὐτροπίας Cod. 2191. diverse scribit.

μεν· ἄλειμμα καὶ τρίψις καὶ γυμνάσιον γυναιξὶ πρέπον λουτρὸν δὲ σπάνιον [1]καθαρότητος μόνης ἕνεκα· — ὕστατον δέ ἐστι βοήθημα ἡ τῶν αὐτοφυῶν ὑδάτων χρῆσις, πρῶτον μέν θερμῶν, ἔπειτα δὲ καὶ ψυχρῶν· μετὰ δὲ τὴν ἀπαλλαγὴν οὐκ ἀμελητέον παντάπασι τῆς γυναικὸς· ἀλλὰ προφυλακῆς χάριν καὶ μάλιστα περὶ τὸν ὕποπτον καιρὸν ἐκ διαλειμμάτων τινῶν ἐγκαθίσμασι χρῆσθαι τοῖς προειρημένοις, καὶ προςκλύσμασι συνεχῶς· — πεσσοὺς προςτιθέναι· — τὰ καταμήνια . . . εὔροα ποιεῖν, καὶ συνουσίᾳ [2]κεχρῆσθαι.

## ρια΄. [3]Συλλογαὶ πεσσῶν σκευασίαι πρὸς ὑστερικὰς πνίγας [4]ἐκ διαφόρων.

Πεσσοὶ δὲ τῇ διαθέσει ταύτῃ κατάλληλοι εἰσὶ· — ψυχρὰς δὲ προςτιθέναι· — ἔστω δὲ ὁ οἶνος ἀπηλλαγμένος πάσης στύψεως· [5]ἀκαλήφης ἤτοι κνίδης σπέρματος.

## ριβ΄. [6]Σκευασιαι ἀλειμμμάτων πρὸς τὸ προκείμενον [7]πάθος ἤγουν ὑστερικῆς πνιγός.

Ἀλείμματα δὲ χρήσιμα ταῖς λουομέναις προφυλακῆς χάριν· — μὴ παρόντος δὲ τοῦ σκευαστοῦ ἀλείμματος, ἔξεστιν ἐρίνῳ μύρῳ προςπλέκειν πήγανον· ἔξεστι δὲ αὐταῖς καὶ χωρὶς τοῦ 'λουτροῦ, τοῖς τοιούτοις ἀλείμμασι [8]χρῶ ἀλείφων ὑπογάστριον καὶ ὀσφύν· ὑποκάπνισμα ὑστερικόν. [9]

---

[1] καθαριότητος Aet. Cod. 2193. καθαρειότητος Aet. Cod. 2191. [2] κεχρῆσθαι.] χρῆσθαι συνεχῶς Aet. MS. [3] Est Aet. cap. 77. [4] ἐκ τῶν Φιλαγρίου legitur in Aet. MS. [5] Quattuor pessi. Ita adnotatur in marg. Dietz. MS. [6] Est idem caput Aetii. [7] Male πάθους. Lob. [8] χρῶ — ὀσφύν.] κεχρῆσθαι κατὰ τοῦ ὑπογαστρίου καὶ τῆς ὀσφύος. Aet. MS. [9] Duae lineae Aetii deletae sunt, ex Sched.

## ριγ΄. [1]Περὶ τῶν πινομένων φαρμάκων πρὸς τὸ προκείμενον πάθος.

Χρῆσθαι δ' αὐταῖς παραινῶ συνεχῶς ἐν τῷ τῆς προφυλακῆς καιρῷ τῷ διοσπολιτικῷ φαρμάκῳ καὶ τῷ διὰ καλαμίνθης καὶ τῷ διὰ τριῶν πεπέρεων· [2]μιγνὺς ἑκάστῳ αὐτῶν ἐπὶ τῆς χρήσεώς τινα τῶν φθειρόντων καὶ ἐλαττούντων τὸ σπέρμα. [3]Ἐπὶ δὲ τῶν κυουσῶν γυναικῶν, ἁλισκομένων δὲ τῇ ἀπνοίᾳ, τὰ μὲν ἔξωθεν βοηθήματα προςφέρειν χρὴ, πρὸς τὴν τοῦ σώματος κρᾶσιν ταῦτα [4]ἁρμόζοντα· τοῖς δὲ καταπινομένοις ἢ ἐγχεομένοις ἢ προστιθεμένοις ταῖς ὑστέραις, οὐδὲ ὅλως χρηστέον, ὥςπερ οὐδὲ κλυστῆρι οὐδὲ φλεβοτομίᾳ· κίνδυνος γὰρ ἐφ' ἑκάστῳ τούτων ἐκτρῶσαι τὴν [5]κύουσαν· ἐπὶ τούτοις ἅπασι μεμνῆσθαι προςήκει, ὡς ταῖς μὲν μήτε ἀνάσπασιν μήτε παρέγκλισίν τινα πεπονθυίαις κατὰ τὴν ὑστέραν, εὔτονα φάρμακα προςφέρειν ἀναγκαῖον, εἰς τὴν τοῦ παντὸς σώματος ὑγρότητα καὶ ξηρότητα ἀποβλέποντας· καὶ ταῖς μὲν μαλακὸν καὶ ἀραιὸν [6]καὶ λευκὸν ἐχούσαις τὸ σῶμα, τὰ [7]ἀραιότερα προσάγειν, ταῖς δὲ [8]ἐναντίαις τὰ ἰσχυρότερα· καὶ ταῖς μὲν νέαις τὰ ἁπλούστερα, ταῖς δὲ προβεβηκυίαις τὰ εὐτονώτερα· καὶ ταῖς μὲν διατάσεως αἰσθανομέναις ἐφ' ὅλου τοῦ σώματος ἐπὶ φυσώδει πνεύματι, τὰ ἄφυσα μᾶλλον διδόναι· ταῖς δὲ βάρους μᾶλλον αἰσθανομέναις, τὰ τμητικώτερα καὶ λεπτυντικώτερα· ταῖς δὲ δριμύτητος αἰσθανομέναις, τὰ χλιαρᾶς ὑπάρχοντα δυνάμεως προσάγειν. Εἰ δὲ παρέγκλισις ἢ [9]ἀνάπαυσις ἢ φλεγμονή τις εἴη περὶ τὴν ὑστέραν ἀ-

---

[1]Est idem Aetii caput. [2]μιγνύειν Aet. MS. [3]Ante haec verba in Aetio insunt tituli loco haec: Ἐμμέθοδος χρῆσις τῶν προῤῥηθέντων βοηθημάτων. [4]ἁρμόζοντας Aet. MS. [5]κυοφοροῦσαν Aet. MS. [6]καὶ λευκὸν om. Aet. MS. [7]ἀσθενέστερα Aet. MS. [8]ἐναντία Aet. MS. [9]ἀνάσπασις Aet. MS.

σθενέστερα πάντα προσάγειν· τὰ [1] μὲν σφοδρότερον τοῦ δέοντος, παροξύνει τε τὰ πάθη, καὶ κωλύει τὴν τοῦ σπέρματος ἔκκρισιν· τὰ δὲ συμμέτρως κεκραμένα πρὸς τὸ θεραπευόμενον σῶμα, καὶ τὴν διάθεσιν [2] αὐτὴν ὀνίνησιν καὶ τῇ τοῦ σπέρματος ἐκκρίσει συνεργεῖ.

### ριδ. [3] Περὶ γονοῤῥοίας.

[4] Οὐκ ἐπὶ μόνων ἀνδρῶν, ἀλλὰ καὶ ἐπὶ γυναικῶν ἀποτελεῖται γονόῤῥοια· ἔστι δὲ σπέρματος ἔκκρισις χωρὶς προθυμίας καὶ ἐντάσεως, ἐκ μικρῶν φέρουσα διαστημάτων, ὥςτε τὸν ὄγκον ὠχραίνεσθαι καὶ ἀδυναμεῖν καὶ συντήκεσθαι· χαλᾶται γὰρ ἡ μήτρα καὶ ἀδυναμία παρέπεται, καὶ συντήκεται τὰ σώματα κατὰ βραχύ· συῤῥεῖ γὰρ πρὸς τὴν μήτραν κατ' ὀλίγον ἡ ἀπὸ τοῦ σώματος ὕλη ἀλλοίωσιν βραχεῖαν ἐν τοῖς τόποις ὑπομένουσα, καθάπερ ἐπὶ τῶν ὀφθαλμιώντων τὸ δάκρυον· χρονίζειν δὲ εἴωθε τὸ πάθος [5] τῷ γένει ῥοῶδες ὑπάρχον. Διὸ προςφάτου μὲν αὐτοῦ τυγχάνοντος ὥςπερ ἐν τοῖς παροξυσμοῖς [6] παρηγορικῶς ἀκτέον, [7] καὶ τὰ ἠρέμα στύφοντα καὶ στέλλοντα προςακτέον· ἐγκαθίζειν μὲν οὖν αὐτὰς χρὴ εἰς τὰ στύφοντα ἀφεψήματα [8] καὶ ψυχρότερα, οἷον ῥόδων, μυρσίνης, σχίνου, βάτου καὶ τῶν ὁμοίων· καὶ περιχρίειν τὸ ἦτρον καὶ τοὺς βουβῶνας [9] ἀκακίαν καὶ ὑποκυστίδα μετ' οἴνου αὐστηροῦ καὶ τὰ περαπλή-

---

[1] Post *μὲν* Aet. MS. *γὰρ*, et *κεκραμένα* habet post *δέοντος*. [2] *ὀνίνησιν αὐτήν* Aet. MS. [3] Est Aetii cap. 79. et ab eo tribuitur Sorano. ex Sched. Pro *γονοῤῥίας*, ut P., recte *γονοῤῥοίας* Aet. MS. [4] *Οὐκ — συντήκεσθαι.*] *Ὁμοίως τοῖς ἀνδράσι καὶ αἱ γυναῖκες περιπίπτουσι τῷ τῆς γονοῤῥοίας πάθει· γονόῤῥοια δὲ σπέρματός ἐστιν ἔκκρισις χωρὶς προθυμίας καὶ ἐντάσεως.* Aet. MS. [5] *τῷ — ὑπάρχον.*] om. Aet. MS. [6] *παρηγορητικῶς* Aet. MS. [7] *καὶ — προςακτέον.*] add. Aet. MS.; om. P. [8] *καὶ* om. Aet. MS. [9] Ita Aet. MS. *ἀκακία καὶ ὑποκυστίδος* P.

σια· καὶ τοῖς διὰ φοινίκων καὶ κυδωνίων καὶ μυρσίνης καταπλάσμασι καὶ κηρωταῖς χρῆσθαι ἔλασμα δὲ [1]μολύβδου πλατὺ καὶ λεπτὸν ὑποβλητέον [2]τῇ ὀσφύϊ καὶ μὴ τρυφερὰ ἔστω τὰ ὑποστρώματα, [3]τραχέα δὲ μᾶλλον. Ἐμέτοις δὲ χρηστέον καὶ τοῖς ἀπὸ τροφῆς μὲν, μάλιστα δὲ νήστεσι· καὶ γυμνάζειν τὰ ἄνω μέρη καὶ τρίβειν ἐπὶ πολύ· μὴ λιπαίνειν δὲ ὅλως μηδὲ θερμαίνειν τὰ πεπονθότα μέρη· ποτίζειν τε ἁλικακάβου ῥίζης ἐξηραμένης ἐν σκιᾷ ∠α´ μεθ' ὕδατος, ἢ ἄγνου [4]σπέρματος ὁμοίως, ἢ καννάβεως ἢ πηγάνου [5]σπέρματος· τροφὰς δὲ διδόναι μὴ διαλελυμένας μηδὲ ῥοφηματώδεις, μηδὲ γεννητικὰς τοῦ σπέρματος ἢ ἐρεθιστικὰς, ἀλλὰ ξηροφαγεῖν τὰ πλεῖστα, καὶ τῶν πτηνῶν τι λαμβάνειν [6]ὀπτὸν, καὶ οἶνον ὀλίγον [7]κιῤῥότερον· Φεύγειν δὲ καὶ τὰ λοιπὰ ἐρεθιστικὰ τῶν ἀφροδισίων ὡς μηδὲ ἐν [8]ζωγραφίᾳ χαρακτῆρας δεικνύειν εὐμόρφους, [9]μήτε περί τοὺς τῶν συμπλοκῶν λόγους διηγεῖσθαι, μηδὲ τοὺς περὶ [10]τῆς ἀπουσίας λόγους τίθεσθαι, στυγνὰς δὲ τὰς διαγωγὰς ποιεῖσθαι καὶ ἀναγνώσεις ὁμοίας καὶ διηγήματα· χρονιζούσης δὲ τῆς διαθέσεως, καὶ γυμνασίοις χρῆσθαι καὶ ἀφιδρώσεσι καὶ τρίψεσι καὶ βαλανείοις ψυχροῖς· ῥοδίνῳ [11]δὲ συνεχῶς χριστέον τὸ ἦτρον καὶ τὴν ὀσφῦν· χρηστέον δὲ καὶ τοῖς ἐπὶ τῆς τῶν ἀνδρῶν γονοῤῥοίας καὶ ὀνειρώξεως προγεγραμμένοις βοηθήμασιν· [12]διαλείμματος δὲ

---

[1] μολίβδου Aet. MS. [2] τῇ ἰσφύϊ — καὶ μὴ τρυφερὰ] τῇ ὀσφύϊ καὶ μὴ τρυφερὰ Aet. MS. [3] τραχέα δὲ μᾶλλον.] praeb. Aet. MS.; om. P. [4] ἄγνου σπέρματος ὁμοίως,] Aet. MS. ἄγνου σπέρμα, P. [5] σπερμάτων Aet. MS. [6] ὀπτῶν Aet. MS. [7] Ita Aet. MS. σκληρότερον P. [8] ζωγραφίαις P. [9] μήτε — διηγεῖσθαι,] om. Aet. MS. Scribendum μηδὲ pro μήτε. [10] τῆς ἀπουσίας] οὐσίας Aet. Cod. 2191. συνουσίας Cod. 2191. [[11] τε Aet. Ms. [12] Sequentia usque ad finem leguntur in Sorano solo.

γενομένου, τὰ τονοῦντα καὶ μερασυγκρίνοντα τοπικῶς καὶ τὴν ὅλην σύγκρισιν, [1]ὧν τὰς ὕλας ἐκ τῶν πρόσθεν εἰρημένων μετενεκτέον.

### ριέ. [2]Περὶ ἀτονούσης μήτρας.

Ὥςπερ καὶ τὰ ἄλλα μόρια τοῦ σώματος, οὕτως καὶ ἡ μήτρα ἐνίοτε ἀτονεῖ· παρέπεται δὲ ταῖς [3]τοιαύταις πασχούσαις συνουσίας ἀποστροφὴ, ἔκκρισις [4]πνευμάτων, πλεονασμὸς καταμηνίων, δὶς ἢ τρὶς τοῦ μηνὸς [5]ἐπιφαινομένων ἀτάκτως [6]μελανῶν, ὑδατωδῶν, [7]ἀκρατησίᾳ τοῦ σπέρματος· ἐκρεῖ γὰρ μετὰ τὴν συνουσίαν, καὶ οὐ κατέχουσι τὸ καταβαλλόμενον σπέρμα τοῦ ἀνδρὸς, ἀλλ᾽ [8]ἀποῤῥεῖ μετὰ τὴν συνουσίαν, αἷς μὲν εὐθὺς, αἷς δὲ μετὰ ἡμέρας τινὰς [9]ὀλίγον βράδιον, αἷς δὲ καὶ διατυπωθὲν, [10]ἄλλως δὲ καὶ νεκρωθὲν ἢ παντελῶς ἄτροφον καὶ τοῖς χρόνοις ἐλλιπὲς, ὥςτε γένεσθαί ποτε μὲν ἔκτροιαν, ποτὲ δὲ ἔκτρωσιν, ποτὲ δὲ [11]ὠμοτοκίαν· [12]ἔκροια μὲν οὖν ἐστιν ἀποπτυσμὸς τοῦ σπέρματος μετὰ τὴν συνουσίαν, μετα πρώτην ἢ δευτέραν ἡμέραν· ἔκτρωσις δὲ ἡ μετὰ δεύτερον ἢ τρίτον μῆνα φθορὰ τοῦ

---

[1] Dedi pro ὡς. In Aet. Cod. 2193. invenimus haec: *Εἰ δέ ποτε διὰ δριμυτέραν κατάστασιν καὶ ποιότητα ἐρεθίζον καὶ δάκνον πως τὴν αἴσθησιν τὸ σπέρμα προΐεται αὐταῖς, διὰ τῶν ἐναντίων ἀκτέον βρωμάτων καὶ πομάτων, λουτρῶν τε καὶ γαλακτοποσίας, καὶ ὀπωρῶν καὶ ὑδροποσιῶν καὶ τῶν ὁμοίων.* [2] Est Aetii cap. 80. [3] om. Aet. MS. [4] In Aet. Cod. 2193. est *πνευμάτων*, superscripto *σπερμάτων*; sed *σπερμάτων*, superscripto *πνευμάτων*, in Cod. 2191. [5] Sic etiam Cod. 2193., superscripto tamen *ἐπιφερομένων*; hoc autem, *ἐπιφαινομένων* superscripto, praebet Cod. 2191. [6] *μελανωδῶν* in margine Aetii Codicum. [7] *ἀκρατησίᾳ τοῦ σπέρματος· ἐκρεῖ γὰρ μετὰ τὴν συνουσίαν,*] om. Aet. MS. [8] Sic Aet. MS. *εὐπορεῖν* P. [9] *ὀλίγον βράδιον — πρὸ ὥρας ἀπότεξις.*] *τινὲς δὲ περὶ τὸν τρίτον μῆνα φθείρουσι τὰ ἔμβρυα.* Aet. MS. Leg. *ἢ ὀλίγον* etc. Lob. [10] Fort. *ἄλλαις*. Lob. [11] Ita pro *ὁμοτοκυῖα* ex Sched. [12] *ἔκτροιαν* erat. Dedi *ἔκροια*.

ἐμβρύου· ὠμοτοκία δὲ ἡ σύνεγγυς τῆς τελειώσεως πρὸ ὥρας ἀπότεξις· τὰ δὲ ἤη φθαρέντα [1]ἔμβρυα ἄτροφα καὶ ἀσθενέστατα γίνεται· ἐν δὲ τῷ καιρῷ τῶν καταμηνίων παρέπεται βάρος τοῦ [2]ὑπογαστρίου, ὀσφύος, σκελῶν· [3]ὁ στόμαχος κακοπραγεῖ, κἀκ τούτου ἐνίοτε ἀναθυμιάσεων περὶ τὴν κεφαλὴν γινομένων [4]τὰ αὐτὰ συμπτώματα ταῖς ὑστερικαῖς πνιγομέναις παρέπεται· ἐνίοτε δὲ καὶ μελαγχολικαῖς παρανοίαις [5]περιπίπτουσιν αἱ πάσχουσαι καὶ μανίαις· συμβαίνει δὲ τὸ πάθος ἐκ συνεχῶν κυήσεων καὶ διατάσεων καὶ μάλιστα, [6]ὅτε μεγάλα εἴη τὰ ἔμβρυα· [7]μετενεκτέον δὲ τὴν θεραπείαν ἐκ τῶν ἔμπροσθεν εἰρημένων τὰ δυνάμενα τόνον ἐντιθέναι καὶ ῥώμην τοῖς πεπονθόσι μορίοις [8]ὡς γὰρ χρονίου ῥοώδους τοῦ πάθους ἐπιμελεῖσθαι προςῆκει· σταλτικοῖς μὲν κατὰ τὰς ἐπιθέσεις χρώμεθα, τονωτικοῖς δὲ καὶ μετασυγκριτικοῖς κατὰ τὰ διαλείμματα· δεῖ μέντοι μὴ ἀποπτυσθέντος εὐθέως τοῦ σπέρματος, τῇ συλλήψει συνεργεῖν ὡς ἐν ἀρχαῖς ὑπεδείξαμεν· φθορᾶς σὲ προςδοκωμένης ἔσεσθαι καθάπερ διὰ τοῦ προηγουμένου σκέμματος παρεστήσαμεν, [9]ἰσχνουμένων τε παραλόγως τῶν μαστῶν ὡς Ἱπποκράτης φησὶν, καὶ ψυχομένων τῶν μηρῶν ὥςπερ ἐσημειώσατο Διοκλῆς· ἢ καὶ τοῦ ἐμβρύου διεφθαρμένου, πρὸς μὲν τὴν ἔκκρισιν ἀποσυνεργοῦντα δεῖ πολλὴν ἡσυχίαν ἄγειν, καὶ ἀναῤῥόπως κατακλίνειν καὶ

---

[1] *ἔμβρυα* om. Aet. MS. [2] Ita Aet. MS. *ἐπιγαστρίου* P. [3] *ὁ* est in Aet. Cod. 2191.; om. P. et Aet. Cod. 2193. [4] In Aet. MS. ante *τὰ αὐτὰ συμπτώματα* interponuntur *παράνοιαι γίνονται, καὶ* quae verba P. non habet. [5] Sic Aet. MS. *περιπίπτουσι καὶ μανίαις.* P. [6] *ὅταν* Aet. MS. [7] *μετενεκτέον — εἰρημένων*] *ἐκλεκτέον δὲ ἐν τῇ θεραπείᾳ* Aet. MS. [8] Sequentia usque ad: *διὰ τῶν ἀνετικῶν συνεργητέον τῇ τελείᾳ ἐκβολῇ·* deleta sunt in Aet. MS. [9] Male *ἰσχνουμένους.* Lob.

σπόγγους ἀποτεθλιμμένους ἐν ὀξυκράτῳ περιβάλλειν ἐφηβαίῳ καὶ ὀσφύϊ· πολλάκις γὰρ οὕτως ἔκτρωσις ἐκρατήθη, τοιαύτης ἐπιμελείας πρὸς διαίρεσιν πρόσφατον συνταχθείσης. Ἐφθαρμένου δὲ τοῦ κατὰ γαστρὸς, διὰ τῶν ἀνετικῶν συνεργητέον τῇ τελείᾳ ἐκβολῇ. [1]Ἐγκαθίσματα οὖν παραλαμβάνειν [2]χρὴ τὰ στύφοντα, χλιαρὰ μέντοι τῇ ἁφῇ· καὶ ἐγχυματιστέον τὴν ὑστέραν ῥοδίνῳ χλιαρῷ ἢ ναρκισσίνῳ ἢ σουσίνῳ ἢ μηλίνῳ· καὶ τοῖς ὁμοίοις τὸ ὑπογάστριον ἀλειπτέον καὶ τὴν ὀσφῦν· γυμνάζειν δὲ συνεχῶς ὅλον τὸ σῶμα γυναικὶ πρέπουσι γυμνασίοις· [3]τροφαῖς δὲ χρηστέον ὀλίγαις μὲν· κρεώδεσι δὲ καὶ ὑποστυφούσαις ἠρέμα καὶ οἶνον ὁμοίως στύφοντα μετρίως κιῤῥὸν διδόναι· ὀλίγον δὲ ἔστω τὸ πλῆθος τοῦ πινομένου· [4]μᾶλλον γὰρ ἡ δίψα ἐπιτηδεία τῷ πάθει· παραιτεῖσθαι [5]δὲ τὰ διὰ γάλακτος καὶ τυροῦ σκευαζόμενα πάντα καὶ πᾶσαν κάθαρσιν καὶ [6]κοιλιολυσίαν [7]πόνους καὶ δυςκρασίας.

## ρις΄. [8]Περὶ παραλύσεως μήτρας.

Παραλύεται [9]δὲ ἡ μήτρα [10]δι᾽ ἄλλας μὲν αἰτίας καὶ δι᾽ ἐπάλληλον ἔκτρωσιν· παρέπεται δὲ ταῖς πασχούσαις συνουσίας ἀποστροφὴ, κατάψυξις τοῦ στομίου τῆς μήτρας καὶ τὸ ἀτροφώτατον αὐτὸ καὶ [11]λαπαρώτατον

---

[1] Inde etiam Aetius pergit. [2] χρὴ om. P.; praeb. Aet. MS. [3] τροφαῖς δὲ] καὶ τροφαῖς Aet. MS. [4] μᾶλλον — δίψα] Ita Aet. MS. μᾶλλον δὲ τρίψει P. [5] μέντοι Aet. MS. [6] Praeter P. sic etiam Aet. Cod. 2191. συχνολουσίαν Aet. Cod. 2193. [7] πόνους καὶ δυςκρασίας addidi ex Cod. 2193. solo. In eodem sunt praeterea: ἀτονίας δὲ μήτρας ἰατέον καὶ περιφρίξεις καὶ ἀναδρομὰς οὔρῳ ἀφθόρου κόρης πυριῶν αὐτήν· εἶτα τρυγόνος κόπρον μετ᾽ ὀμφακίνου ἢ ῥοδίνου ἢ μυρσινίνῳ προςτιθέναι ἐν κροκύδι. [8] Est Aetii cap. 81. [9] δὲ ἡ delebat P.; add. Aet. MS. Post μήτρα praebet πολλάκις Aet. MS. [10] δι᾽ ἄλλας μὲν] διά τε τὰς ἄλλας Aet. MS. [11] λιπαρώτατον Aet. MS.

καὶ οἱονεὶ ῥακωδέστατον [1]ὑπάρχειν καὶ χαλᾶσθαι τὸν τράχηλον καὶ ἀναισθητεῖν. Καί ποτε μὲν ἐποχὴ τῶν καταμηνίων γίνεται τελεία· [2]ποιεῖ δὲ τοῦτό ποτε καὶ ἄτακτος ἀπόκρισις καὶ παραποδισμὸς πρὸς τοὺς περιπάτους ὡς ἀλλοτρίου τινὸς ἐγκειμένου καὶ [3]πρὸς σύλληψιν ἀπραξία τοῦ σπέρματος ἐν ταῖς συνουσίαις ἢ μηδόλως παρατιθεμένου τῇ μήτρᾳ ἢ καθάπερ ἐξ [4]ἀψύχου κύτους οὐκ ἀποδιδομένου παραυτίκα· ποτὲ δὲ κατὰ συμπάθειαν τῶν παρακειμένων καὶ ἀπροαίρετος ἔκκρισις οὔρων, ἢ σκυβάλου, καὶ ἀπευθυσμένου βάρους· στεγνὸν δὲ τὸ πάθος καὶ πολυχρόνιον, ποτὲ μὲν [5]ἐπιθέσεις ἔχον, ποτὲ δὲ διάλειμμα· τὴν μὲν οὖν ἐπίθεσιν, ἐκ βάρους καταληψόμεθα καὶ δυσαισθησίας καὶ ῥύσεως πλείονος· τὸ δὲ διάλειμμα ἐκ τῶν ἐναντίων· μετενεκτέον δὲ τὴν θεραπείαν ἐκ τῶν εἰρημένων περὶ τῆς ἐποχῆς τοῦ ἐμμήνου, καὶ τῆς στραγγῆς καθάρσεως καὶ μετὰ πόνου· καὶ καστορίου πόσις συνεχὴς καὶ πεσσῶν θερμαινόντων προσαγωγὴ καὶ ἐγχυματισμῶν καὶ ἀλειμμάτων.

---

[1]ὑπάρχειν — ἀναισθητεῖν.] ὑπάρχειν· χαλᾶται δὲ ὁ τράχηλος αὐτῆς ἐπιπολὺ καὶ ἀναισθητεῖ. **Aet. MS.** [2]**Inde differt Aetius, qui potius ita pergit:** ποτὲ δὲ παραποδισμὸς τῆς ἐκκρίσεως· ἐν δὲ ταῖς συνουσίαις τὸ σπέρμα ἢ οὐδόλως ἐν τῷ κύτει τῆς ὑστέρας ἀκοντίζεται, ἢ καθάπερ ἀπὸ ἀψύχου τόπου ἀποῤῥεῖ παραυτίκα· ποτὲ δὲ κατὰ συμπάθειαν καὶ οὔρων ἢ σκυβάλων ἀπροαιρέτως ἔκκρισις γίνεται· ἡ δὲ θεραπεία καὶ ταύταις ὁμοία τῇ ἐπὶ τῆς στραγγῆς καθάρσεως προειρημένῃ καὶ καστορίου πόσις συνεχής, καὶ πεσσῶν θερμαινόντων προσαγωγὴ καὶ ἐγχυματισμῶν καὶ ἀλειμμάτων, ἐφ' ὧν δὴ τοῖς ῥωστικοῖς καὶ στυπτικοῖς τῶν θερμῶν χρηστέον. **Ultima verba:** ἐφ' ὧν — χρηστέον. **add. Cod. 2193; om. Cod. 2191.** [3]**Scribebatur** προσύλληψιν. [4]**Correxi pro** ἀψύχους **mendoso.** [5]ἐπιτάσεις **ex Sched.**

## ριζ΄. Περὶ παρεγκλίσεως καὶ ἀποστροφῆς καὶ ἀναδρομῆς μήτρας.

Τοῖς [1]ἀγκυλωθεῖσι δακτύλοις παραπλησίως τὸ στόμιον τῆς ὑστέρας καὶ ὁ τράχηλος ἀποστροφὰς καὶ παρεγκλίσεις ὑπομένει, ποτὲ 'μὲν εἰς τὰ πλάγια, ποτὲ δὲ εἰς τὰ ἔμπροσθεν, ποτὲ δὲ εἰς τὰ ὀπίσω, καὶ ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω, ποτὲ δὲ προςαναφεύγει· καὶ γίνεται ταῦτα φανερὰ τῇ [2]τε καταθέσει τῶν δακτύλων. Καταλαμβάνεται γὰρ διὰ τῆς ἁφῆς, εἰς ὃ μέρος γέγονεν ἡ διαστροφὴ καὶ τοῖς παρακολουθοῦσι σημείοις· τῇ μὲν γὰρ εἰς τὰ πλάγια παρέγκλισει, τοῦ καταλλήλου μηροῦ γίνεται τάσις, καὶ πόνος καὶ νάρκη, ποτὲ δὲ καὶ ἀτροφία καὶ κατάψυξις καὶ παραποδισμὸς τοῦ περιπατεῖν ἢ καὶ ἵστασθαι· τῇ δὲ εἰς τὰ ἔμπροσθεν καὶ ἄνω, παραποδισμὸς οὔρων καὶ περίτασις ἐφηβαίου· τισὶ δὲ καὶ τὸ ἀδυνατεῖν ἵστασθαι· τῆς δὲ εἰς τοὐπίσω καὶ κάτω, παραποδισμὸς ἐκκρίσεως σκυβάλων ἢ φυσῶν καὶ δυςεργεία τις ἐν τῷ καθίζειν καὶ μᾶλλον ὅσον ἄνω ἢ ὅσον ἐπὶ τὸν δακτύλιον ἡ παρέγκλισις γένηται. Ταῦτα δὲ πάντα, συμπτώματα στεγνώσεως· τῆς γὰρ φλεγμονῆς ὑπερκειμένης, πάντως γέγονεν [3]ἡ σκληρία τις ἢ μερικῆς τινος σφίγξεως. Ἔνιοι μὲν οὖν κάτω τῆς παρεγκλίσεως ὑπαρχούσης, αἴτιον [4]ἐπισχεθέντος τοῦ καταμηνίου ταῖς γυναιξὶ, πλήρωσις παρέπεται τῶν εἰς τὴν μήτραν [5]καθηκουσῶν φλεβῶν τε καὶ ἀρτηριῶν· παραγίνεται μὲν γὰρ ἄχρι τῆς μήτρας τὸ αἷμα, εἴσω δὲ οὐκ εἰςέρχεται, ποτὲ μὲν αὐτὸ ὅλον παχύτερον ὑπάρχον, ἢ κατὰ τὰ στόματα τῶν ἀγγείων [6]ἐκθρομβούμενον. Ἔστι δ' ὅτε μυσάντων τῶν στομίων

---

[1] ἀγκοιλωθεῖσι P. Scripsi ἀγκυλωθεῖσι. [2] τε otiosum. Num γε? Lob. παρεγκλίσει] παρέγκλισις P. παρεγκλίσει ex Sched. [3] Fort. ἤ. Lob. [4] Aetii cap. 83., quod ibi Aspasiae tribuitur et inde congruit cum Sorano, ita incipit: Ἐπισχεθέντος δὲ τοῦ καταμηνίου etc. [5] Recte Aet. MS. καθηκόντων P. [6] ἐνθρομβούμενον Aet. MS.

κωλύεται, ὥςτε ἐν ταῖς φλεψὶ πληθῦνον τὸ αἷμα, ἐκείνας [1]μὲν διατείνει, καὶ διαβρέχει τὰ πλησιάζοντα ἀρτήματα τῆς μήτρας· τῇ δὲ τούτων τάσει κατὰ τὸ συνεχὲς, αἱ μῆτραι σὺν τοῖς ἀγγείοις ἀνασπῶνται. Ἐὰν μὲν [2]οὖν ἰσοῤῥόπως ἐξ ἑκατέρων τῶν μερῶν ἕλκωνται πάντοθεν, [3]ἀπαρέγκλιτος ἡ μετάστασις [4]ἢ [5]ἀνάσπασις ἢ ἀναδρομὴ τῆς μήτρας γίνεται· ἐὰν δὲ ἑτεροῤῥόπως ἕλκηται, πρὸς τὸ μᾶλλον ἕλκον μέρος [6]ἐγκλίνεται, τινὸς τῶν κατὰ [7]παρέγκλισιν ἢ [8]παρασπασμὸν κειμένων μορίων, ἰδικῶς τὰ τοιαῦτα ἀγγεῖα πληροῦντος τῷ αἰτίῳ χυμῷ, [9]σπληνὸς τυχὸν πρὸς τὸ ἀριστερὸν ἕλκοντος ἢ ἥπατος πρὸς τὸ δεξιὸν, ἡ παρέγκλισις γίνεται, ἢ αὐτῆς καθ' ἑκατέρων τῶν μερῶν [10]μᾶλλον τὸ περίττωμα τὰ οἰκεῖα πληρούσης ἀγγεῖα. Καταλαμβάνεται [11]μὲν δὴ πρῶτον τῇ [12]καταθέσει τῶν δακτύλων εἰς ποῖον μέρος γέγονεν ἡ διαστροφὴ, καὶ τοῖς παρακολουθοῦσι [13]σημείοις. Καθόλου μὲν οὖν ἐν τοῖς παροξυσμοῖς ἐμφερῶς ταῖς φλεγμοναῖς πάσας τὰς ὁπωσοῦν πασχούσας θεραπεύειν [14]· ἐν δὲ ταῖς ἀνέσεσι καὶ παρακμαῖς τοῖς μαλακωτέροις χρῆσθαι. [15]Χρονίσαντος δὲ τοῦ πάθους, τὰ μετασυγκρίνειν δυνάμενα προσάγειν· ἰδίως δὲ

---

[1] μὲν add. Aet. MS.; om. P. [2] οὖν add. Aet. MS.; om. P. [3] ἀπαρεγκλίτως Aet. Cod. 2193. [4] ἢ] εἶτ' οὖν Aet. MS. [5] Sic Aet. MS. ἀνάστασις P. [6] Sic Aet. MS. ἐκκλίνεται P. [7] τὴν interponit Aet. MS. [8] παράσπασιν Aet. MS. κειμένων add. Aet. MS.; om. P. [9] Post χυμῷ habet Aet. MS. verba: καὶ οὐ τοῦ ὅλου σώματος αὐτῆς πλημμυροῦντος. [10] μᾶλλον τὸ περίττωμα] hic om. Aet. Cod. 2193. et ponit μᾶλλον τῷ ἰδίῳ περιττώματι post ἀγγεῖα. [11] μὲν add. Aet. MS.; om. P. [12] καθέσει Aet. MS. [13] δὲ interpon. Aet. MS. Quae porro in Aetio leguntur, Soranus initio capitis praefixit. ex Sched. [14] Aet. add. ἐμβροχαῖς τε δι' οἰκοροδίνου ἐν ἐρίῳ ἐν τῇ ὀσφύϊ καὶ ἤτρῳ, καὶ ἄνευ ἐπιδέσεως τάδε ἐφαπλοῦντας ἐᾶν ἐφ' ἡσυχίας ἐν ἀλεεινῷ τόπῳ. [15] χρονίζοντος Aet. MS.

τῇ [1] μὲν ἐπὶ τὴν ἕδραν ἀποστροφῇ τῆς μήτρας, οὕτω βοηθεῖν· πρῶτον μὲν τῷ δακτύλῳ παρακελεύεσθαι τῇ μαίᾳ ἀποδιωθεῖν διὰ τῆς ἕδρας τὴν ὑστέραν· ἔπειτα βαλάνιον προςτιθέναι τῷ δακτυλίῳ [2] εὐμῆκες τετραδάκτυλον, γεγονὸς ἐκ χαλβάνης καὶ κηροῦ, ἐξ ἄκρου δὲ [3] σπάρτῳ δεδεμένον εἰς τὸ ἐπισπᾶσθαι, ἢ καστόριον λεῖον σὺν ὕδατι [4] ἀνειλημμένον ἐρίῳ ἐντιθέναι· — πυριᾷν δὲ τοὺς τόπους ἀρωμάτων ἀφεψήματι· — ἐνίοτε δὲ καὶ (τῷ αὐτῷ) ... ἐγκλυστέον τὴν ὑστέραν· μετὰ δὲ ταῦτα ῥοδίνῃ κηρωτῇ [5] διαχριστέον. Εἰ δὲ εἰς τὰ πλάγια ἡ παρέγκλισις γένοιτο, [6] πυριᾷν ὁμοίως· ἔπειτα δάκτυλον ἢ τὸν πυρῆνα τῆς μήλης [7] ἢ σπαθομήλης τὸ πλάτος [8] ὑποβάλλουσαν τὴν μαῖαν, ἀπευθύνειν χρὴ τὸν [9] τράχηλον τῆς μήτρας. Κατακλίνειν δὲ τὴν πάσχουσαν ἢ εἰς [10] τὸ ἐναντίον τῷ πονοῦντι μέρει ἢ ὑπτίαν· — πεσσοὶ — [11] ἐγχυματίζειν μύρα — ἐπιθέματα ἐπὶ τὸ ἦτρον — προποτίζειν [12] καστόριον ἢ πτισάνην ὑγρὰν — ἔστω δὲ καὶ τὰ [13] πρὸς τὴν κεφαλὴν μετέωρα· [14] εἰς δὲ τὰ ἔμπροσθεν, διουρητικοῖς ποτίσμασι καὶ διαδέσεσι τῶν ὑποχονδρίων. Καθ' ἡμᾶς δὲ

---

[1] μὲν om. Aet. MS. [2] εὐμηκέστερον Aet. MS. [3] σπαρτίῳ Aet. MS. [4] ἀνηλειμμένῳ Aet. Cod. 2191. ἐν ειλημμένῳ Cod. 2193. [5] Praeter P. etiam sic in marg. Aet. Cod. 2193. adscriptum est. In contextu tamen verborum offert χρηστέον, quemadmodum alter Aetii Cod. [6] πυρία Aet. MS. [7] ἢ — πλάτος] del. Aet. Cod. 2191. πλάτος] πλατὺ Aet. Cod. 2193. [8] ὑποβαλοῦσαν Aet. MS. [9] τράχηλον / δάκτυλον } P. τράχηλον Aet. MS. [10] τὸν ἐναντίον τῷ πονοῦντι μέρει τόπον ἢ ὑπτίαν Aet. MS. [11] Lacunae in Aetio meo. ex Sched. προεγχυματίζειν pro ἐγχυματίζειν Aet. MS. [12] καστόριον etc. Sic in Aetii Dietziani MS. Contra in Sorani MS. ita reperi: πτισάνην Sor. / ἢ πίσσαν (Aet.) ὑγράν. [13] πρὸς τῇ κεφαλῇ Aet. MS. [14] Inde Soranus solus usque ad: ἐκ τῶν ἔμπροσθεν εἰρημένων μετενεκτέον· εἰς] εἰ ex Sched.

καὶ νῦν σκοπεῖν προςῆκεν εἰς τὴν διάθεσιν καὶ εἴτε φλεγμονὴ γέγονεν εἴτε κοινῶς στέγνωσις· ἐν μὲν τοῖς παροξυσμοῖς παραιτεῖσθαι δεῖ πᾶν τὸ δριμὺ καὶ δηκτικὸν· χρῆσθαι δὲ τοῖς παρηγορικοῖς χαλᾷν δυναμένοις· ἐν δὲ ταῖς ἀνέσεσι καὶ τοῖς ἀνασκευαστικωτέροις προςέρχεσθαι· χρονίσαντος δὲ τοῦ πάθους, καὶ τοῖς μετασυγκριτικοῖς, ὧν τὰς ὕλας καὶ τὰς ἐπιδεξίους χρήσεις ἐκ τῶν ἔμπροσθεν εἰρημένων μετενεκτέον. [1]Εἰ δὲ ἀναδεδραμηκυῖα ἡ μήτρα τύχοι, τοῖς [2]δυςώδεσιν αὐτὰς ἀποσφραντέον συνεχῶς, καὶ πταρμοὺς κινεῖν, καὶ διὰ καθετῆρος τὸ οὖρον κομίζειν εἰ ἐπέχοιτο· καὶ εἰ μὲν ἐπὶ τούτοις λύοιτο ὁ παροξυσμὸς, [3]ἀσμενητέον· ἐπιμένοντος δὲ τοῦ συμπτώματος, ἐὰν νέαι ὦσι καὶ πολύαιμοι, φλέβα τέμνειν τὴν ἐν ἀγκῶνι· ἔπειτα καὶ [4]τοῖς τὰ καταμήνια προτρέπειν δυναμένοις ποτίζειν, καὶ πεσσοῖς τοῖς [5]πραοτάτοις χρῆσθαι.

## ριη΄. [6]Περὶ ἐμπνευματώσεως μήτρας.

[7]Ἐμπνευματοῦσθαι πέφυκεν ἡ ὑστέρα μετὰ τοὺς τοκετοὺς ἐκ ψύξεως ἢ φθορᾶς ἢ [8]δυστοκίας μύσαντος τοῦ στομίου ἢ θρόμβου παρασφηνωθέντος αὐτῷ τοῖς ἄλλοις ὁμοίως· συνίσταται δὲ ἡ ἐμπνευμάτωσίς ποτε μὲν ἐν τῇ κοιλότητι τοῦ κύτους τῆς μήτρας, ποτὲ δὲ περὶ μὲν τὴν αἰσθητὴν εὐρυχωρίαν τῆς μήτρας, [9]ποτὲ δὲ καθ' ἕκαστον τῶν λεπτῶν [10]ἀραιωμάτων, ποτὲ δὲ ἐν αὐτῷ τῷ

---

[1] Inde Aetius simul pergit usque ad finem. [2] Contra Soranum. ex Sched. [3] Sic Aet. MS. *μενετέον* P. [4] *τοῖς — ποτίζειν,*] *τὰ δυνάμενα προτρέπειν τὰ καταμήνια ποτίζειν* Aet. MS. [5] *πραοτέροις* Aet. MS. [6] Est Aetii cap. 84. [7] *Ἐμπνευματοῦσθαι — ὁμοίως.*] *Ἐμπνευματοῦσθαι πέφυκεν ἡ ὑστέρα μετὰ τοὺς τοκετοὺς ἐνίοτε ψυχομένη, εἴτε μύοντος τοῦ στόματος αὐτῆς, εἴτε ὑπὸ θρόμβου αἵματος ἐμφραγέντος.* Aet. MS. [8] Male *δυστοκυίας.* [9] *ποτὲ — ἀραιωμάτων,*] om. Aet. MS., in cujus Codice 2191. lacuna, et in altero 2193. pro his leguntnr: *οὐδέν ἐστι τοιοῦτον.* [10] Male *ἀρεωμάτων.*

σώματι αὐτῆς, [1]τουτέστιν ἐν τοῖς ἀδήλοις πόροις, ἡ τῶν πνευμάτων ἀπόληψις γίνεται· παρέπεται δὲ ταῖς πασχούσαις διόγκωσις τοῦ ἤτρου [2]ἢ καὶ ὅλου τοῦ [3]ἐπιγαστρίου ὡς ἐπὶ τοῦ τυμπανίτου ὕδρωπος, πόνοι τε παρακολουθοῦσι νυγματώδεις διήκοντες μέχρι διαφράγματος καὶ στομάχου, διατεινομένων οὐδὲν ἧττον ἑκατέρωθεν τῶν πλευρῶν· καί ποτε μὲν [4]ὁ ἕτερος τῶν βουβώνων, ποτὲ δὲ [5]ἀμφότεροι· τισὶ δὲ καὶ περὶ τὸν ὀμφαλὸν αἴσθησις τῆς ὀδύνης γίνεται, ὀσφύος τε καὶ κτενὸς δηλονότι συμπάθεια καὶ κεφαλῆς. Ἔστι δ' ὅτε καὶ τοῦ πνεύματος γίνεται ἐκφύσησις διὰ τοῦ γυναικείου αἰδοίου, ὥστε αὐτὰς τὰς πασχούσας αἰσθάνεσθαι· εἰ μὲν [6]οὖν τὸ πνεῦμα ἐν τῷ κοιλώματι τῆς ὑστέρας εἴη συνηθροισμένον, παρέπονται βορβορυγμοὶ καὶ ψόφοι τινὲς αἰσθητοὶ ἐν ταῖς μετακλίσεσιν, ὃν τρόπον καὶ ἐπὶ τῶν ἐντέρων ἐπειδὰν στρόφος καταλάβῃ· [7]ὅταν δὲ ἡ ἐμπνευμάτωσις ἐν τοῖς ἀδήλοις [8]πόροις αὐτοῦ τοῦ σώματος τῆς ὑστέρας συσταίη, αἱ ὀδύναι σφοδρότεραι καὶ [9]δυςιατότεραι εἰσί· [10]καί ποτε μὲν εἰς τὸ δεξιὸν, ποτὲ δὲ εἰς τὸν ἀριστερὸν βουβῶνα τὴν [11]ἐρείδησιν ποιουμένης· ἔτι δὲ καὶ ψόαι καὶ ἰσχία συναλγεῖ τισι, καὶ τὰ τῆς συμπαθείας τῆς πρὸς τὴν ὑστέραν σημεῖα ἐφορᾶται, οἷον τενόντων, ἀλγήματα καὶ κεφαλῆς καὶ τὰ λοιπὰ, καὶ κατὰ τὴν τῶν δακτύλων θλίψιν [12]εἶξις ἀντιμεταβατικὴ ποσῶς,

---

[1]Sic Aet. MS. τοῦτέλους P. [2]ἢ om. P.; praebet Aet. MS. [3]ὑπογαστρίου Aet. MS. [4]Ita Aet. MS. τὸ ἕτερον P. [5]Ita Aet. MS. ἀμφοτέρους P. [6]οὖν om. Aet. MS. [7]In Aet. MS. sequuntur etiam haec: πρός τε τὴν ἐκ τῶν δακτύλων ἐπίκρουσιν ἦχος τυμπανώδης. [8]πόροις] τόποις καὶ πόροις Aet. MS. [9]Legebatur δυςιατότεροι εἰσί in P. et δυσιατώτεραι εἰσιν in Aet. MS. [10]Inde Soranum solum audis. [11]Fort ἔρεισιν. Lob. [12]ἶξις P. εἶξις ex Sched.

ταχεῖα δὲ πάλιν ἐπιδιόγκωσις, καὶ πρὸς τὸν διὰ τῆς χειρὸς ῥαπισμὸν ἦχος τυμπανώδης, ποτὲ δὲ καὶ στρόφος καὶ διαδρομὴ νυγματώδης, καὶ οἱονεὶ σφυγμὸς, καὶ πρὸς τὰ θερμαίνοντα ὁ κουφισμός· εἶτα μετ' ὀλίγον παροξυσμὸς, ὁ ψόφος τε καὶ βορβορυγμὸς ὡς [1] αἰσθητὸς ἔξω τοῦ πνεύματος διατρέχοντος· τὸ δὲ ἐνιέμενον ἐν τῇ συνουσίᾳ σπέρμα διαλύεται· τὰ δὲ τῆς συνοικήσεως τισὶ μὲν ἀεὶ διαμένει, τισὶ δὲ διά τινος χρόνου γίνεται· καὶ νῦν δὲ τὴν ἐπιμέλειαν τῆς θεραπείας, ὡς ἐπὶ στεγνῆς συντακτέον· κατασκευὴ δι' ἐγχυματισμῶν ἀνετικῶν καὶ καταπλασμάτων, [2] κούφων τε σικύων καὶ μετὰ κατασχασμοῦ καὶ παντὸς ἤδη τοῦ ὁμογενοῦς τούτοις βοηθήματος. Τροφὰς δὲ λαμβανέτωσαν μὴ δυςπέπτους τε καὶ δυςκαταπονήτους καὶ δριμείας καὶ πνευματωτικὰς, ἀλλὰ τὰς ῥαδίως καταπονεῖσθαι δυναμένας· καὶ ἐμβροχὰς [3] δι' ἐλαίου θερμοῦ καὶ γλυκέος ἐν ᾧ ἀφήψηται πήγανον καὶ ἄνηθον· καὶ εἰ μὴ [4] ἀντιπίπτοι ἡ ἡλικία καὶ ἡ ὥρα καὶ ἡ χώρα καὶ τὰ λοιπὰ, κένωσις αἵματος διὰ φλεβοτομίας, καὶ ἐγκαθίσματα δι' ἀφεψήματος πηγάνου, γλήχωνος, καλαμίνθης, πρασίου θύμου, ἀρτεμισίας, [5] ἀλθαίας, ἰσχάδων· κάθαρσις δὲ διὰ τῆς κολοκυνθίδος ἱερᾶς Ῥούφου ἢ Ἀρχιγένους· ἐν δὲ τοῖς παροξυσμοῖς ἐγχυματισμοὶ παραλαμβανέσθωσαν ἀνετικοὶ, χαλαστικοὶ, διαλυτικοὶ πνευμάτων, οἷόν ἐστι τὸ γλεύκινον ἔλαιον ἢ πεσσὸς τῆς τοιαύτης δυνάμεως, διαλυόμενος πολλῷ ἐλαίῳ καὶ διὰ μητρεγχύτου ἐγχεόμενος· [6] καταπλάσματα δὲ κοῦφα διὰ ἰσχάδων, πηγάνου, ὑσσώπου [7] καὶ νίτρον· εἰ δὲ [8] θρόμβος εἶεν αἴτιος τῆς ἐμ-

---

[1] αἰσθητῶς ex Sched. [2] κωφῶν ex Sched. [3] Rursus pergit etiam Aetius. [4] ἀντιπίπτει Aet. Cod. 2191. [5] Sic. Aet. MS. ἀλθέας male P. [6] καταπλάσματά τε Aet. MS. [7] καὶ om. P.; praeb. Aet. MS. [8] θρόμβοι — αἴτιοι Aet. MS.

πνευματώσεως, συνεχῶς ἐγκαθίζειν· καὶ εὐθὺς μετὰ τὸ ἐγκάθισμα ἡ μαῖα [1]προλελιπασμένον τὸν δάκτυλον [2]καθεῖσα [3]τὸν ἐγκείμενον [4]θρόμβον [5]εἴπερ τύχοι παρακείμενος κομιζέσθω πράως αὐτὸν ἐνδιαλύσασα τῇ προςαφῇ χάριν τοῦ ἄσκυλτον γενέσθαι τὴν ἔκκρισιν· χρονιζούσης δὲ τῆς ἐμπνευματώσεως, ἐν μὲν τοῖς παροξυσμοῖς τὰ ἀνετικώτερα [6]προςάξομεν· [7]ἐν γὰρ ταῖς ἐπιθέσεσι καὶ τοῖς παροξυσμοῖς τὰ ὅμοια δοκιμάζομεν· διαλείμματος δὲ γενομένου, τὰ σώματα τονοῦμεν διὰ συναλειμμάτων θερμοτέρων καὶ [8]τρίψεως τῶν σκελῶν καὶ τῶν πασχόντων τόπων, [9]τῆς τε τῶν ὅλων, καὶ τοπικῆς, ποτὲ μὲν διὰ ψιλῶν τῶν χειρῶν, ποτὲ δὲ δι' ὠμοτάτων λίνων ξηρῶν· τροφάς τε δίδομεν ποικίλας, ἔσθ' ὅτε δὲ καὶ δριμείας· τὴν [10]ὀσφὺν δὲ καὶ τὸ ἐπιγάστριον δρώπακι καταχρίομεν, [11]καὶ νίτρῳ συμπάσσομεν ἢ παροπτῶμεν καὶ τῷ διὰ νάπυος καὶ ἰσχάδων φοινιγμῷ χρώμεθα, ἢ [12]τὸ κρίθινον μετὰ σύκων ἑψημένων καὶ πηγάνου καὶ ὑσσώπου καὶ μέλιτος καταπλάττομεν· ἐπιῤῥιπτοῦμεν δὲ καὶ [13]τῷ διὰ νίτρων καὶ συκῶν καὶ ἀψινθίου ἢ τὴν ὠμήλυσιν μετὰ σύκων ἡψημένων, καὶ ὑσσώπου, ἢ τὸ διὰ σπερμάτων μάλαγμα ἢ τὸ πολυάρχιον ἢ τὸ διὰ [14]δαφνίδων μετὰ κηρωτῆς τὸ πρῶτον· εἶτα κατ' ἰδίαν· [15]ὅμοια δὲ τούτοις καὶ τὰ ἐγκαθίσματα παρασκευάζομεν καθεψόν-

---

[1]προλελιπασμένον] λελιπασμένον ἐμβαλοῦσα. Aet. MS. [2]καθεῖσα om. Aet. MS. [3]τὸν] καὶ τὸν Aet. MS. ἐγκείμενον] προκείμενον Aet. Cod. 2193. [4]κόλπον Aet. Cod. 2191. [5]εἴπερ — ἔκκρισιν·] Pro his brevius legimus in Aet. MS.: πραέως διαλύσασα κομιζέσθω· [6]προςάξομεν (γο superscr.)} Aet. MS. [7]ἐν γὰρ ταῖς—δοκιμάζομεν·] om. Aet. MS. [8]τρίψεων Aet. M . [9]τῆς τε — δριμείας.] om. Aet. MS. [10]ὀσφῦν Aet. MS. [11]καὶ νίτρῳ — παροπτῶμεν] om. Aet. MS. [12]τῷ κριθίνῳ Aet. MS. [13]Abscedunt modice ab Aetio. ex Sched. [14]δαφνῶν P. δαφνίδων Aet. MS. [15]ὅμοια δὲ—καὶ νάρδον.] om. Aet. MS.

τες τῷ ὕδατι σταφυλῖνον καὶ δαῦκον κρητικὸν καὶ γλήχωνα· οὔσης δὲ τῆς κατασκευῆς καὶ ἀρτεμισίαν καὶ ὕσσωπον καὶ πράσιον καὶ [1] δάφνην ἢ τὸν καρπὸν αὐτῆς, κασίαν τε καὶ νάρδον· [2] τῆς δὲ αὐτῆς δυνάμεως καὶ πεσσοὺς προςβάλλομεν· πεσσοὶ τοιαύτης δυνάμεως· εἰς δὲ τὸ [3] ἀμαυρῶσαι τὴν πολλὴν δριμύτητα σύκων λιπαρῶν κεκομμένων ὥςτε τὰς [4] κεγχραμίδας μὴ φαίνεσθαι, ὑποτιθέναι· καὶ [5] σικύας δὲ τοῖς τόποις κατὰ κύκλον [6] προςβλητέον καὶ βιαίως ἀποσπαστέον, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν· καὶ πᾶσι δὲ τοῖς μετασυγκρίνειν δυναμένοις χρηστέον, καθάπερ τοῖς αὐτοφυέσιν ὕδασι [7] καὶ κατακρουνισμοῖς καὶ νήξεσι πρῶτον μὲν θερμοῖς, ὕστερον δὲ καὶ ψυχροῖς, κατ' ὀλίγον [8] ἐθίζοντες τὸ σῶμα ὑπομένειν τὴν ψυχρολουσίαν ὥςτε τονωθῆναι τὰ πεπονθότα μέρη· τροφὰς δὲ διδόναι λεπτυνούσας καὶ διαλύειν πνεύματα δυναμένας [9] καλαμίνθης· [10] τὰ δὲ φαρμακωδέστερα φάρμακα παραιτούμεθα διὰ τὴν ἀνατροπὴν τοῦ στομάχου καὶ τὰς ὑποθυμιάσεις καὶ τοὺς διὰ τῶν ἀρωμάτων ὑποκαπνισμούς· πληρουμένη γὰρ ὑπὸ τούτων ἡ κεφαλὴ, μείζονα τὴν βλάβην ὑπομένει τῆς ὠφελείας· ἀποδοκιμάζομεν δὲ καὶ τὰ στύφοντα τῶν ἐπιθεμάτων οἷον τὰ διὰ μήλων κυδωνίων, φοινίκων, θηβαϊκοῦ οἴνου αὐστηροῦ, οἰνάνθης, ἀκακίας, σιδίων· τὴν γὰρ ἐπὶ στεγνώσει γεγενημέ-

---

[1] Sic pro δάφνης correxi. Lob. [2] Aetius pergit. ex Sched. [3] ἀμβλύναι Aet. MS. [4] κεχραμίδας P. κεγχρίδας Aet. Cod. 2191. [5] Sic. Aet. MS. σικύαν P. [6] Ita etiam in marg. Aet. Cod. 2191., qui ut alter Codex προςθετέον offert. [7] καὶ κατακρουνισμοῖς καὶ νήξεσι,] om. Aet. MS. [8] ἐρεθίζοντες Aet. MS. [9] καλαμίνθης om. Aet. MS. [10] Aetius ita finivit: τὰ δὲ φαρμακωδέστερα φάρμακα παραιτούμεθα καὶ τὰ διὰ τῶν ἀρωμάτων ὑποθυμιάματα ὡς κακωτικὰ τῆς κεφαλῆς ἐπιπνευματοῦντα, καὶ τὰ στύφοντα ἐπιθέματα οἷά ἐστι τὰ διὰ φοινίκων καὶ μήλων· βλαβερὰ γὰρ καὶ τὰ τοιαῦτα τῷ πάθει.

νην ἐμπνευμάτωσιν οὐ τὰ στύφοντα λύει· τὰ δὲ χαλῶντα καὶ ἀνιέντα.

### ριθʹ. [1] Περὶ οἰδήματος ὑστέρας.

[2] Οἰδούσης δὲ τῆς [3] ὑστέρας, ὄγκος παρέπεται ὠχρόλευκος, ὑπόσομφος, εὐαφὴς, [4] εἴκων πρὸς τὰς τῶν δακτύλων θλίψεις καὶ μετὰ βραχὺ [5] πάλιν ἐπαιρόμενος· [6] τὸ δὲ ἐπιγάστριον ὁμόχρουν ἐστὶ καὶ τοῖς δακτύλοις ἑλκόμενον ἐπακολουθεῖ· τὰ αὐτὰ δὲ καὶ νῦν παραληπτέον ἅπερ ἐπὶ τῆς ἐμπνευματώσεως εἰρήκαμεν· ἐγχυματιστέον δὲ τοὺς τόπους τὸ μὲν πρῶτον ἐλαίῳ θερμῷ, ἔπειτα κυπρίνῳ ἢ ἰρίνῳ ἐλαίῳ καὶ πεσσοῖς ὁμοίοις τῆς ἐμπευματώσεως.

### ρκʹ. [7] Περὶ ὑδρωπιώσης μήτρας.

[8] Ἐπεσχημένων ἐπὶ πλείονα χρόνον τῶν καταμηνίων, καὶ τῶν κυήσεων [9] παραπεποδισμένων, συμβαίνει πολλάκις παρέγχυσιν ὑγροῦ γίνεσθαι κατὰ τὴν κοιλότητα τῆς ὑστέρας· ἐνίοτε δὲ σώματά τινα ἐν τῇ μήτρᾳ γεννᾶται μᾶλλον τῇ χοληδόχῳ κύστει ἐοικότα ἐν οἷς τὸ ἀθροιζόμενον ὑγρὸν περιέχεται· παρέπεται δὲ ταῖς πασχούσαις ὄγκος μέγας περὶ τὸ ὑπογάστριον σομφὸς πνευματώδης, καὶ βορβορυγμὸς ὥςπερ ἐπὶ ἐντέρων· ἐν δὲ τῷ βαδίζειν βάρος, δύςπνοια, κατὰ κοιλίαν δυςωδῶν ἔκκρισις, καταμηνίων καὶ κυήσεων ἐποχὴ, καὶ τὰ φερόμενα δὲ ἀτάκτως ἐκκρίνεται, ἐνίοτε δὲ καὶ ὑδατώδη· κατὰ δὲ τὰς συντόνους κινήσεις ῥηγνυμένων ἐνίοτε τῶν προῤῥηθέντων μικρῶν σωμάτων τῶν κύστεσιν ἐοικότων, ὑδατώδη

---

[1] Est Aetii cap. 89. [2] *Οἰδαινομένης* Aet. MS. [3] *μήτρας* Aet. MS. [4] *εἴκων*] Aet. MS. *ἥκων* P. [5] *πάλιν μετὰ βραχὺ* Aet. MS. [6] Aliter Aetius habet: *τὸ δὲ κατ' ἐπιγάστριον δέρμα ἑλκόμενον τοῖς δακτύλοις, παρακολουθεῖ· ἐμβρέχειν δὲ προςήκει τοὺς τόπους ἐλαίῳ θερμῷ, πρῶτον μὲν τῷ κοινῷ· ἔπειτα δὲ κυπρίνῳ ἢ ἰρίνῳ· πεσσοῖς δὲ χρηστέον καὶ τοῖς λοιποῖς βοηθήμασι τοῖς προῤῥηθεῖσιν ἐν τῷ περὶ ἐμπνευματώσεως τῆς μήτρας κεφαλαίῳ.* [7] Est Aetii cap. 86., quod sicuti proximum Aspasiae tribuit Cod. 2193. [8] *ἐπισχημένων* Aet. MS. [9] *παρεμπεποδισμένων* Aet. MS.

γλίσχρα ἐκκρίνεται· — χρηστέον κατακλίσει καὶ ἡσυχίᾳ, καὶ ἐμέτοις καὶ κλυσμοῖς εὐτόνοις· — ἐνιέναι δὲ καὶ τῇ μήτρᾳ τὰ δυνάμενα μυξώδη ὑγρασίαν ἕλκειν· — καὶ πεσσοὺς τῆς αὐτῆς δυνάμεως προςτιθέναι· εἶτα προςαντλείσθωσαν τὸν κόλπον θαλάσσῃ θερμῇ· — ἔπειτα καὶ ὄξος προςπλέκοντας· — μετὰ δὲ τὴν προςάντλησιν ἐκμαξαμένη ἀλειφέσθω κυπρίνῳ τοὺς τόπους καὶ τοὺς μηρούς· — πινόμενα φάρμακα — πεσσοὶ [1] — ἐπὶ δὲ τῶν ὑδατίδας λέγω δὴ [2] τὰς μικραῖς κύστεσιν ἐοικυίας ἐν τῇ ὑστέρᾳ ἐχουσῶν, πυρίαις χρηστέον δι᾽ ἀρωμάτων δυναμένων κατασπᾷν τὰ καταμήνια, καὶ πεσσοῖς αἱμαγωγοῖς ἐπισπαστικοῖς. — [3] κνεώρου· — ἀλυπότατος δὲ πρὸς [4] ὑδατώδεις καὶ δερματώδεις ἐπιφύσεις, καρπὸς λινοζώστεως ἄῤῥενος μετὰ [5] μυρσίνου ὀλίγης καὶ ἁλῶν καὶ μέλιτος ἐν ἐρίῳ προςτιθέμενος ἐπὶ πλείους ἡμέρας· μετὰ δὲ τὴν ἀποκατάστασιν γυμνασίοις χρηστέον καὶ ἱδρώσεσι καὶ τρίψεσιν εὐτόνοις ὅλου τοῦ σώματος, καὶ μάλιστα [6] τοῦ ἐπιγαστρίου.

### ρκα΄. [7] Περὶ μύλης [8] πάθους ἐν μήτρᾳ, ὑπό τινων ὕδερος νομιζόμενος.

[9] Ἡ λεγομένη μύλη [10] ἢ καθὼς ἄλλοι λέγουσι μύλος σκίῤῥωσίς ἐστιν ὑστέρας διὰ προηγουμένην φλεγμονὴν

---

[1] Formulae quinque ex Sched. [2] ταῖς Aet. MS. [3] κνεόρου Aet. Cod. 2191. ὅ ἐστιν ῥίζα τῶν κνιδείων κόκκων. add. Aet. Cod. 2193. [4] Ita Aet. Cod. 2191. ὑδατίδας P. ὑδατώδεις (ῑ ας) Aet. Cod. 2193. [5] σμύρνης Aet. MS. [6] τοῦ] Aet. MS.; om. P. [7] Est Aetii cap. 88. [8] ἢ ἐστι πάθος pro πάθους Aet. Cod. 2191. [9] Ἡ λεγομένη — ὁπότε παρακολουθεῖ] Aet. haec ita praebet: Ἡ λεγομένη μύλη σκιῤῥώδης ἐστὶ διάθεσις περὶ τὴν ὑστέραν ἐκ προηγησαμένης τινὸς φλεγμονῆς ἐνίοτε γινομένη· ποτὲ δὲ καὶ τοπικὸν ἕλκος, ἐπὶ πολὺ [ὑπερσαρκῶσαν, οὕτως ὠνομάσθη ἀπὸ τῆς παρεπομένης δυσκινησίας καὶ τοῦ βάρους ὡς μύλης φασί· παρακολουθεῖ etc. [10] ἢ addidi. Lob.

ἐπιγινομένην· ποτὲ δὲ καὶ τοπικὸν ἕλκος ἐπὶ πολὺ ὑπερσαρκῶσαν· ὠνόμασται δὲ μύλος ἀπὸ τῆς δυςκινησίας καὶ τοῦ βάρους· γίνεται δέ ποτε μὲν κατά τι μέρος μήτρας, οἷον στόμα καὶ τράχηλος, [1]ὥςτε δακτύλοις καθιεμένοις ὑποπίπτειν τὸν ὄγκον, καὶ κάτω τὸ πᾶν εἶναι βάρος· ὡς ἐπὶ τὸ πολὺ δὲ, καθ' ὅλην τὴν μήτραν, ὁπότε παρακολουθεῖ πρόδηλος [2]ὄγκος περὶ τὸ ὑπογάστριον ἀπηνὴς [3]λιθώδης μετὰ κατασπασμοῦ τῶν [4]ὑπερκειμένων ὑποχονδρίων καὶ ἰσχνώσεως, [5]ἀχροίας τε καὶ ἀνορεξίας· γίνεται δὲ [6]τὸ πρῶτον φαντασία [7]τῆς συλλήψεως ἐπεχομένων μὲν τῶν καταμηνίων, διογκουμένων δὲ τῶν μαστῶν, ἀνατρεπομένου δὲ τοῦ στομάχου καὶ βαρυνομένης [8]μὲν τῆς ὀσφύος, διογκουμένου δὲ [9]τοῦ ἐπιγαστρίου· διακρίνεται δὲ [10]τοῦ χρόνου προκόπτοντος, τῷ νυγματώδη παρακολουθεῖν ἀλγήματα, μηδεμίαν δὲ γίνεσθαι [11]κίνησιν ὥςπερ ἐπὶ τῶν κυουσῶν[12]· ὕστερον [13]δὲ καταλυομένου [14]τοῦ παντὸς σώματος, μεγεθυνομένης δὲ τῆς [15]ὀγκώσεως, ἔμφασις ὕδρωπος ἀποτελεῖται· διακρίνεται δὲ καὶ τοῦ ὕδρωπος τῷ κατὰ τὴν τῆς χειρὸς [16]ἐπίθεσιν μηδέποτε εἴκειν τὸν ὄγκον μηδὲ κοιλαίνεσθαι, μηδὲ ἦχον τυμπανώδη ἢ κλύδωνα γίνεσθαι κατὰ τὸν τῆς χειρὸς ῥαπισμὸν ὥςπερ ἐπὶ τοῦ ὕδρωπος. Ἔσθ' ὅτε [17]δὲ προϊόντος τοῦ χρόνου καὶ καταψυχομέ-

---

[1]ὅςγε P. ὥςτε ex Sched. [2]ὁπότε παρακολουθεῖ — ὄγκος] παρακολουθεῖ δὲ αὐταῖς ὄγκος Aet. MS. [3]λιθώδης om. Aet. MS. [4]ὑπερκειμένων om. Aet. MS. [5]καὶ ἀχροίας καὶ ἀνορεξίας. Aet. MS. [6]τὸ om. Aet. MS. [7]τῆς om. Aet. MS. [8]μὲν om. Aet. MS. [9]καὶ τοῦ ὑπογαστρίου Aet. MS. [10]προκόπτοντος τοῦ χρόνου Aet. MS. [11]κίνησιν βρέφους Aet. MS. [12]Sequuntur in Aet. MS.: οὐδὲ γάλα περὶ τοὺς μαστούς. [13]δὲ praeb. Aet. MS.; om. P. [14]τοῦ παντὸς] ὅλου τοῦ Aet. MS. [15]διογκώσεως Aet. MS. [16]ἐπέρεισιν pro ἐπίθεσιν Aet. MS. [17]προϊόντος — καταψυχομένου] χρόνου προϊόντος καταψυχομένου Aet. MS.

νου τοῦ ἥπατος καὶ ὕδρωψ ἐπιγίνεται· τινὲς δὲ ἱστοροῦσι [1]ἐπ' ὀνίων καὶ σαρκὸς ἔκκρισιν γίνεσθαι [2]συνισταμένης [3]ὡςεὶ καρύου μέγεθος διὰ τοῦ γυναικείου αἰδοίου, [4]αἷς μὲν κατὰ μῆνα, αἷς δὲ [5]διὰ δύο ἢ τριῶν μηνῶν· τὴν δὲ προειρημένην διάθεσιν, οἱ μὲν ὡς ἀθεράπευτον κατέλιπον, οἱ δὲ τὴν ἀρχομένην [6]μόνον [7]ὑπήγαγον τοῖς βοηθήμασιν· ἡμεῖς δὲ καὶ νῦν ὡς κεχρονικυῖαν θεραπεύομεν νόσον. [8]Δεῖ δὲ μὴ ἀμελεῖν, ἀλλ' ἐν μὲν ταῖς ἐπιθέσεσιν ἃς καταλαμβάνομεν ἐκ βάρους πλείονος καὶ ναρκώδους συναισθήσεως ἢ φθορᾶς σιτίων καὶ ἀγρυπνίας δίχα προδήλου τινὸς αἰτίας γεγενημένης, παραλαμβάνοντες καὶ καταπλάσματα θερμὰ, χαλαστικὰ, σικύας, κατασχασμὸν, βδέλλας, πυρίας, ἐγχυματισμοὺς πραΰντικοὺς, ἀνετικοὺς, πεσσοὺς μαλακτικοὺς, ἐγκαθισμοὺς, κηρωτὰς μετὰ ἀλθέας ἡψημένας καὶ γλυκέος ἐλαίου ἢ κυπρίνου, καὶ μάλαγμα τὸ διὰ χυλῶν, ἢ τὸ Μνασίου καὶ τροφὰς εὐχύμους τε καὶ εὐχύλους, καὶ τὴν εἰς τοὺς ὤμους διὰ τελαμῶνος ἀνάληψιν, εἰς ἐπικουφισμὸν τῆς διὰ τὸν κατασπασμὸν ὀχλή-

---

[1]ἐπ' ὀνίων καὶ σαρκὸς] σαρκὲς ἐπί τινων Aet. MS. [2]συνεκκρινομένης Aet. Cod. 2191. συνεστραμμένης Aet. Cod. 2193. [3]ὡςεὶ — αἰδοίου] διὰ τοῦ γυναικείου αἰδοίου ὡςεὶ καρύου μέγεθος habet Aet. MS. [4]αἷς μὲν —, αἷς δὲ] ταῖς μὲν —, ταῖς δὲ Aet. MS. [5]κατὰ δύο ἢ τρεῖς μῆνας Aet. MS. Ab eodem post haec adduntur: ἄλλαις δὲ αἰφνιδίως κατεῤῥάγη αἵματος φορὰ, καὶ ἀπώλοντο· αἷς δὲ σύμμετρος αἱμόῤῥοια γέγονε, καὶ ἐσώθησαν. [6]μόνην Aet. MS. [7]ὑπήγαγον — θεραπεύομεν νόσον.] θεραπεύειν ἐκέλευσαν. Aet. MS. [8]Pro his usque ad: ταῦτα μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβάνειν. dicit Aet. MS.: δεῖ δὲ μὴ ἀμελεῖν, ἀλλὰ τὰ δέοντα πράττειν· καταπλάσματα μὲν οὖν χαλαστικὰ προςάγειν χρὴ, καὶ πυρίας καὶ ἐγχυματισμοὺς πραΰντικοὺς καὶ πεσσοὺς μαλακτικοὺς τοὺς πρὸς σκληρίας γραφησομένους· ἐγκαθίσματα δὲ τὰ ὅμοια καὶ κηρωτάς· — ἔπειτα σικύας μετὰ κατασχασμοῦ προςάγειν· τροφὰς δὲ εὐχύμους διδόναι· ταῦτα μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβάνειν.

σεως· ταῦτα μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβάνειν. Ἐν δὲ τοῖς διαλείμμασι τὸ σῶμα προςαναλαμβάνομεν διὰ τῆς [1]ἀλειπτικῆς ἐπιμελείας, αἰώρας, περιπάτων, [2]λουτρῶν, ἀναφωνήσεως, οἰναρίου, καὶ τῆς ἐπιτηδείου καὶ ποικίλης τροφῆς, [3]τὰ δὲ πρωτοπαθοῦντα μεταβάλλοντες διὰ δρώπακος, [4]παραπτήσεως, ἡλιώσεως, νίτρου τε καὶ ἁλῶν ἐπιπασσομένων, καὶ τρίψεως, καὶ τῷ διὰ νάπυος καὶ ἰσχάδων φοινιγμῷ χρώμεθα, καὶ μαλάγμασι χρώμεθα τῷ διὰ σπερμάτων καὶ τῷ διὰ δαφνίδων, καὶ [5]τῷ πολυαρχίῳ καὶ [6]τῷ Κηφισοφῶντος καὶ τοῖς ὁμοίοις· ἐγκαθισμάτων τε καὶ πυριῶν μετασυγκρίνειν δυναμένων οἷον θαλάσσης ἐζεσμένης ἢ ἅλμης, ἀφεψήματος δάφνης, δαφνίδος, γλήχωνος, [7]ἰσσώπου, ἐλελισφάκου, πρασίου, ἀρτεμισίας, δικτάμνου, κενταυρίου, πολίου, σκορδίου, [8]ὑποτιθεμένης τῆς χύτρας τῷ δίφρῳ καὶ τῷ [9]πώματι αὐτῆς τετρημένῳ ἐναρμοζομένου καλάμου· καὶ πεσσῶν τῶν διὰ βουτύρου [10]...... ἢ σουσίνου [11]ἢ μαλαβαθρίνου. Δοκιμαστέον δὲ καὶ δριμυφαγίαν [12]προκοπτούσης τῆς διαθέσεως [13]καὶ τὴν κατὰ κύκλον ἀγω-

---

[1]ἀναληπτικῆς Aet. MS. [2]λουτρῶν, — τροφῆς,] λουτρῶν καὶ τῆς ἐπιτηδείου τροφῆς καὶ οἴνου πόσεως. Aet. MS. [3]Sequentia usque ad ἐναρμοζομένου καλάμου, ita legimus in Aet. MS.: καὶ δρωπακίζομεν τὰ πεπονθότα μέρη καὶ ἡλιώσεσι χρώμεθα... καὶ τῷ διὰ νάπυος καὶ ἰσχάδων φοινιγμῷ.. καὶ μαλάγμασι· — πυριῶν δὲ καὶ δι' ἀτμοῦ θαλάσσης ἐζεσμένης ἢ ἅλμης...., ὑποτιθεμένης τῆς χύτρας τῷ δίφρῳ καὶ τῷ πώματι αὐτῆς τετρημένῳ ἐναρμοζομένου καλάμου, — [4]παροπτήσεως ex Sched. [5]Ita Aet. MS. τὸ πολυάρχιον P. [6]τὸ erat. καὶ τῷ Κηφισοφῶντος] om. Aet. MS. [7]ὑσσώπου Aet. MS. [8]ὑποτιθεμένης — καλάμου] est in marg. Cod. P. et in Aet. MS. [9]Sic Aet. Cod. 2193. πόματι Cod. 2191. [10]Hanc. lacunam in Soran. MS. explendam esse dicit **Dietzius** ex Aet. MS., ubi nihil invenitur nisi: ...... πεσσοὶ ..... [11]ἢ μαλαβαθρίνου] om. Aet. MS. [12]δὲ post προκοπτούσης add. Aet. MS. [13]καὶ — ἀγωγὴν] om. Aet. MS. τῆς — ἀγωγῆς erat corrigendum.

γήν καὶ την τῶν αὐτοφυῶν ὑδάτων χρῆσιν [1]καὶ κατακρουνισμῶν, καὶ [2]νήξεως ἐν θαλάττῃ ἢ αὐτοφυέσιν ὕδασιν, καὶ [3]τοὺς ἀπὸ [4]ῥαφανίδων ἐμέτους· [5]καὶ εἰ ἡ δύναμις ἐπιτρέπῃ, φυλακτέον τούς τε δριμυτέρους πεσσοὺς [6]καὶ τοὺς ἀπὸ ἐλλεβόρων καὶ ἐγκαθισμάτων δριμυτέρων, [7]μὴ τῇ συνεχεῖ χρήσει λάθωμεν ἑλκώσαντες τὰ ἐσκιῤῥωμένα, καὶ παρὰ τοῦτο κακοήθη ποιήσωμεν τὴν διάθεσιν· [8]τὰς δὲ διὰ κρόκου καὶ στύρακος καὶ ῥητίνης καὶ σμύρνης ὑποθυμιάσεις, καὶ τοὺς δι' ἀρτεμισίας γλήχωνός τε καὶ πρασίου καὶ σκορδίου κόμης [9]περιατμισμοὺς καὶ τὸ πινόμενον οἰνόμελι ἀφεψήματι καρδάμου καὶ γλήχωνος ἀποδοκιμάζομεν, δι' ἃς ἐπὶ τῶν ἔμπροσθεν εἰρήκαμεν αἰτίας. Πλείσταις δὲ διὰ τῆς προῤῥηθείσης ἀγωγῆς ἐξαπίνης ἔκκρισις αἵματος τεθρομβωμένου καὶ [10]μεμελασμένου σφόδρα πολλοῦ γέγονε καὶ ἀπήλλαξε τῆς διαθέσεως.

## ρκβ'. [11]Περὶ σατυριάσεως.

Σατυρίασις ἐπ' ἀνδρῶν μὲν γίνεται μᾶλλον καὶ διὰ τοῦτο ἐν τοῖς ὀξέσι τὸν πολὺν περὶ αὐτῆς λόγον ἐφωδεύκαμεν· γίνεται δὲ καὶ ἐπὶ γυναικῶν [12]σατυρίασις ὥςπερ [13]καὶ ἐπὶ τῶν [14]ἀνδρῶν. Παρέπεται δὲ αὐταῖς κνησμὸς ἐπιτεταμένος τῶν γυναικείων τόπων μετὰ

---

[1]καὶ κατακρουνισμῶν] om. Aet. MS. [2]νήξεις Aet. MS. [3]τὸ erat. [4]Ita Aet. MS. ῥεφανίδων P. [5]καὶ — ἐπιτρέπῃ] om. Aet. MS. [6]καὶ τοὺς — δριμυτέρων] καὶ τὰ ἐγκαθίσματα Aet. MS. [7]μὴ — τὴν διάθεσιν.] ὡς μὴ τῇ συνεχεῖ χρήσει ἑλκωθέντες οἱ τόποι κακοήθη ποιήσωσι τὴν διάθεσιν. Aet. MS. [8]Haec usque ad δι' ἃς ἐπὶ τῶν ἔμπροσθεν εἰρήκαμεν αἰτίας sunt in Sorano solo. [9]Sic pro περιατμισμοῦ ex Sched. [10]μεμελανωμένου Aet. MS. [11]Est Aetii cap. 90. [12]σατυρίασις λεγομένη Aet. MS. [13]κἀπὶ pro καὶ ἐπὶ Aet. MS. [14]προείρηται add. Aet. MS.

[1]πόνου ὥςτε τὰς χεῖρας συνεχῶς τοῖς [2]μέρεσι ἐπιφέρειν· καὶ διὰ τοῦτο ἀκάθεκτος αὐταῖς [3]πρὸς συνουσίαν ὁρμὴ γίνεται καὶ παρατροπὴ τῆς διανοίας μετὰ [4]δριμύξεως ἢ δήξεως ἁλμυροῦ χυμοῦ, [5]ἐπὶ ποσὸν διὰ [6]τὴν πρὸς τὴν ὑστέραν τῶν μηνίγγων συμπάθειαν, [7]παρηγκωνησαμένη πᾶσαν αἰδῶ· Φλεγμονὴ δέ ἐστι τῶν περὶ τὴν μήτραν τόπων· ἡ δὲ γινομένη αὐταῖς ὁρμὴ πρὸς συνουσίαν σφοδρύνει τὴν διάθεσιν· συντεινόμενα γὰρ τὰ πεπονθότα μέρη καὶ μὴ [8]ἀποκρινομένου τοῦ σπέρματος διὰ τὸ μεμυκέναι ὑπὸ τῆς φλεγμονῆς τοὺς πόρους, πλείονα ἐφέλκεται τὴν ἀπὸ τοῦ σώματος ὕλην. Φλεβοτομεῖν οὖν αὐτὰς κατ' ἀρχὰς προςήκει, καὶ τὴν τροφὴν συστέλλειν, καὶ καταπλάσσειν τὴν ἥβην καὶ τὴν ὀσφῦν τοῖς ἐμψύχειν καὶ συστέλλειν ἠρέμα δυναμένοις, [9]τὴν κεφαλὴν δὲ ἐμβρέχειν ὀξυροδίνῳ· πόμα δὲ ὕδωρ [10]γαλακτῶδες καὶ τροφαὶ ῥοφηματώδεις, μηδὲν παντάπασι φυσῶδες ἢ ἐρεθιστικὸν συνουσίας ἔχουσαι· μετὰ δὲ ἡμέρας δύο τῆς φλεβοτομίας, σικυάζειν τοὺς τόπους χωρὶς κατασχασμοῦ· ἡ δὲ λοιπὴ ἐπιμέλεια, ἡ ἐπὶ τῆς φλεγμονῆς ῥηθησομένη ἔστω.

## ρκγ'. Περὶ φλεγμονῆς ὑστέρας.

Ἡ φλεγμονὴ κέκληται μὲν ἀπὸ τοῦ φλέγειν, καὶ οὐχ ὡς ὁ Δημόκριτος εἴρηκεν ἀπὸ τοῦ αἴτιον εἶναι τὸ φλέγμα· προκατάρχει δὲ τῆς περὶ τὴν ὑστέραν φλεγμο-

[1]Sic Aet. MS. πόνων P. [2]τόποις Aet. MS. [3]ὁρμὴ πρὸς συνουσίαν Aet. MS. [4]Sic! ex Sched. [5]ἐπὶ ποσὸν—αἰδῶ.] om. Aet. MS. [6]Erat τῆς. [7]Leg. παραγκωνισαμένη Lob. [8]ἐκκρινομένου Aet. MS. [9]κεφαλήν τε pro τὴν κεφαλὴν δὲ Aet. MS. [10]διδόσθω add. Aet. MS.

νῆς, πολλὰ μὲν καὶ ἄλλα οἷον ἐκ πληγῆς καὶ ἐκ τῆς τῶν καταμηνίων ἐποχῆς, καὶ ἀπὸ ἐκτρωσμῶν, καὶ ἐξ ἑλκώσεως φλεγμαίνειν εἴωθεν, συνεχέστερον δὲ, ψύξις· ἐπεχομένων γὰρ τῶν ἐν αὐτῇ διαπνοῶν, φλεγμαίνειν συμβαίνει· ὡσαύτως κόπος, ἔκτρωσις, φαύλη τε μαίωσις, ὧν οὐδὲν εἰς τὴν ἐξαλλαγὴν συντελεῖ τῆς ἐπιμελείας· συμβαίνει δὲ καὶ ἐκ συνουσίας παραλόγου, καὶ διὰ σκληρὰν καθέδραν, καὶ διὰ πλείονα καὶ συντεταμένον περίπατον· μήτρας δὲ φλεγμαινούσης, τὰ μὲν κοινὰ παρέπεται σημεῖα, τὰ δὲ ἴδια καὶ δηλωτικὰ τοῦ πάσχοντος μέρους αὐτῆς· φλεγμαίνει γάρ ποτε μὲν ὅλη, ποτὲ δὲ τὸ στόμιον αὐτῆς, ποτὲ δὲ ὁ τράχηλος, ποτὲ δὲ ὁ πυθμὴν, ποτὲ δὲ τὸ κύτος, ἤτοι ἄνωθεν ἢ κάτωθεν ἢ ἐκ πλαγίων, ποτὲ δέ τινα τούτων, ἢ τὰ πλεῖστα μέρη.

### ρκδ΄. Τίνα σημεῖα κοινὰ φλεγμονῆς οὔσης ἐν τῇ μήτρᾳ.

Κοινὰ μὲν οὖν παρέπεται σημεῖα, πυρετὸς ἐπιγίνεται, πόνος τε τοῦ πάσχοντος μέρους καὶ παλμὸς, ὄγκος τοῦ ὑπογαστρίου καὶ πύρωσις, ξηρότης ἰσχίων ἢ σύντασις, βάρος ὀσφύος, λαγόνων, ἤτρου, βουβώνων, μηρῶν, φρικώδης ἀντίληψις, διαδρομὴ νυγματώδης, νάρκα ποδῶν καὶ περίψυξις τῶν γονάτων, περιίδρωσις, σφυγμὸς μικρὸς καὶ πυκνότατος, συμπάθεια τοῦ στομάχου, λειποθυμία, ἔκλυσις.

### ρκέ. [1]Τίνα σημεῖα ἐπιτάσεως.

Κατ' ἐπίτασιν δὲ καὶ λυγμὸς, ἀλγήματα τραχήλου καὶ σιαγόνων καὶ βρέγματος καὶ ὀφθαλμῶν, μάλιστα κατὰ τὰς βάσεις, [2]παραποδισμὸς οὔρων [3]καὶ σκυβάλων

---

[1] Est Aetii cap. 91. [2] παρεμποδισμὸς (α) Aet. MS. [3] ἢ σκυβ. ἢ ἀμφ. Aet. MS.

ἢ καὶ ἀμφοτέρων· [1]χείρονος δὲ τῆς φλεγμονῆς οὔσης, αὔξονται καὶ οἱ πυρετοὶ [2]καὶ ἐπιγαστρίου ἐξόγκωσις καὶ παρακοπὴ παρακολουθεῖ καὶ [3]συνέρεισις ὀδόντων, [4]σπασμός· [5]καὶ ταῦτα μὲν κοινά. Ἴδια δὲ μόνου μὲν τοῦ στομίου φλεγμαίνοντος, ἐπίμυσις αὐτοῦ καὶ ἐκ τοῦ τοὺς γυναικείους τόπους μετὰ πυρώσεως ἀλγεῖν, καὶ τὸ ἐφήβαιον καὶ τὸ [6]ἐπιγάστριον καὶ τὴν ὀσφῦν, καὶ ἐκ τοῦ κατὰ τὴν κάθεσιν [7]τοῦ δακτύλου, τὸ στόμιον τῆς μήτρας σκληρὸν καὶ μεμυκὸς καὶ ἔνθερμον [8]καὶ συναίσθησις ὀδυνώδης· ἐπινεύει δ' ὡς πρὸς τὸν δάκτυλον· συντείνονται δὲ βουβῶνες ἰδίως καὶ τὰ περὶ τὸν κτένα, καὶ ἀνακεχωρηκὸς ὑποπίπτειν, καὶ μάλιστα τῆς φλεγμονῆς οὔσης περὶ τὸν τράχηλον [9]ἢ τὸ στόμα τῆς ὑστέρας· [10]μὴ ὅλου δέ τοῦ στόματος, ἀλλὰ ἐκ μέρους φλεγμαίνοντος, τὰ μὲν αὐτὰ συντείνεται [11]μερικόν· δυςώδης δὲ ὡς τὴν ἀφὴν ἐπανάστασις ὑποπίπτει καὶ παρέγκλισις εἰς τὰ ἐναντία τῷ διογκουμένῳ· τὸ δεξιὸν μὲν γὰρ φλεγμαῖνον μέρος πρὸς τὸ ἀριστερὸν ἐκκλίνει, τὸ δὲ ἀριστερὸν πρὸς τὸ δεξιόν· τὸ δὲ κάτω πρὸς τὸ ἄνω ῥέπει μᾶλλον· τὸ δὲ ἄνω πάντων πλέον ἀπονεύει πρὸς τὸν δακτύλιον· ζητητέον δὲ πρότερον, [12]εἰ ὁ πόνος κατὰ τοῦ ἀπευθυσμένου γίνεται τοῦ φλεγμαίνοντος, ἢ καὶ τῶν ἀντικειμένων πρὸς τὴν [13]σύννευσιν εἴληφεν· καὶ τῶν μὲν [14]προγενεστέρων τινὲς τὸ ἐναντίον φασὶν, ἀλ-

---

[1]χείρονος — οὔσης,] ἔτι δὲ ἐπιτεινομένης τῆς φλεγμονῆς, Aet. MS. [2]καὶ ἐπιγαστρίου ἐξόγκωσις] om. Aet. MS. [3]Ita Aet. MS. συναίρησις P. [4]σπασμὸς om. Aet. MS. [5]Haec usque ad ἐπίμυσις αὐτοῦ καὶ om. Aet. MS. [6]ὑπογάστριον Aet. MS. [7]τῶν δακτύλων Aet. MS. [8]Sequentibus omissis Aet. MS. pergit statim καὶ ἀνακεχωρηκός. [9]καὶ τὸ στόμιον τῆς μήτρας. Aet. MS. [10]Quae nunc sequuntur omnia praebet solus P. [11]μερικῶς ex Sched. ἐπανάστασις ὑποπίπτει] Legeb. ἐπαναστάσεις ὑποπίπτειν. [12]εἰ additur ex Sched. [13]Legebatur σύνευσιν. [14]Scripsi pro προςγενεστέρων.

γεῖσθαι βουβῶνα καὶ μηρόν. Δημήτριος δὲ ὁ Ἀπαμεὺς, [1]τὸν κατ' εὐθύ· μὴ εἶναι γὰρ πιθανὸν, τὰ μὲν πρὸς τῷ φλεγμαίνοντι μέρει μὴ πονεῖν· τὰ δὲ ἀπαθῆ τὰς ἀλγηδόνας ἔχειν, ὅπερ ὑπενόησάν τινες ἀποβλέψαντες εἰς τὸ παρῆχθαι τὰ φλεγμαίνοντα εἰς τὰ ἐναντία μέρη κἀκείνων τῶν τόπων ψαύειν· πολλῷ γάρ ἐστιν [2]εὐλογώτερον· ἐπιπλείονα τάσιν ἐπιδέχεται τὰ κατ' εὐθὺ τῷ φλεγμαίνοντι διὰ τὸν ἐπὶ τὰ ἐναντία περισπασμὸν, ἐκεῖνα καὶ τὰς ἐπαισθήσεις ἔχειν· καὶ ἡμεῖς δὲ τοῦτο συναινοῦμεν, [3]εἰ καὶ τὸ ζητούμενον οὐ μίαν ἐξαλλαγὴν ἐπιφέρει πρὸς τὴν χρῆσιν τῶν τοπικῶν βοηθημάτων. [4]Εἰ δὲ περὶ τὸ κύτος ἢ τὸν πυθμένα αὐτῆς εἴη ἡ φλεγμονὴ, πόνος περὶ τὸ ὑπογάστριον διασημαίνει, ὡς μηδὲ ἄνωθεν ἁπτομένων πολλάκις ἀνέχεσθαι· ἀνατρέχει δὲ ταῖς πλείσταις καὶ συνέλκεται ἐπὶ τὸν φλεγμαίνοντα τόπον ἡ ὑστέρα, ἀποστροφή τε τοῦ στόματος αὐτῆς καὶ τοῦ τραχήλου γίνεται, διὰ τὴν αὐτὴν αἰτίαν· διορίζεται [5]δὲ καὶ τῆς κυρίως λεγομένης παρεγκλίσεως, τῷ σφοδρὸν πυρετὸν ταῖς φλεγμοναῖς [6]προσεδρεύειν καὶ πύρωσιν ἐπιτεταμένην. [7]Τοῦ τραχήλου δὲ φλεγμαίνοντος, μείζονες μὲν αἱ συμπάθειαι· μετὰ δὲ τὸ στόμιον ἡ ὄγκωσις· καὶ τοῦ μὲν δεξιοῦ μέρους φλεγμαίνοντος, τὸ κατ' εὐθὺ συμπάσχει σκέλος καὶ βουβὼν ἐπανίσταται· τοῦ ἀριστεροῦ δὲ, τὸ ἐναντίον. τοῦ δὲ κάτωθεν ὅπερ ἐπίκειται τῇ ἀρχῇ τοῦ ἀπευθυσμένου, σκυβάλων δυςωδία καὶ ἐποχὴ καὶ προθυμία τεινεσμώδης, καὶ οὐκ [8]εὐμαρὴς ἡ τοῦ σκύλματος παράθεσις· κἂν ἐνθῇ τις τὸν δάκτυλον εἰς τὴν ἕδραν, ὄγκος ὑποπίπτει δοκῶν εἶναι περὶ τὸ ἀπευθυσμένον· τοῦ δὲ ἄνωθεν, δυςουρία πλείων κατ' ἐφηβαίου καὶ κτενὸς ὁ

[1]Leg. τὸ. [2]Majore interpunctione post εὐλογώτερον deleta, pro ἐπιπλείονα Fort. legendum ἐπεὶ πλείονα. [3]Pro ἢ scripsi εἰ Lob. [4]Pergit etiam Aet. MS. [5]μέντοι Aet. MS. [6]συνεδρεύειν Aet MS. [7]Inde Soranum habemus solum. [8]Dedi pro εὐμερὴς. Lob.

πόνος. Ὅλου δὲ τοῦ τραχήλου φλεγμαίνοντος, πάντα παρέπεται τὰ προειρημένα, καὶ διὰ τὴν πλείονα διόγκωσιν, εἰς τὸν γυναικεῖον προκύπτει κόλπον. Τοῦ κύτους δὲ φλεγμαίνοντος, κατὰ μὲν τὰ πλάγια μέρη, πόνος καταλλήλου λαγόνος γίνεται σφοδρυνόμενος κατὰ τὴν εἰς τὰ ἐναντία ἐπιστροφήν· κατὰ δὲ τὰ ἔμπροσθεν καὶ ἄνωθεν ἡ μὲν ἀλγηδὼν κατὰ τοῦ ἐπιγαστρίου [1]πλείων μετὰ διογκώσεως, δυςουρία δὲ ἢ ἰσχουρία, καὶ μετὰ τὸ οὐρῆσαι, μᾶλλον ὑποπίπτει τῇ ἀρχῇ τὸ οἴδημα· κατὰ δὲ τὰ ὄπισθεν καὶ κάτωθεν τοῦ κύτους τῆς φλεγμονῆς ὑπαρχούσης περὶ τὴν ὀσφὺν, ὁ μὲν πλείων πόνος, σφοδρυνόμενος εἰ ἐκκλίνοιτο πρηνὴς ἢ ἐπὶ πλευρὰν, κλύσμα δὲ οὐ παρατίθεται ῥαδίως. Ἐπέχεται δὲ τὸ σκύβαλον καὶ οὐ διαχωροῦσι φῦσαι, καὶ πρὸς τὸν εἰς τὴν ἕδραν ἐντιθέμενον δάκτυλον ὄγκος τοῦ ἀπευθυσμένου φλεγμονῆς τῷ μὴ εὐθὺς ἅμα τῷ [2]ἐπερεῖσαι τὸν δάκτυλον ἄλγημα [3]παρακολουθεῖν, ἐξ ἐπιμονῆς δὲ τοῦ θλίβοντος καὶ τῷ τὸν ὄγκον ὑποχωρεῖν, ὥςτε τὸ ἔντερον τὴν ἰδίαν χώραν ἀπολαβεῖν, καὶ τῷ μεταπίπτειν τὸν ὄγκον ἐν τοῖς ἐπὶ τὰ γόνατα μετασχηματισμοῖς, ὧν οὐδὲν γίνεται φλεγμαίνοντος [4]ὕπου .... καὶ ἡ διάτασις καὶ ἡ βαρύτης παρ' ὀμφαλὸν κατ' ὀσφῦν. Πολλάκις δὲ καὶ ῥυσσὸν ὑποπίπτει τὸ στόμιον, τῶν ὑπὲρ τὸν τράχηλον φλεγμαινόντων, καὶ συνειλκύσθαι πρὸς τὸ ἐντὸς ὥςτε τινὰς ἀπαθῆ λέγειν τὴν ὑστέραν. Ὅλης δὲ τῆς μήτρας φλεγμαινούσης, πάντα συνεδρεύει καὶ [5]συμπάθεια σφοδρὰ καὶ πλείων κατ' ἐπιγαστρίου διόγκωσις, ἣν διακρινοῦμεν τῆς γινομένης τοῦ ἐπιγαστρίου φλεγμονῆς,

---

[1] *πλεῖον* P. *πλείων* ex Sched. [2] Pro *ἐπερῆσαι* ex Sched. [3] Scribebatur *παρακολουθεῖ*. [4] Sic! ex Sched. [5] Erat *συμπαθείας* et *διόγκωσις*.

τῷ μήτε προφαίνειν οὕτως ἔξω τὸν ὄγκον ἢ τὸ ἔρευθος, μήτε πρὸς τοὺς σχηματισμοὺς ἡδρασμένον μένειν τὸν ὄγκον, ἀλλὰ μετακινεῖσθαι, καὶ τὸ δέρμα πρὸς τὸν διὰ τῶν δακτύλων ἐπισπασμὸν ἐπακολουθεῖν, τοῦ ἐπιγαστρίου δὲ φλεγμαίνοντος, τὰ ἐναντία γίνεσθαι τούτων, καὶ τὰ ἔξωθεν ἀλγεῖν μᾶλλον ἐν τῷ μηδὲ τὴν οὔρησιν ἐμποδίζειν· ὡσαύτως δὲ καὶ τὰς τοῦ περιτοναίου διακρίνομεν φλεγμονὰς καὶ τῷ μὴ κατὰ περιγραφὴν ἔχειν ὄγκον, καὶ ἤτοι μηδόλως τὰ οὖρα παρεμποδίζειν, ἢ μὴ πρὸς λόγον τῆς διογκώσεως. Κοινῶς γε μὴν [1]φλεγμονῇ ὑστέρας συμπάσχει κεφαλὴ καὶ τράχηλος, ἐπιγαστρίου τε καὶ περιτοναίου πρὸς ὀλίγον ἢ οὐδόλως. [2]Εἰ μὲν οὖν τὸ ὄπισθεν μέρος [3]φλεγμαίνει, τὸ ἄλγημα κατὰ τὴν ὀσφῦν μᾶλλον γίνεται, καὶ ἡ τοῦ σκυβάλου ἔκκρισις ἐπέχεται παραθλιβομένου τοῦ ἀπευθυσμένου· εἰ δὲ τὸ ἔμπροσθεν [4]φλεγμαίνει, δυσουρία παρακολουθεῖ, καὶ μάλιστα ἐὰν τὰ κατώτερα μέρη εἴη πεπονθότα· ἐὰν δὲ κατὰ τὰ πλάγια [5]ἡ φλεγμονὴ γένηται, οἱ βουβῶνες τείνονται καὶ τὰ σκέλη [6]δυσίατα [7]γίνεται· [8]καὶ τοιαύτη μὲν ἡ διάκρισις τῆς σημειώσεως. Ἐν τῇ θεραπείᾳ δὲ ἤδη τὸν λόγον τρέψομεν· παραληπτέον τοίνυν ἅπερ ἔμπροσθεν ἐπὶ τῆς μετὰ πόνου γινομένης καθάρσεως εἰρήκαμεν· [9]κατ' ἀρχὰς κατακλίνοντες ἐν οἰκήματι φωτεινῷ καὶ συμμέτρως ἀλεεινῷ, ἡσυχίαν ἐμποιοῦντες [10]καὶ πάντων ἀποχὴν, καὶ ψηλαφίᾳ χρώμενοι καὶ διακρατήσει σκελῶν καὶ καρπῶν, θερμάσματα προσάγοντες καὶ ἐπιβρέχοντες καὶ σκέποντες ἐρίοις καθαροῖς, ἐγχυματίζον-

---

[1]Legebatur φλεγμονῆς. [2]Simul pergit Aet. MS. [3]φλεγμαίνοι Aet. MS. [4]Ita Aet. MS. φλεγμαίνοι P. [5]ἡ om. P.; add. Aet. MS. [6]δυσκίνητα ex Sched. [7]γίνονται Aet. MS. [8]Aetius rursus deficit. [9]Denuo incipit Aet. MS. [10]καὶ πάντων ἀποχὴν,] om. Aet. MS.

τες καὶ κενοῦντες διὰ κλυστῆρος ἀνετικοῦ τὴν κοιλίαν [1]ἤγουν δι' ἐλαίου γλυκέος καὶ θερμοῦ καὶ τῶν ὁμοίων· ποτὸν δὲ καὶ διάκλυσμα, ὕδωρ θερμὸν ἔστω· [2]καὶ τροφὴν ῥοφηματώδη θερμήν· καὶ ῥόφημα, πτισάνης [3]χυλόν· σφοδροτέρας δὲ τῆς φλεγμονῆς [4]ὑπαρχούσης, [5]φλεβοτομίαν ἔμπροσθεν ἀπ' ἀγκῶνος, εἰ μηδὲν κωλύοι μήτε ἡλικία μήτε ἕξις μήτε ἡ ὥρα τοῦ ἔτους, μηδὲ ἀπὸ [6]τρωσμῶν εἴη ἡ φλεγμονὴ, μηδὲ μετὰ πολλὴν καὶ ἄμετρον κένωσιν· ἀφαιρεῖν δὲ πρὸς δύναμιν· δυνατὸν δὲ [7]τὴν μὲν δεύτερον φλεβοτομεῖν, τὴν δὲ τρίτον ἐπαφαιρεῖν· εἶτα τρέφειν [8]χόνδρῳ [9]ἐκ μελικράτου ἢ ἄρτῳ πεπλυμένῳ ἢ ᾠοῖς ῥοφητοῖς· ἔστω δὲ τὸ διδόμενον πλῆθος μέτριον· ἐπὶ δὲ τὸ ἐφήβαιον καὶ τὸ ὑπογάστριον ἐπιθετέον ζεούσης τῆς φλεγμονῆς ἔρια οἰσυπηρὰ οἰνελαίῳ ἢ ὀξυροδίνῳ βεβρεγμένα, ἢ φοίνικας ἐν οἴνῳ ἡψημένους, ἢ μῆλα [10]καὶ κυδώνια ἐν [11]ὀξυκράτῳ ἡψημένα μετὰ κηρωτῆς ῥοδίνης ἢ μηλίνης ἢ σχινίνης. [12]Μετὰ δὲ ταῦτα καταπλάσματα παρηγορικῶς ἀνιέντα, καὶ σικύαν καὶ κατασχασμὸν, βδελλῶν προςβολὴν ἢ ἐγκάθισμα ἢ [13]πυριῷν τὴν διὰ σπόγγων, ἔνεσιν ἐλαίου θερμοῦ διὰ κλυστῆρος, πεσσῶν ἀπεριέργων πρόςθεσιν. [14]Τὰς δὲ ζεούσας φλεγμονὰς καταπλαστέον τοῦτο· ἐπὶ [15]δὲ τῶν ἐρυσιπελατωδῶν φλεγμονῶν, [16]διαγνωσθήσονται [17]ἐκ τοῦ ὡς ἐπὶ τοῦ πυρικαύτου ἀλγηδόνας γίνεσθαι περὶ

---

[1]ἤγουν — ὁμοίων.] om. Aet. MS. [2]καὶ — θερμήν.] om. Aet. MS. [3]χυλός Aet. MS. [4]οὔσης Aet. MS. [5]φλεβοτομεῖν pro φλεβοτομίαν ἔμπροσθεν Aet. MS. [6]ἐκτρωσμῶν Aet. MS. [7]τῇ μὲν δευτέρᾳ — τῇ δὲ τρίτῃ Aet. MS. [8]Ita Aet. MS. χόνδρον P. [9]ἐν μελικράτῳ Aet. MS. [10]καὶ om. Aet. MS. [11]οἴνῳ in marg. Aet. Codd. [12]Haec desiderantur in Aet. MS. [13]πυρίαν ex Sched. [14]Inde pergit Aet. MS. [15]δὲ om. Aet. MS. [16]Sequuntur δὲ αὗται in Aet. MS. [17]ἐκ τοῦ ὡς] Ita Aet. MS. ὡς ἐκ τοῦ P.

τοὺς γυναικείους τόπους, χρηστέον καταπλάσμασιν ἔχουσιν ἄλφιτα μετὰ σέρεως· — εἰ δὲ μὴ ἀνέχοιντο οἱ τόποι τῶν καταπλασμάτων, ὕδωρ καὶ ῥόδινον μίξαντες, ἐκ μικρῶν [1]τῶν διαστημάτων ἐπιτέγγομεν τοὺς τόπους· ἐν παρακμῇ δὲ τοῦ παροξυσμοῦ ἀλείφειν προςήκει ὅλον τὸ σῶμα καὶ ἐγκαθίζειν ὕδατι χλιαρῷ ἕως τῆς ὀσφύος· ἔπειτα πεσσοὺς προςθετέον διά τινος τῶν ἠρέμα στυφόντων μύρων [2]οἷον ῥοδίνου.... τὴν δὲ κεφαλὴν βρέχειν ῥοδίνῳ μετ' ὄξους βραχέος· πραϋνθείσης δὲ ποσῶς τῆς φλεγμονῆς, ἐγκαθιστέον εἰς ὑδρέλαιον θερμὸν, καὶ πεσσοὺς προςενεκτέον διὰ σουσίνου ἢ ναρκισίνου· ἔριά τε διάβροχα ἐλαίῳ θερμῷ ἐπιθετέον ἤτρῳ καὶ ὀσφύϊ· σικύας τε προςβλητέον τῷ ἐφηβαίῳ καὶ τῷ ἐπιγαστρίῳ, ἐνίοτε δὲ καὶ τῇ ὀσφύϊ· μεγάλου δὲ ὄντος τοῦ ὄγκου, καὶ ἀμυχὰς διδόναι· παρακμαζούσης δὲ τῆς φλεγμονῆς, μεταβατέον ἐπὶ τὰ χαλᾷν καὶ διαφορεῖν ποσῶς δυνάμενα [3]καὶ μαλακτικωτέρους πεσσοὺς προςτίθου λουτρόν τε καὶ ποικίλην τροφήν· ὕστερον δὲ οἶνον αὐστηρὸν καὶ λεπτὸν, ὑδατώθη· ἐγκαθιστέον μὲν οὖν αὐτὰς εἰς ἀφέψημα τήλεως, ἀλθαίας· — καταπλαστέον δὲ τὸ ἐπιγάστριον καὶ τὸ ἐφήβαιον τῷ κριθίνῳ· — πεσσοὶ-κηρωταὶ-ἐγχυματισμοί· — σὺν δὲ τῇ θεραπείᾳ προκοπτούσῃ, καὶ ἡ διὰ τῆς λεπτῆς καὶ ὀλίγης τροφῆς δίαιτα προκοπτέτω, ὥςτε βεβαίας παρακμῆς γενομένης [4]ἀναληπτικῶς διαιτᾷν καὶ μαλάγμασι χρῆσθαι τῷ διὰ μελιλώτων καὶ τῷ Μνασαίου καὶ τῇ Σεραπίωνος μηλίνῃ· [5]Πυρετῶν δὲ ἐπιγενομένων, οὐκ ἐξαλλακτέον τὴν ἐπι-

---

[1]τῶν om. Aet. MS. [2]οἷον om. Aet. MS. [3]Inde usque ad ὑδατώθη solus pergit P. [4]Verba: ἐπὶ τὸ λουτρὸν ἄγειν καὶ οἶνον διδόναι καὶ offert ante ἀναληπτικῶς Aet. MS. [5]Omnia haec non leguntur in Aet. MS.

μέλειαν· πειρατέον δὲ ὅπως τὰ μὲν ἐν παροξυσμοῖς πράσσηται, τὰ δ' ἐν ἀνέσει δρᾷ τὴν ἐξαλλαγὴν τῆς προηγησαμένης αἰτίας· οὐκ ἐξαλλάσσομεν τὴν ἐπιμέλειαν· διὸ καὶ Θεμίσων μὲν μεμπτὸς ἐπὶ δὲ τῆς μετὰ πυρετῶν φλεγμονῆς, χαλαστικὰς δοκιμασίας διὰ τοῦ τρίτου τῶν χρονίων· ἐπὶ δὲ τῆς μετὰ πυρετῶν, τὰς σταλτικὰς, στρύχνου καὶ περδικίου χυλὸν, ἀπατηθεὶς διὰ τὴν συνεδρεύουσαν πύρωσιν τὰ ψυκτικὰ παραλαβεῖν· ὕστερον δὲ, καὶ ὑδροῤῥόδινον μὴ ἐπιστήσας, ὅτι δι' ὧν ἐπιτείνεται τὰ φλεγμαίνοντα, διὰ τούτων ἡ πύρωσις αὔξεται; διὸ καὶ κατ' ἐκεῖνον αὐτὸν διὰ τοιούτων δεῖ παρηγορεῖν τὰ συμπτώματα, δι' ὧν οὐ παροξύνει μὲν τὴν διάθεσιν· παραιτητέον δὲ καὶ ὅσα τῶν ἀρχαίων τινὲς προςθετὰ δριμέα παρέλαβον, ἔλαιον μετὰ πηγάνου καὶ οἰσυπηρῶν ἐρίων ἀποβρέγματος, βούτυρόν τε καὶ ἄρτον μετὰ ῥοδίνου καὶ σελίνου καὶ ὀξελαίου· πᾶν γὰρ τὸ δριμὺ, καὶ δηκτικόν· ἐρεθίζει γὰρ τὰς φλεγμονὰς εἰς ἐπίτασιν· — [1] Πεσσοὶ δὲ εἰσιν ἀνώδυνοι πρὸς φλεγμονὴν οἱ τοιοῦτοι· χρῶ ἐπὶ τῆς χρείας τῷ [2] πλατεῖ τῆς σπαθομήλης μαλάσσων ἐπὶ τῆς χειρὸς, καὶ πεσσῷ ἀναλαβὼν ὑποτίθει· [3] Ἄλλος πεσσὸς ὑπνοποιὸς ἀνώδυνος, σκληρίας πάσης μαλακτικός. — Κωδύαι. — Ἄλλος πεσσὸς ὑπνοποιὸς πρὸς φλεγμονάς. [4] Διανίλης τὸ μυστήριον· βρύου τοῦ [5] ὕπνου λεγομένου τοῦ εὑρισκομένου ἐπὶ τῶν κεδρίνων ξύλων . . . ἄρτου μελικράτῳ βρεχέντος· — ἐγὼ δὲ ἀντὶ τοῦ ἄρτου ζύμην καθαρωτάτην βρέχων χωρὶς ἁλῶν ἐσκευασμένην καὶ μὴ ὀξικυῖαν πάνυ, ἐχρώμην. Ἄλλος πεσσὸς πρὸς

---

[1] Subsequentia etiam continentur Aetii capp. 92., 93., 94. et 95. [2] πλάτει Aet. Cod. 2191. [3] τίλις et κωδύαι cum adipe conunctae. ex Sched. [4] Διανίλης τὸ μυστήριον desunt in Aet. Cod. 2191. [5] Sic! ex Sched.

φλεγμονὰς καὶ παρεγκλίσεις, ὁ χρυσοῦς· — ὠῶν ὀπτῶν ς΄ τὰ πυῤῥὰ... κρόκου· [1]ὁ ἐννεαφάρ φακος πεσσὸς πρὸς φλεγμονὰς, καὶ προστιθέμενος καὶ ἐγχυματιζόμενος· [2]— πάντων δὲ τῶν πεσσῶν τὸ βούτυρον καὶ οἱ μυελοὶ καὶ τὰ στέατα πρόσφατα [3]ἔστω, καὶ ἐπὶ [4]διπλώματος τηκέσθω· τὰ γὰρ παλαιὰ ἐν τῇ ἑψήσει [5]κνισσούμενα, θερμότερα γίνεται καὶ παροξύνει τὰς φλεγμονάς· οὐ χρὴ δὲ ἐν ταῖς φλεγμοναῖς καὶ ταῖς διατάσεσι τῆς ὑστέρας κατασπᾷν τὰ καταμήνια· διατείνονται γὰρ οἱ τόποι μᾶλλον, καὶ οὐδὲ τὰ φλεγμαίνοντα καὶ διὰ τοῦτο μεμυκότα τόπον δίδωσι τῇ τοῦ αἵματος διεξόδῳ· παυσαμένων δὲ τῶν φλεγμονῶν, προτρέπεσθαι χρὴ τὰ καταμήνια· [6]ἐὰν δὲ πολλὴ θερμασία καὶ ἐρυσιπελατώδης εἴη φλεγμονὴ, στρύχνου χυλὸν [7]ἁπαλοὺς λεάνας μετὰ γάλακτος γυναικείου, δίδου προστίθεσθαι· [8]ἐὰν δὲ μετὰ φλεγμονῆς καὶ ἕλκωσις εἴη, ἐκ λευκοῦ κηροῦ κηρωτὴν ῥοδίνῳ ποιήσας ἔχουσαν τὸ τρίτον στέαρ χήνειον, λέαινε παραστάζων ὠοῦ τὸ λευκὸν ὅσον ἐπιδέχεται καὶ χρῶ.

## [9]ρκς΄. Περὶ σκίῤῥου καὶ σκληρωμάτων ἐν ὑστέρᾳ.

Σκληρία γίνεται μήτρας κατὰ προήγησιν φλεγμονῆς, ἐκ μέρους ἢ καθόλου· παρέπεται δὲ ὄγκος ἀπηνὴς ἀντίτυπος· ἐν δὲ ταῖς [10]βιοτέραις θλίψεσι [11]ναρκώδη

---

[1] Quattuor pessi. ex Sched. Fort. ὁ ἐννεαφάρμακος. Lob. [2] Tres formulae adhuc. ex Sched. [3] ἔστωσαν et τηκέσθωσαν Aet. MS. [4] διπλώματι Aet. MS. [5] κνησσούμενα Aet. Cod. 2193. [6] Hoc enuntiatum est in Sorani Codice. [7] ἁπαλοῦ et ἁπαλῶς ex Sched. [8] Haec sunt Aetii verba. [9] Numerus in verborum contextu deerat; invenitur tamen in Indice capitum praefixo. Ejusdem inscriptionis est Aetii cap. 96., Sorano tributum. [10] Fort. βιαιοτέραις. Lob. [11] Sic scripsi pro ναρκώδης.

συναίσθησιν ἐπιφέρων, καὶ ὡς ἐπὶ ἰσχιάσιν ἐν τῷ περιπατεῖν ἐπιπεφυκέναι καὶ πονεῖν ὀσφὺν, βουβῶνας, ἐπιγάστριον . . . . . [1]

---

[1] Nunc Soranus nos prorsus deficit, servatus tantummodo in Aetii cap. 96. ejusdem inscriptionis. Haud scio an ex commodo sit audire Aetium, qui haec praebet:

*Περὶ σκίῤῥου* (*σκίρου* **Aet. Cod. 2191.**) *καὶ σκιῤῥωμάτων* (*σκιρωμάτων* **Aet. Cod. 2191.**) *ἐν ὑστέρᾳ. Σωρανοῦ.*

*Σκιῤῥοῦται ἡ μήτρα ἔσθ' ὅτε μὲν αἰφνίδιον μηδενὸς προφανέντος σημείου· τὰ δὲ πολλὰ, φλεγμονῆς προηγησαμένης, καὶ μήτε λυθείσης μήτε εἰς ἀπόστασιν τραπείσης· εἶδος δὲ τοῦ σκίῤῥου καὶ τὸ λεγόμενον σκίῤῥωμά ἐστιν, ὁμοίως ὄγκον ἔχον, ἧσσον δὲ ἀντίτυπον μετὰ ἀλγήματος συμμέτρου· γίνεται δὲ ὡς ἐπὶ πολὺ τὰ σκιῤῥώματα περὶ τὸν τράχηλον τῆς ὑστέρας ἅτινα ὑποπίπτει τῷ δακτύλῳ ἐν τῇ σημειώσει· ὡς ἐπίπαν δὲ συμβαίνει καὶ τὸν τράχηλον τῆς μήτρας ἀποστρέφεσθαι πρὸς τὸ σκίῤῥωμα· ὅταν δὲ σκίῤῥος γένηται περὶ τὸν πυθμένα τῆς μήτρας, ὄγκος ὑποπίπτει ἰσχυρὸς καὶ ἀντίτυπος, βάρος ἐμποιῶν καὶ δυςκινησίαν, οὐ μόνον σκελῶν, ἀλλὰ καὶ ὅλου τοῦ σώματος καὶ ὄκνον πρὸς πάσας τὰς βιωτικὰς πράξεις· χρονίσαντος δὲ τοῦ σκίῤῥου, παρέπεται καχεξία ὅλου τοῦ σώματος καὶ ἄχροια· ἐνίοτε δὲ καὶ ὑδερώδεις παρεγχύσεις (ὑδερώδης παρέγχυσις* **Aet. Cod. 2191.**)*· ὅσα μὲν οὖν περὶ τὸ στόμα καὶ τὸν τράχηλον τῆς ὑστέρας συνίσταται σκιῤῥώματα, εὐίατα εἰσίν· ὅσα δὲ περὶ τὸ κύτος, δυςίατα· ἐν ἀρχῇ τοιγαροῦν εἰ μηδὲν εἴη τὸ κωλύον, ἥ τε δύναμις καὶ ἡ ἡλικία ὑπαγορεύοι, φλεβοτομεῖν ἀπ' ἀγκῶνος... ἢ καθαίρειν διὰ τῆς Ἀρχιγένους ἱερᾶς· ἐγκαθίσμασι δὲ χρῆσθαι δι' ἀφεψήματος τήλεως......, καὶ τῇ ἀπὸ τῶν ἀρωμάτων πυρίᾳ· καὶ ἐγχυματίζειν (μύροις).... καταπλάσσειν δὲ τὸ ὑπογάστριον δι' ἰσχάδων....· καὶ σικυαστέον μετὰ κατασχασμοῦ· — πεσσοῖς δὲ χρηστέον παρηγοροῦσι καὶ ἀναστομοῦσιν· — ἕψε ἕως τριτωθῇ — ἢ τοῦ ἀξανίτου — ἄλλος πεσσὸς ὁ λίβανος (λιβιανὸς* **Aet. Cod. 2193.**) *μαλακτικός· — ἄλλος ὁ τίτανος (τιτιανὸς* **Aet. Cod. 2193.**). —

# ΠΙΝΑΞ.

α΄. Εἰς πόσους καὶ τίνας λογους τμητέον τὴν τῶν γυναικείων παράδοσιν.
β΄. Τίς ἐστιν ἐπιτήδειος πρὸς τὸ γενέσθαι μαῖα.
γ΄. Τίς ἀρίστη μαῖα.
δ΄. Τίς φύσις μήτρας καὶ γυναικείου αἰδοίου.
ε΄. Περὶ γυναικείου αἰδοίου.
ς΄. Περὶ ἐμμήνων καθάρσεως.
ζ΄. Τίνα σημεῖα μελλούσης γίνεσθαι καθάρσεως.
η΄. Εἰ ἐπὶ συμφέροντι γέγονεν ἡ τῶν ἐμμήνων κάθαρσις.
θ΄. Εἰ ὑγιεινή ἐστιν ἡ διηνεκὴς παρθενία.
ι΄. Μέχρι τίνος τὸ θῆλυ παρθενοτροφητέον.
ια΄. Πῶς σημειωτέον τὰς δυναμένας συλλαμβάνειν.
ιβ΄. Τίς ἄριστος καιρὸς συνουσίας πρὸς σύλληψιν.
ιγ΄. Εἰ ὑγιενή ἐστιν ἡ σύλληψις.
ιδ΄. Τίνα σημεῖα μελλούσης γίνεσθαι συλλήψεως.
ιε΄. Τίνα κατὰ τοὺς ἀρχαίους σημεῖα τοῦ ἄῤῥεν εἶναι τὸ κυοφορούμενον ἢ θῆλυ.
ις΄. Τίς ἡ τῶν συνειληφυιῶν ἐπιμέλεια.
ιζ΄. Περὶ κίσσης.
ιη΄. Τίς ἀπὸ τῆς κίσσης μέχρις ἀποτέξεως γινομένη ἐπιμέλεια.
ιθ. Εἰ φθορίοις καὶ ἀτοκίοις χρηστέον καὶ πῶς.
κ΄. Τίνα σημεῖα μελλούσης γίνεσθαι φθορᾶς.
κα΄. Τίνα κυούσης τῆς γυναικὸς ἐντὸς τῆς μήτρας φύονται.
κβ΄. Γένεσις χορίου, ὀμφαλοῦ καὶ κοτυληδόνων.
κγ΄. Περὶ κοτυληδόνων.
κδ΄. Πρὸς τὰ γινόμενα ταῖς κυούσαις περὶ τοὺς πόδας οἰδήματα.

κε΄. Ὅπως δεῖ συνεργεῖν τῇ ἀποβολῇ τοῦ φθειρομένου ἐμβρύου.
κς΄. Περὶ τῶν δίμηνα καὶ τρίμηνα φθειρόντων.
κζ΄. Τίνα σημεῖα προηγεῖται τῆς μελλούσης γίνεσθαι κατὰ φύσιν ἀποτέξεως.
κη΄. Τίνα δεῖ παραινεῖν ταῖς κατὰ φύσιν τικτούσαις.
κθ΄. Πότε δεῖ τὴν κύουσαν ἐπὶ τὸν δίφρον ἄγειν.
λ΄. Τίς ἐστιν ὠδίς.
λα΄. Πῶς γίνονται ὠδῖνες.
λβ΄. Πῶς δεῖ κατὰ φύσιν μαιοῦσθαι.
λγ΄. Κατὰ πόσους τρόπους φερόμενα τὰ κατὰ φύσιν ἔμβρυα δυςτοκεῖται.
λδ΄. Κατὰ πόσους τρόπους τὰ παρὰ φύσιν φερόμενα κομιζόμεθα.
λε΄. Κατὰ πόσους τρόπους τὰ κυούμενα κομίζεται.
λς΄. Πῶς σημειούμεθα τὰς μέγα ἔμβρυον τικτούσας.
λζ΄. Πῶς σημειούμεθα τὰς τέρατα τικτούσας.
λη΄. Πῶς σημειούμεθα τὰς δίδυμα τικτούσας.
λθ΄ Πῶς διακρίνομεν στομαχικὴν συνειληφυῖαν, πότερον κατὰ τὸν κίσσης λόγον πάσχει, ἢ κατὰ τὸν τοῦ προκειμένου πάθους λόγον.
μ΄. Πῶς σημειούμεθα ἐφθαρμένας ἀπὸ ἐμμήνων ἢ ἀπὸ ἀνδρῶν.
μα΄. Πῶς ἐλέγξομεν ἐπιτετηδευμένην παρθενίαν.
μβ΄. Ὁποῖον τόπον ἐκλεκτέον τῇ κυοφορούσῃ, καὶ τίνα δεῖ ἐν ἑτοίμῳ ἔχειν.
μγ΄. Τίνα δεῖ παρασκευάζειν πρὸς τὴν ἀποκύησιν.
μδ΄. Πῶς δεῖ προςφέρειν τὰς χεῖρας ἐπὶ τῇ κομιδῇ τοῦ ἐμβρύου.
με΄. Περὶ φύσεως καὶ θέσεως ἀνθρώπου καὶ σχήματος ἐμβρύου.
μς΄. Περὶ ἐγκατεχομένων δευτέρων.
μζ΄. Περὶ δυςτοκιῶν. Τί ἐστι δυςτοκία.
μη΄. Τις αἰτία δυςτοκίας, καὶ κατὰ πόσους τρόπους γίνεται δυςτοκία ἐπὶ τῶν παρὰ φύσιν γεννωμένων.
μθ΄. Πῶς σημειούμεθα τὰ αἴτια τῆς δυςτοκίας.
ν΄. Πῶς θεραπεύσομεν δυςτοκίαν κοινότερον καὶ ἐπιμέλεια δυςτοκίας.

να΄. Περὶ ἐμβρυοτομίας καὶ ἐμβρυουλκίας.
νβ΄. Ὅσα δεῖ ποιεῖν πρὸ τοῦ τὴν ἐμβρυουλκίαν ἐργάσασθαι.
νγ΄. Ἐπιμέλεια μετὰ τὴν ἐμβρυοτομίαν.
νδ΄. Περὶ προπτώσεως μήτρας δι' ἐμβρυουλκίαν.
νε΄. Περὶ φλεγμονῆς μαστῶν.
νϛ΄. Περὶ ἀποστήματος ἐν μαστοῖς.
νζ΄. Περὶ τῶν κατὰ μαστοὺς συρίγγων.
νη΄. Περὶ τῶν ἐν μαστοῖς φαγεδαινικῶν ἑλκῶν.
νθ΄. Περὶ τῶν ἐν μαστοῖς καρκινωμάτων.
ξ΄. Ἑλκωμένου σημεῖα.
ξα΄. Χειρουργία καρκινωμάτων.
ξβ΄. Ἐπιμέλεια καρκινωμάτων τῶν χειρουργίᾳ μὴ ὑποβαλλομένων.
ξγ΄. Ἐπιμέλεια τῶν ἀνελκώτων καρκινωδῶν ὄγκων.
ξδ΄. Ἡλκωμένου καρκίνου ἐπιμέλεια.
ξε΄. Περὶ τοῦ σκιῤῥωθέντσς μαστοῦ.
ξϛ΄. Πρὸς τὸ μὴ θρομβοῦσθαι τὸ γάλα ἐν μαζοῖς.
ξζ΄. Περὶ σπαργανώσεως μαστῶν.
ξη΄. Περὶ τῆς τοῦ βρέφους ἐπιμελείας.
ξθ΄. Πῶς γνωρίζεται τὸ πρὸς ἀνατροφὴν ἐπιτήδειον.
ο΄. Περὶ τῶν ἐν νεφροῖς λιθιάσεων.
οβ΄. Θεραπεία τῶν λιθιώντων νεφρῶν.
οα΄. Περὶ τῆς τοῦ βρέφους κατακλίσεως.
ογ΄. Περὶ ἐκλογῆς τιτθῆς.
οζ΄. Περὶ δοκιμασίας γάλακτος.
οε΄. Πῶς διαιτητέον τὴν τροφήν.
οϛ΄. Τί ποιητέον σβεννυμένου τοῦ γάλακτος ἢ φθειρομένου ἢ παχυνομένου ἢ λεπτυνομένου.
οζ΄. Περὶ λουτροῦ καὶ τρίψεως τῶν βρεφῶν.
οη΄. Πῶς δεῖ καὶ πότε διδόναι τῷ βρέφει τὸν μαστόν.
οθ΄. Περὶ τῆς τοῦ ὀμφαλοῦ ἀποπτώσεως.
π΄. Πότε καὶ πῶς παραλυτέον.
πα΄. Πῶς δεῖ καθίζειν καὶ περιπάτησιν ἀσκεῖν.
πβ΄. Διὰ τί τὰ πλεῖστα τῶν ἐν Ῥώμῃ παίδων διαστρέφεται.
πγ΄. Πότε καὶ πῶς ἀπογαλακτιστέον τὸ βρέφος.
πδ΄. Περὶ ὀδοντοφυιήσεως.
πε΄. Περὶ φλεγμονῆς παρισθμίων.

πς΄. Περὶ ἄφθης.
πζ΄. Περὶ ἐξανθημάτων καὶ ὀδαξησμῶν.
πη΄. Περὶ ὤχμου τε καὶ βηχός.
πθ΄. Περὶ σειριάσεως.
ϟ΄. Περὶ ῥευματισμοῦ κοιλίας.
ϟα΄. Πρὸς τὰ τῶν μηρῶν καὶ ὤτων παρατρίμματα
ϟβ΄. Δίαιτα νηπίων καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων συνοπτική.
ϟγ΄. Εἴ ἐστιν ἴδια πάθη γυναικῶν.
ϟδ΄. Περὶ ἐποχῆς ἐμμήνων καὶ στραγγῆς καὶ μετὰ πόνου καθάρσεως.
ϟε΄. Θεραπεία τῶν μὴ καθαιρομένων διὰ πλείστην θερμότητα.
ϟς΄. Θεραπεία τῶν μὴ καθαιρομένων διὰ πλείστην ψυχρότητα.
ϟζ΄. Πεσσοὶ αἱμαγωγοί.
ϟη΄. Θεραπεία τῶν διὰ πλείστην πιμελὴν μὴ καθαιρομένων.
ϟθ΄. Θεραπεία τῶν ὑπὸ ἀτροφίας μὴ καθαιρομένων.
ρ΄. Θεραπεία τῶν διὰ μοχθηρίαν χυμῶν μὴ καθαιρομένων.
ρα΄. Θεραπεία τῶν διὰ χηρίαν πολλοῦ καιροῦ μὴ καθαιρομένων.
ρβ΄. Θεραπεία τῶν δι' ἀργίαν μὴ καθαιρομένων.
ργ΄. Θεραπεία τῶν δι' ἑτέρων τόπων κενουμένων, δι' αἱμοῤῥοΐδων ἢ μυκτήρων, καὶ διὰ τοῦτο μή καθαιρομένων συνήθως.
ρδ΄. Θεραπεία τῶν δι' αἰτίαν τινὰ τῶν περὶ τὴν ὑστέραν μὴ καθαιρομένων.
ρε΄. Περὶ ὑπερκαθάρσεως καὶ αἱμοῤῥαγίας.
ρς΄. Περὶ αἱμοῤῥαγούσης ὑστέρας.
ρζ΄. Περὶ ῥοῦ γυναικείου.
ρη΄. Ῥοῦ ἐρυθροῦ θεραπεία.
ρθ΄. Ῥοῦ λευκοῦ θεραπεία.
ρι΄. Περὶ ὑστερικῆς πνιγός.
ρια΄. Συλλογαὶ πεσσῶν σκευασίαι πρὸς ὑστερικὰς ἐκ διαφόρων.

ριβ'. Σκευασίαι ἀλειμμάτων πρὸς τὸ προκείμενον πάθος ἤγουν ὑστερικῆς πνιγός.
ριγ'. Περὶ τῶν πινομένων φαρμάκων πρὸς τὸ προκείμενον πάθος.
ριδ'. Περὶ γονοῤῥοίας.
ριε'. Περὶ ἀτονούσης μήτρας.
ρις'. Περὶ παραλύσεως μήτρας.
ριζ'. Περὶ παρεγκλίσεως καὶ ἀποστροφῆς καὶ ἀναδρομῆς μήτρας.
ριη'. Περὶ ἐμπνευματώσεως μήτρας
ριθ'. Περὶ οἰδήματος ὑστέρας.
ρκ'. Περὶ ὑδρωπιώσης μήτρας.
ρκα'. Περὶ μύλης πάθους ἐν μήτρᾳ, ὑπό τινων ὕδερος νομιζόμενος.
ρκβ'. Περὶ σατυριάσεως.
ρκγ'. Περὶ φλεγμονῆς ὑστέρας.
ρκδ'. Τίνα σημεῖα κοινὰ φλεγμονῆς οὔσης ἐν τῇ μήτρᾳ.
ρκε'. Τίνα σημεῖα ἐπιτάσεως.
ρκς'. Περὶ σκίῤῥου καὶ σκληρωμάτων ἐν ὑστέρᾳ.
†) ρκζ'. Ἄλλη σημείωσις τῶν αὐτῶν καὶ πεσσοὶ πολλοί.
ρκη'. Περὶ διατάσεως ὑστέρας.
ρκθ'. Περὶ τῶν ἐν γυναικείοις μέρεσιν ἀποστημάτων.
ρλ'. Περὶ διοπτρισμοῦ.
ρλα'. Περὶ συρίγγων.
ρλβ'. Περὶ τῶν ὑστέρας ἑλκῶν καὶ ἀνδρακωδῶν ἑλκῶν ἐν ὑστέρᾳ θεραπεία.
ρλγ'. Πρὸς τὰ ἐν μήτρᾳ ἀκάθαρτα ἕλκη.
ρλδ'. Πρὸς τὰ νεμόμενα ἐν ὑστέρᾳ ἕλκη.
ρλε'. Ἀπουλωτικὸν Ἀσκληπιάδου.
ρλς'. Περὶ καρκινωμάτων ἐν μήτρᾳ καὶ καρκινωθείσης μήτρας.
ρλζ'. Περὶ φιμώσεως μήτρας.
ρλη'. Περὶ ἀτρήτων καὶ ἀτρήτης (sic!) ὑστέρας.
ρλθ'. Περὶ ὑπερμεγέθους νύμφης καὶ νυμφοτομίας.
ρμ'. Περὶ κερκώσεως.

---

**†) In Indice Codicibus praefixo hae reliquorum capitum inscriptiones tantummodo supersunt.**

ρμά. Περὶ αἱμοῤῥοΐδων ἐν τῇ μήτρᾳ.
ρμβ. Περὶ θύμων τῶν ἐν γυναικείοις μέρεσι καὶ μυρμήκων καὶ ἀκροχορδόνων.
ρμγ'. Περὶ ῥαγάδων καὶ κονδυλωμάτων.
[1]ρμδ'.
ρμέ. Ἄλλο παραχρῆμα ὠφελεῖ!
ρμς'. Περὶ κονδυλωμάτων.
ρμζ'. Περὶ κεγχροειδῶν σκληρωμάτων ἐν μήτρᾳ.
ρμή. Περὶ ψωροειδῶν ἐν μήτρᾳ.
ρμθ'. Περὶ ἀποστημάτων ἐν τοῖς πτερυγώμασι.
ρν'. Περὶ ἐξομφάλου γυναικός.
ρνά. Περὶ λιθιώσης μήτρας.
ρνβ. Περὶ μελικηρίδων καὶ ἀθερωμάτων καὶ στεατωμάτων τῶν ἐν τοῖς γυναικείοις αἰδοίοις.
ρνγ'. Περὶ ὑδροκήλης.
ρνδ'. Περὶ βουβωνοκήλης.
ρνέ. Περὶ [2]κιρσοκήλης.
ρνς'. Πρὸς τὸ μὴ ποιεῖν κοιλίαν ῥαγάδας ἐκ τοκετοῦ ἢ μελανίας.
ρνζ'. Περὶ ἀγονίας καὶ συλλήψεως.
ρνή. Θεραπεία ψυχροτέρας μήτρας.
ρνθ'. Θερμοτέρας ὑστέρας θεραπεία.
ρξ'. Θεραπεία τῶν δι' ὑγρότητα ὑστέρας μὴ συλλαμβανουσῶν.
ρξά. Θεραπεία τῶν διὰ ξηρότητα τῆς ὑστέρας μὴ λαμβανουσῶν.
ρξβ. Θεραπεία τῶν ἄλλων διαφόρων διαθέσεων ἐφ' αἷς οὐ κυίσκουσι.
ρξγ'. Ἐπιμέλεια ἐφ' ὧν οὐδὲν ὀχληρὸν φαίνεται, καὶ πεσσοὶ συλληπτικοὶ, ὑποθυμιάματα πρὸς σύλληψιν.
ρξζ'. Περὶ κατασκευῆς τοῦ ἀνθρώπου καὶ ὀνομασίας πάντων τῶν μελῶν καὶ τῶν στοιχείων.

---

[1] Titulus deest. [2] Erat κιρσοκείλης.

Bibliopola quum nihil nisi correctoris qui dicitur munus ab initio mihi demandasset, inde a tricesima tertia ad quinquagesimam octavam paginam in editoris MS. mutare vel addere aliquid non licuit. Quare hoc loco nonnulla addam:

in pag. 33. v. 5. fort. leg. εὐαρέστου τοῦ καταστήματος pro εὐαρ. καὶ κατ.

„ „ „ v. 28. fort. leg. ἀπόλειψιν vel ἀπόληξιν pro ἀπόληψιν.

„ „ „ v. ult. leg. παρωσάμενα pro παρωσάμενοι.

„ „ 35. v. 7. fort. διαφθορὰ et ἔπειτα pro διαφορὰ et ὁπότε.

„ „ „ v. 9. fort. scrib. οὐκ ἐν τῷ τοῦ τῆς συνουσίας ὀρέγεσθαι καιρῷ τὸ εὔκαιρον ἔνεστιν pro: οὐδὲ ἐν τῷ τῆς συνουσίας ὄρει ἔσται καιρῷ τὸ εὔκαιρον σύνεστειν.

„ „ 36. v. 17. leg. νηφέτωσαν pro νηφετῶσι.

„ „ „ v. 18. pro εἶθ᾽ ὅτι leg. ἔσθ᾽ ὅτε.

„ „ „ v. 26. scrib. κατακεκλυσμένοις pro κατακελυσμένοις.

„ „ 37. v. 23. leg. τοσόνδε pro ὅσον δὲ.

„ „ 51. v. 5. fort. πλάδης ἕως contrahendum in πλαδήσεως.

„ „ „ v. 9. fort. ἐπισυστύφει pro ἐπισυστροφεῖ.

„ „ 52. v. 11. mutandum κατοικητηρίους in κατοικιδίους.

„ „ 53. v. 2. καὶ mendosum.

„ „ „ v. 20. pro τὴν ποιὰν leg. vel τὴν ποιότητα vel τὸ ποιὸν.

„ „ 55. v. 22. fort. ἐνάργεια pro ἐνέργεια.

„ „ „ v. 27. fort. ἐπιχαλάσαι pro ἐπιχαλῶσαι.

„ „ „ v. 28. pro ἡμερῶν fort. μαστῶν.

„ „ 56. v. 3. scrib. φορεῖου pro φορίου.

In reliquis etiam haec sunt adnotanda:

in pag. 70. v. 23. omissum videtur τρόπον vel simile quid ante ἐσθῆτος.

„ „ 71. v. 5. fort. pro ἀναγκαίως scribend. ἐσκευάσθαι.

„ „ „ v. 6. scrib. ἕλκοντα pro ἑλκόν.

„ „ „ v. 12. recipienda est τῷ altera lectio pro τὸ Codicis B.

in pag. 71. v. 13. scrib. *μηδενὸς* pro *μηδέν*.
„ „ 79. v. 15. *κεκολλημένους* legendum pro *κεκολλημένην*.
„ „ 88. adnotationem 9. ita corrige: Fort. *κατὰ* — *πρόςληψιν, καθ᾽ ἣν τὰ γυναίκια δεσμὸν οὐδένα βούληται τυγχάνειν*.
„ „ 133. v. 4. fort. *σφηνοῦν* pro *ὀσφηνοῦς*.
„ „ „ v. 12. leg. *ἐπιτίθει* pro *ἐπιτέθει*.
„ „ „ v. 10. *Γαληνοῦ* leg. pro *γαλ*.

Corrigenda: in pag. 36. v. 26. *ζωογονίας*; in pag. 68. v. 11. *ὅ, τε*; in pag. 104. adnot. 2. *μυδώσης*; in pag. 176. v. 3. *οδ´*; in pag. 284. adnot. 11. *ὑποπίπτει*; in pag. 93. adnot. 2. deleantur verba: cf. Addend.

**Justus Florianus Lobeck.**